ΙΛΙΟΘΗΚ
ΛΛΗΝΩ
ΑΤΕΡΩ

ΜΕΓΑ
ΘΑΝΑΣΙ
ΜΕΡΟΣ

33

Printed in Greece
Athens 1963

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΤΡΙΤΟΣ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Δ')



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1963

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ
(ΜΕΡΟΣ Δ')

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΤΩΝΙΟΥ

ΣΥΓΓΡΑΦΕΙΣ ΚΑΙ ΑΠΟΣΤΑΛΕΙΣ ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΞΕΝΗ͂ ΜΟΝΑΧΟΥΣ ΠΑΡΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ *

ΠΡΟΟΙΜΙΟΝ.

Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς, ἤτοι παρισωθῆναι, ἢ καὶ ὑπερβάλλεσθαι τούτους προελόμενοι τῇ κατ' ἀρετὴν ὑμῶν ἀσκήσει. Καὶ γὰρ καὶ παρ' ὑμῖν λοιπὸν μοναστήρια, καὶ τὸ τῶν μοναχῶν ὄνομα πολιτεύεται. Ταύτην μὲν οὖν τὴν πρόθεσιν δικαίως ἄν τις ἐπαινέσειε, καὶ εὐχομένων ὑμῶν, ὁ Θεὸς τελειώσειεν· ἐπειδὴ δὲ ἀπῃτήσατε καὶ παρ' ἐμοῦ περὶ τῆς πολιτείας τοῦ μακαρίου Ἀντωνίου, μαθεῖν θέλοντες ὅπως τε ἤρξατο τῆς ἀσκήσεως, καὶ τίς ἦν πρὸ ταύτης, καὶ ὁποῖον ἔσχε τοῦ βίου τὸ τέλος, καὶ εἰ ἀληθῆ τὰ περὶ αὐτοῦ λεγόμενά ἐστιν, ἵνα καὶ πρὸς τὸν ἐκείνου ζῆλον ἑαυτοὺς ἀγάγητε, μετὰ πολλῆς προθυμίας ἐδεξάμην τὸ παρ' ὑμῶν ἐπίταγμα. Κἀμοὶ γὰρ μέγα κέρδος ὠφελείας ἐστὶ καὶ τὸ μόνον Ἀντωνίου μνημονεύειν. Οἶδα δέ, ὅτι καὶ ὑμεῖς ἀκούσαντες, μετὰ τοῦ θαυμάσαι τὸν ἄνθρωπον, θελήσετε καὶ ζηλῶσαι τὴν ἐκείνου πρόθεσιν· ἔστι γὰρ μοναχοῖς ἱκανὸς χαρακτὴρ πρὸς ἄσκησιν ὁ Ἀντωνίου βίος. Οἷς μὲν οὖν ἠκούσατε περὶ αὐτοῦ παρὰ τῶν ἀπαγγειλάντων, μὴ ἀπιστήσητε, ὀλίγα δὲ μᾶλλον ἀκηκοέναι παρ' αὐτῶν νομίζετε· πάντως γὰρ κἀκεῖνοι μόγις τοσαῦτα διηγήσαντο. Ἐπεὶ κἀγώ, προτραπεὶς παρ' ὑμῶν, ὅσα ἂν διὰ τῆς ἐπιστολῆς σημανῶ, ὀλίγα τῶν ἐκείνου μνημονεύσας ἐπιστείλω· καὶ ὑμεῖς δὲ μὴ παύησθε τοὺς ἐνθένδε πλέοντας ἐρωτᾶν. Ἴσως γάρ, ἑκάστου λέγοντος ὅπερ οἶδε, μόγις ἐπαξίως ἡ περὶ ἐκείνου γένηται διήγησις. Ἐβουλόμην γὰρ οὖν, δεξάμενος ὑμῶν τὴν ἐπιστολήν, μεταπέμψασθαί τινας τῶν μοναχῶν, τῶν μάλιστα πυκνότερον εἰωθότων πρὸς αὐτὸν παραγίνεσθαι· ὡς ἄν τι πλέον μαθὼν πληρέστερον ὑμῖν ἐπιστείλω· ἐπειδὴ δὲ γὰρ καὶ ὁ καιρὸς τῶν πλωίμων συνέκλειε, καὶ ὁ γραμματοφόρος, ἔσπευδε· διὰ τοῦτο ἅπερ αὐτός τε γινώσκω (πολλάκις γὰρ αὐτὸν ἑώρακα), καὶ ἃ μαθεῖν ἠδυνήθην παρ' αὐτοῦ, ἀκολουθήσας αὐτῷ χρόνον οὐκ ὀλίγον, καὶ ἐπιχέων ὕδωρ κατὰ χεῖρας αὐτοῦ, γράψαι

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, τ. 26, σ. 837 ἑξ.

τῇ εὐλαβείᾳ ὑμῶν ἐσπούδασα· πανταχοῦ τῆς ἀληθείας φροντίσας, ἵνα μήτε πλέον τις ἀκούσας ἀπιστήσῃ, μήτε πάλιν ἐλάττονα τοῦ δέοντος μαθών, καταφρονήσῃ τοῦ ἀνδρός.

1. Ἀντώνιος γένος μὲν ἦν Αἰγύπτιος, εὐγενῶν δὲ γονέων καὶ περιουσίαν αὐτάρκη κεκτημένων, καὶ Χριστιανῶν αὐτῶν ὄντων, Χριστιανικῶς ἀνήγετο καὶ αὐτός. Καὶ παιδίον μὲν ὤν, ἐτρέφετο παρὰ τοῖς γονεῦσι, πλέον αὐτῶν καὶ τοῦ οἴκου μηδὲν ἕτερον γινώσκων· ἐπειδὴ δὲ καὶ αὐξήσας ἐγένετο παῖς, καὶ προέκοπτε τῇ ἡλικίᾳ, γράμματα μὲν μαθεῖν οὐκ ἠνέσχετο, βουλόμενος ἐκτὸς εἶναι καὶ τῆς πρὸς τοὺς παῖδας συνηθείας· τὴν δὲ ἐπιθυμίαν πᾶσαν εἶχε, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Ἰακώβ, ὡς ἄπλαστος οἰκεῖν ἐν τῇ οἰκίᾳ αὐτοῦ.[1] Συνήγετο μέντοι μετὰ τῶν γονέων ἐν τῷ Κυριακῷ· καὶ οὔτε ὡς παῖς ἐρρᾳθύμει, οὔτε ὡς τῇ ἡλικίᾳ προκόπτων κατεφρόνει· ἀλλὰ καὶ τοῖς γονεῦσιν ὑπετάσσετο, καὶ τοῖς ἀναγνώσμασι προσέχων, τὴν ἐξ αὐτῶν ὠφέλειαν ἐν ἑαυτῷ διετήρει. Οὔτε δὲ πάλιν ὡς παῖς ἐν μετρίᾳ περιουσίᾳ τυγχάνων ἠνώχλει τοῖς γονεῦσι ποικίλης καὶ πολυτελοῦς ἕνεκα τροφῆς, οὔτε τὰς ἐκ ταύτης ἡδονὰς ἐζήτει· μόνοις δὲ οἷς ηὕρισκεν ἠρκεῖτο, καὶ πλέον οὐδὲν ἐζήτει.

2. Μετὰ δὲ τὸν θάνατον τῶν γονέων, αὐτὸς μόνος κατελείφθη μετὰ μιᾶς βραχυτάτης ἀδελφῆς· καὶ ἦν ἐτῶν ἐγγὺς δέκα καὶ ὀκτώ, ἢ καὶ εἴκοσι γεγονώς, αὐτός τε τῆς οἰκίας καὶ τῆς ἀδελφῆς ἐφρόντιζεν. Οὔπω δὲ μῆνες ἓξ παρῆλθον τοῦ θανάτου τῶν γονέων αὐτοῦ, καὶ κατὰ τὸ εἰωθὸς προερχόμενος εἰς τὸ Κυριακόν, καὶ συνάγων ἑαυτοῦ τὴν διάνοιαν, ἐλογίζετο περιπατῶν, πῶς οἱ μὲν ἀπόστολοι πάντα καταλιπόντες ἠκολούθησαν τῷ Σωτῆρι·[2], οἱ δὲ ἐν ταῖς Πράξεσι πωλοῦντες τὰ ἑαυτῶν ἔφερον καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, εἰς διάδοσιν τῶν χρείαν ἐχόντων[3], τίς τε καὶ πόση τούτοις ἐλπὶς ἐν οὐρανοῖς ἀπόκειται. Ταῦτα δὴ ἐνθυμούμενος, εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ συνέβη τότε τὸ Εὐαγγέλιον ἀναγινώσκεσθαι, καὶ ἤκουσε τοῦ Κυρίου λέγοντος τῷ πλουσίῳ· «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησον πάντα τὰ ὑπάρχοντά σοι, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς.[4]» Ὁ δὲ Ἀντώνιος, ὥσπερ θεόθεν ἐσχηκὼς τὴν τῶν ἁγίων μνήμην, καὶ ὡς δι᾽ αὐτὸν γενομένου τοῦ ἀναγνώσματος, ἐξελθὼν εὐθὺς ἐκ τοῦ Κυριακοῦ, τὰς μὲν κτήσεις ἃς εἶχεν ἐκ προγόνων (ἄρουραι δὲ ἦσαν τριακόσιαι εὔφοροι καὶ πάνυ καλαί), ταύτας ἐχαρίσατο τοῖς ἀπὸ τῆς κώμης, ἵνα εἰς μηδ᾽ ὁτιοῦν ὀχλήσωσιν αὐτῷ τε καὶ τῇ ἀδελφῇ. Τὰ δὲ ἄλλα ὅσα ἦν αὐτοῖς κινητά, πάντα πωλήσας, καὶ συναγαγὼν ἀργύριον ἱκανόν, δέδωκε τοῖς πτωχοῖς, τηρήσας ὀλίγα διὰ τὴν ἀδελφήν.

---

1. Πρβλ. Γεν. 25, 27. 2. Πρβλ. Ματθ. 4, 20. 3. Πρβλ. Πράξ. 4, 35. 4. Ματθ. 19, 21.

3. Ὡς δέ, πάλιν εἰσελθὼν εἰς τὸ Κυριακόν, ἤκουσεν ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου λέγοντος, «Μὴ μεριμνήσητε περὶ τῆς αὔριον[1]», οὐκ ἀνασχόμενος ἔτι μένειν, ἐξελθὼν διέδωκε κἀκεῖνα τοῖς μετρίοις. Τὴν δὲ ἀδελφὴν παραθέμενος γνωρίμοις καὶ πισταῖς παρθένοις, δούς τε αὐτὴν εἰς Παρθενῶνα ἀνατρέφεσθαι, αὐτὸς πρὸ τῆς οἰκίας ἐσχόλαζε λοιπὸν τῇ ἀσκήσει, προσέχων ἑαυτῷ καὶ καρτερικῶς ἑαυτὸν ἄγων. Οὔπω γὰρ ἦν οὕτως ἐν Αἰγύπτῳ συνεχῆ μοναστήρια, οὐδ᾿ ὅλως ᾔδει μοναχὸς τὴν μακρὰν ἔρημον, ἕκαστος δὲ τῶν βουλομένων ἑαυτῷ προσέχειν οὐ μακρὰν τῆς ἰδίας κώμης καταμόνας ἠσκεῖτο. Ἦν τοίνυν ἐν τῇ πλησίον κώμῃ τότε γέρων, ἐκ νεότητος τὸν μονήρη βίον ἀσκήσας· τοῦτον ἰδὼν Ἀντώνιος, ἐζήλωσεν ἐν καλῷ· καὶ πρῶτον μὲν ἤρξατο καὶ αὐτὸς μένειν ἐν τοῖς πρὸ τῆς κώμης τόποις. Κἀκεῖθεν εἴ πού τινα σπουδαῖον ἤκουεν, προερχόμενος ἐζήτει τοῦτον ὡς ἡ σοφὴ μέλισσα· καὶ οὐ πρότερον εἰς τὸν ἴδιον τόπον ἀνέκαμπτεν, εἰ μὴ τοῦτον ἑωράκει, καὶ ὥσπερ ἐφόδιόν τι τῆς εἰς ἀρετὴν ὁδοῦ παρ᾿ αὐτοῦ λαβών, ἐπανῄει. Ἐκεῖ τοίνυν τὰς ἀρχὰς διατρίβων, τὴν διάνοιαν ἐστάθμιζεν, ὅπως πρὸς μὲν τὰ τῶν γονέων μὴ ἐπιστρέφηται, μηδὲ τῶν συγγενῶν μνημονεύῃ· ὅλον δὲ τὸν πόθον καὶ πᾶσαν τὴν σπουδὴν ἔχῃ περὶ τὸν τόνον τῆς ἀσκήσεως. Εἰργάζετο γοῦν ταῖς χερσίν, ἀκούσας· Ὁ δὲ ἀργὸς μηδὲ ἐσθιέτω·[2] καὶ τὸ μὲν εἰς τὸν ἄρτον, τὸ δὲ εἰς τοὺς δεομένους ἀνήλισκε. Προσηύχετο δὲ συνεχῶς, μαθών, ὅτι δεῖ κατ᾿ ἰδίαν προσεύχεσθαι ἀδιαλείπτως.[3] Καὶ γὰρ προσεῖχεν οὕτως τῇ ἀναγνώσει, ὡς μηδὲν τῶν γεγραμμένων ἀπ᾿ αὐτοῦ πίπτειν χαμαί, πάντα δὲ κατέχειν, καὶ λοιπὸν αὐτῷ τὴν μνήμην ἀντὶ βιβλίων γίνεσθαι.

4. Οὕτω μὲν οὖν ἑαυτὸν ἄγων, ἠγαπᾶτο παρὰ πάντων ὁ Ἀντώνιος· αὐτὸς δὲ τοῖς σπουδαίοις πρὸς οὓς ἀπήρχετο, γνησίως ὑπετάσσετο, καὶ καθ᾿ ἑαυτὸν ἑκάστου τὸ πλεονέκτημα τῆς σπουδῆς καὶ τῆς ἀσκήσεως κατεμάνθανε· καὶ τοῦ μὲν τὸ χαρίεν τοῦ δὲ τὸ πρὸς τὰς εὐχὰς σύντονον ἐθεώρει· καὶ ἄλλου μὲν τὸ ἀόργητον, ἄλλου δὲ τὸ φιλάνθρωπον κατενόει· καὶ τῷ μὲν ἀγρυπνοῦντι, τῷ δὲ φιλολογοῦντι προσεῖχε· καὶ τὸν μὲν ἐν καρτερίᾳ, τὸν δὲ ἐν νηστείαις καὶ χαμευνίαις ἐθαύμαζε· καὶ τοῦ μὲν τὴν πραότητα, τοῦ δὲ τὴν μακροθυμίαν παρετηρεῖτο· πάντων δὲ ὁμοῦ τὴν εἰς τὸν Χριστὸν εὐσέβειαν, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην ἐσημειοῦτο· καὶ οὕτω πεπληρωμένος, ὑπέστρεφεν εἰς τὸν ἴδιον τοῦ ἀσκητηρίου τόπον· λοιπὸν αὐτὸς τὰ παρ᾿ ἑκάστου συνάγων εἰς ἑαυτόν, καὶ σπουδάζων ἐν ἑαυτῷ τὰ πάντα δεικνύναι· καὶ γὰρ πρὸς τοὺς καθ᾿ ἡλικίαν ἴσους οὐκ ἦν φιλόνεικος, ἢ μόνον ἵνα μὴ δεύτερος ἐκείνων ἐν τοῖς βελτίοσι φαίνηται· καὶ τοῦτο ἔπραττεν ὥστε μηδένα λυπεῖν, ἀλλὰ κἀκεῖνος ἐπ᾿ αὐτῷ χαίρειν. Πάντες μὲν οὖν οἱ ἀπὸ τῆς κώμης καὶ οἱ φιλόκαλοι, πρὸς οὓς εἶχε τὴν συνήθειαν, οὕτως αὐτὸν

---

1. Ματθ. 6, 34. 2. Πρβλ. Β´ Θεσσ. 3, 10. 3. Πρβλ. Ματθ. 6, 6. Α´ Θεσσ. 5, 17.

ὁρῶντες, ἐκάλουν θεοφιλῆ· καὶ οἱ μὲν ὡς υἱόν, οἱ δὲ ὡς ἀδελφὸν ἠσπάζοντο.

5. Ὁ δὲ μισόκαλος καὶ φθονερὸς διάβολος οὐκ ἤνεγκεν ὁρῶν ἐν νεωτέρῳ τοιαύτην πρόθεσιν. Ἀλλ' οἷα μεμελέτηκε ποιεῖν, ἐπιχειρεῖ καὶ κατὰ τούτου πράττειν· καὶ τὸ μὲν πρῶτον ἐπείραζεν αὐτὸν ἀπὸ τῆς ἀσκήσεως καταγαγεῖν, ὑποβάλλων μνήμην τῶν κτημάτων, τῆς ἀδελφῆς τὴν κηδεμονίαν, τοῦ γένους τὴν οἰκειότητα, φιλαργυρίαν, φιλοδοξίαν, τροφῆς τὴν ποικίλην ἡδονήν, καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου, καὶ τέλος τὸ τραχὺ τῆς ἀρετῆς, καὶ ὡς πολὺς αὐτῆς ἐστιν ὁ πόνος· τοῦ τε σώματος τὴν ἀσθένειαν ὑπετίθετο, καὶ τοῦ χρόνου τὸ μῆκος. Καὶ ὅλως πολὺν ἤγειρεν αὐτῷ κονιορτὸν λογισμῶν ἐν τῇ διανοίᾳ, θέλων αὐτὸν ἀποσχοινίσαι τῆς ὀρθῆς προαιρέσεως. Ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν τοῦ Ἀντωνίου πρόθεσιν, καὶ μᾶλλον ἑαυτὸν καταπαλαιόμενον ὑπὸ τῆς ἐκείνου στερρότητος, καὶ ἀνατρεπόμενον τῇ πολλῇ πίστει, καὶ πίπτοντα ταῖς συνεχέσιν Ἀντωνίου προσευχαῖς, τότε δὴ τοῖς «ἐπ' ὀμφαλοῦ γαστρὸς[1]» ὅπλοις ἑαυτοῦ θαρρῶν, καὶ καυχώμενος ἐπὶ τούτοις (ταῦτα γάρ ἐστιν αὐτοῦ τὰ πρῶτα κατὰ τῶν νεωτέρων ἔνεδρα), προσέρχεται κατὰ τοῦ νεωτέρου, νυκτὸς μὲν αὐτὸν θορυβῶν, μεθ' ἡμέραν δὲ οὕτως ἐνοχλῶν, ὡς καὶ τοὺς ὁρῶντας αἰσθέσθαι τὴν γινομένην ἀμφοτέρων πάλην. Ὁ μὲν γὰρ ὑπέβαλλε λογισμοὺς ῥυπαρούς, ὁ δὲ ταῖς εὐχαῖς ἀνέτρεπε τούτους· καὶ ὁ μὲν ἐγαργάλιζεν, ὁ δέ, ὡς ἐρυθριᾶν δοκῶν, τῇ πίστει καὶ ταῖς εὐχαῖς καὶ νηστείαις ἐτείχιζε τὸ σῶμα· καὶ ὁ μὲν διάβολος ὑπέμενεν ὁ ἄθλιος καὶ ὡς γυνὴ σχηματίζεσθαι νυκτός, καὶ πάντα τρόπον μιμεῖσθαι, μόνον ἵνα τὸν Ἀντώνιον ἀπατήσῃ· ὁ δὲ τὸν Χριστὸν ἐνθυμούμενος, καὶ τὴν δι' αὐτὸν εὐγένειαν, καὶ τὸ νοερὸν τῆς ψυχῆς λογιζόμενος, ἀπεσβέννυε τὸν ἄνθρακα τῆς ἐκείνου πλάνης. Πάλιν τε ὁ μὲν ἐχθρὸς ὑπέβαλλε τὸ λεῖον τῆς ἡδονῆς· ὁ δέ, ὀργιζομένῳ καὶ λυπουμένῳ ἐοικώς, τὴν ἀπειλὴν τοῦ πυρὸς καὶ τοῦ σκώληκος τὸν πόνον ἐνεθυμεῖτο· καὶ ἀντιτιθεὶς ταῦτα, διέβαινε τούτων ἀβλαβής. Ἦν δὲ ταῦτα πάντα πρὸς αἰσχύνην γινόμενα τοῦ ἐχθροῦ. Ὁ γὰρ νομίσας ὅμοιος γενέσθαι Θεῷ ὑπὸ νεανίσκου νῦν ἐπαίζετο· καὶ ὁ σαρκὸς καὶ αἵματος κατακαυχώμενος ὑπὸ ἀνθρώπου σάρκα φοροῦντος ἀνετρέπετο. Συνήργει γὰρ ὁ Κύριος αὐτῷ, ὁ σάρκα δι' ἡμᾶς φορέσας, καὶ τῷ σώματι δοὺς τὴν κατὰ τοῦ διαβόλου νίκην· ὥστε τῶν ὄντων ἀγωνιζομένων ἕκαστον λέγειν. «Οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.[2]»

6. Τέλος γοῦν, ὡς οὐκ ἠδυνήθη τὸν Ἀντώνιον οὐδ' ἐν τούτῳ καταβαλεῖν ὁ δράκων, ἀλλὰ καὶ ἔβλεπεν ἑαυτὸν ἐξωθούμενον ἀπὸ τῆς καρδίας αὐτοῦ, τρίζων τοὺς ὀδόντας, κατὰ τὸ γεγραμμένον, καὶ ὥσπερ ἐξιστάμενος, οἷός ἐστι τὸν νοῦν, τοιοῦτος ὕστερον καὶ τῇ φαντασίᾳ μέλας αὐτῷ φαίνεται παῖς· καὶ ὥσπερ ὑποπίπτων, οὐκέτι

---

1. Ἰὼβ 40, 16. 2. Α' Κορ. 15, 10.

μὲν λογισμοῖς ἐπέβαινεν (ἐκβέβλητο γὰρ ὁ δόλιος), λοιπὸν δὲ ἀνθρωπίνῃ χρώμενος φωνῇ, ἔλεγε· Πολλοὺς μὲν ἠπάτησα καὶ πλείστους κατέβαλον· νῦν δέ, ὡς ἐπὶ πολλοῖς καὶ ἐπὶ σοὶ καὶ τοῖς σοῖς πόνοις προσβαλών, ἠσθένησα. Εἶτα τοῦ Ἀντωνίου πυθομένου· Τίς εἶ σὺ ὁ τοιαῦτα λαλῶν παρ' ἐμοί; εὐθὺς ἐκεῖνος οἰκτρὰς ἠφίει φωνάς· Ἐγὼ τῆς πορνείας εἰμὶ φίλος· ἐγὼ τὰ εἰς ταύτην ἔνεδρα, καὶ τοὺς ταύτης γαργαλισμοὺς κατὰ τῶν νέων ἀνεδεξάμην, καὶ πνεῦμα πορνείας κέκλημαι. Πόσους θέλοντας σωφρονεῖν ἠπάτησα! Πόσους ἐγκρατευομένους μετέπεισα γαργαλίζων! Ἐγώ εἰμι δι' ὃν καὶ ὁ προφήτης μέμφεται τοὺς πεσόντας, λέγων· «Πνεύματι πορνείας ἐπλανήθητε·[1]» δι' ἐμοῦ γὰρ ἦσαν ἐκεῖνοι σκελισθέντες. Ἐγώ εἰμι ὁ πολλάκις σοι ὀχλήσας, καὶ τοσαυτάκις ἀνατραπεὶς παρὰ σοῦ. Ὁ δὲ Ἀντώνιος εὐχαριστήσας τῷ Κυρίῳ, καὶ καταθαρρήσας αὐτοῦ, φησὶ πρὸς αὐτόν· Πολὺ τοίνυν εὐκαταφρόνητος τυγχάνεις· καὶ γὰρ μέλας εἶ τὸν νοῦν, καὶ ὡς παῖς ἀσθενής· οὐδὲ μία μοι λοιπόν ἐστι φροντὶς περὶ σοῦ· «Κύριος γὰρ ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.[2]» Ταῦτα ἀκούσας ὁ μέλας ἐκεῖνος, εὐθὺς ἔφυγε καταπτήξας τὰς φωνάς, καὶ φοβηθεὶς ἔτι κἂν ἐγγίσαι τῷ ἀνδρί.

7. Τοῦτο πρῶτον ἆθλον Ἀντωνίου γέγονε κατὰ τοῦ διαβόλου· μᾶλλον δὲ τοῦ Σωτῆρος καὶ τοῦτο γέγονεν ἐν τῷ Ἀντωνίῳ τὸ κατόρθωμα, τοῦ τὴν «ἁμαρτίαν κατακρίναντος ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.[3]» Ἀλλ' οὔτε Ἀντώνιος, ὡς ὑποπεσόντος τοῦ δαίμονος, ἠμέλει λοιπὸν καὶ κατεφρόνει ἑαυτοῦ· οὔτε ὁ ἐχθρός, ὡς ἡττηθείς, ἐπαύετο τοῦ ἐνεδρεύειν. Περιήρχετο γὰρ πάλιν ὡς λέων, ζητῶν τινα πρόφασιν κατ' αὐτοῦ. Ὁ δὲ Ἀντώνιος, μαθὼν ἐκ τῶν Γραφῶν[4] πολλὰς εἶναι τὰς μεθοδείας τοῦ ἐχθροῦ, συντόνως ἐκέχρητο τῇ ἀσκήσει, λογιζόμενος, ὅτι, εἰ καὶ μὴ ἴσχυσε τὴν καρδίαν ἐν ἡδονῇ σώματος ἀπατῆσαι, πειράσειν πάντως δι' ἑτέρας ἐνεδρεῦσαι μεθόδου· ἔστι γὰρ φιλαμαρτήμων ὁ δαίμων. Μᾶλλον οὖν καὶ μᾶλλον ὑπεπίαζε τὸ σῶμα καὶ ἐδουλαγώγει, μήπως, ἐν ἄλλοις νικήσας, ἐν ἄλλοις ὑποσυρῇ. Βουλεύεται τοίνυν σκληροτέραις ἀγωγαῖς ἑαυτὸν ἐθίζειν. Καὶ πολλοὶ μὲν ἐθαύμαζον, αὐτὸς δὲ ῥᾷον τὸν πόνον ἔφερεν· ἡ γὰρ προθυμία τῆς ψυχῆς, πολὺν χρόνον ἐμμείνασα, ἕξιν ἀγαθὴν ἐνειργάζετο ἐν αὐτῷ· ὥστε καὶ μικρὰν πρόφασιν λαμβάνοντα παρ' ἑτέρων, πολλὴν εἰς τοῦτο τὴν σπουδὴν ἐνδείκνυσθαι· ἠγρύπνει γὰρ τοσοῦτον, ὡς πολλάκις καὶ ὅλην τὴν νύκτα διατελεῖν αὐτὸν ἄυπνον· καὶ τοῦτο δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πλειστάκις ποιῶν ἐθαυμάζετο. Ἤσθιέ τε ἅπαξ τῆς ἡμέρας μετὰ δύσιν ἡλίου· ἦν δ' ὅτε καὶ διὰ δύο, πολλάκις δὲ καὶ διὰ τεσσάρων μετελάμβανε. Καὶ ἦν αὐτῷ ἡ τροφὴ ἄρτος καὶ ἅλας· καὶ τὸ

1. Ὠσ. 4, 12. 2. Ψαλμ. 117, 7. 3. Ῥωμ. 8, 3-4. 4. Πρβλ. Ἐφεσ. 5, 11.

ποτὸν ὕδωρ μόνον. Περὶ γὰρ κρεῶν καὶ οἴνου περιττόν ἐστι καὶ λέγειν· ὅπου γε οὐδὲ παρὰ τοῖς ἄλλοις σπουδαίοις ηὑρίσκετό τι τοιοῦτον. Εἰς δὲ τὸν ὕπνον ἠρκεῖτο ψιαθίῳ· τὸ δὲ πλεῖστον καὶ ἐπὶ γῆς μόνης κατέκειτο. Ἀλείφεσθαι δὲ ἐλαίῳ παρῃτεῖτο, λέγων μᾶλλον πρέπειν τοὺς νεωτέρους ἐκ προθυμίας ἔχειν τὴν ἄσκησιν, καὶ μὴ ζητεῖν τὰ χαυνοῦντα τὸ σῶμα· ἀλλὰ καὶ ἐθίζειν αὐτὸ τοῖς πόνοις, λογιζομένους τὸ τοῦ Ἀποστόλου ῥητόν· «Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι.[1]» Τότε γὰρ ἔλεγεν ἰσχύειν τῆς ψυχῆς τὸν τόνον, ὅταν αἱ τοῦ σώματος ἀσθενῶσιν ἡδοναί. Καὶ ἦν αὐτῷ παράδοξος ὄντως καὶ οὗτος ὁ λογισμός· οὐ γὰρ ἠξίου χρόνῳ μετρεῖν τὴν τῆς ἀρετῆς ὁδόν, οὐδὲ τὴν δι' αὐτὴν ἀναχώρησιν, ἀλλὰ πόθῳ καὶ τῇ προαιρέσει. Αὐτὸς γοῦν οὐκ ἐμνημόνευε τοῦ παρελθόντος χρόνου· ἀλλὰ καθ' ἡμέραν, ὡς ἀρχὴν ἔχων τῆς ἀσκήσεως, μείζω τὸν πόνον εἶχεν εἰς προκοπήν, ἐπιλέγων ἑαυτῷ τὸ τοῦ Παύλου ῥητὸν συνεχῶς· «Τῶν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος·[2]» μνημονεύων τε καὶ τῆς φωνῆς τοῦ προφήτου Ἠλίου λέγοντος· «Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον.[3]» Παρετηρεῖτο γάρ, ὅτι, σήμερον λέγων, οὐκ ἐμέτρει τὸν παρελθόντα χρόνον· ἀλλ' ὡς ἀρχὴν ἀεὶ καταβαλλόμενος, καθ' ἡμέραν ἐσπούδαζεν ἑαυτὸν παριστάνειν τοιοῦτον, οἷον χρὴ φαίνεσθαι τῷ Θεῷ, καθαρὸν τῇ καρδίᾳ, καὶ ἕτοιμον ὑπακούειν τῷ βουλήματι αὐτοῦ, καὶ μηδενὶ ἄλλῳ. Ἔλεγε δὲ ἐν ἑαυτῷ, δεῖν τὸν ἀσκητὴν ἐκ τῆς πολιτείας τοῦ μεγάλου Ἠλίου καταμανθάνειν, ὡς ἐν ἐσόπτρῳ τὸν ἑαυτοῦ βίον ἀεί.

8. Οὕτω δὴ οὖν συσφίγξας ἑαυτὸν ὁ Ἀντώνιος, ἀπήρχετο εἰς τὰ μακρὰν τῆς κώμης τυγχάνοντα μνήματα, καὶ παραγγείλας ἑνὶ τῶν γνωρίμων δι' ἡμερῶν πολλῶν αὐτῷ κομίζειν τὸν ἄρτον, αὐτὸς εἰσελθὼν εἰς ἓν τῶν μνημάτων, καὶ κλείσαντος ἐκείνου κατ' αὐτοῦ τὴν θύραν, ἔμενε μόνος ἔνδον. Ἔνθα δὴ μὴ φέρων ὁ ἐχθρός, ἀλλὰ μὴν καὶ φοβούμενος, μὴ κατ' ὀλίγον καὶ τὴν ἔρημον ἐμπλήσῃ τῆς ἀσκήσεως· προσελθὼν ἐν μιᾷ νυκτὶ μετὰ πλήθους δαιμόνων, τοσοῦτον αὐτὸν ἔκοψε πληγαῖς, ὡς καὶ ἄφωνον αὐτὸν ἀπὸ τῶν βασάνων κεῖσθαι χαμαί· διεβεβαιοῦτο γὰρ οὕτω σφοδροὺς γεγενῆσθαι τοὺς πόνους, ὡς λέγειν μὴ δύνασθαι τὰς παρὰ ἀνθρώπων πληγὰς τοιαύτην ποτὲ βάσανον ἐμποιῆσαι. Θεοῦ δὲ προνοίᾳ (οὐ γὰρ παρορᾷ Κύριος τοὺς ἐλπίζοντας ἐπ' αὐτόν), τῇ ἑξῆς παραγίνεται ὁ γνώριμος, κομίζων τοὺς ἄρτους αὐτῷ· ἀνοίξας τε τὴν θύραν, καὶ τοῦτον ἰδὼν χαμαὶ κείμενον ὡς νεκρόν, βαστάσας ἔφερεν εἰς τὸ τῆς κώμης Κυριακόν, καὶ τίθησιν ἐπὶ τῆς γῆς. Πολλοί τε τῶν συγγενῶν, καὶ οἱ ἀπὸ τῆς κώμης παρεκαθέζοντο ὡς ἐπὶ νεκρῷ τῷ Ἀντωνίῳ. Περὶ δὲ τὸ μεσονύκτιον εἰς ἑαυτὸν ἐλθὼν ὁ Ἀντώνιος, καὶ διεγερθείς, ὡς εἶδε πάντας κοιμωμένους, καὶ μόνον τὸν γνώριμον γρηγοροῦντα, νεύσας ἥκειν αὐτὸν πρὸς αὐτόν,

1. Β' Κορ. 12, 10. 2. Φιλιπ. 3, 13. 3. Γ' Βασ. 18, 15.

ἠξίου πάλιν αὐτὸν βαστάσαι καὶ ἀποφέρειν εἰς τὰ μνήματα, μηδένα ἐξυπνίσαντα.

9. Ἀπηνέχθη οὖν παρὰ τοῦ ἀνδρός, καὶ συνήθως τῆς θύρας κεκλεισμένης, ἔνδον ἦν πάλιν μόνος. Καὶ στήκειν μὲν οὐκ ἴσχυε διὰ τὰς πληγάς· ἀνακείμενος δὲ ηὔχετο. Καὶ μετὰ τὴν εὐχὴν ἔλεγε μετὰ κραυγῆς· Ὧδέ εἰμι ἐγὼ Ἀντώνιος· οὐ φεύγω τὰς παρ' ὑμῶν πληγάς. Κἂν γὰρ πλείονας ποιήσητε, οὐδέν με «χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ.[1]» Εἶτα καὶ ἔψαλλεν· «Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ οὐ φοβηθήσεται ἡ καρδία μου.[2]» Ὁ μὲν οὖν ἀσκητὴς ἐφρόνει καὶ ἔλεγε ταῦτα· ὁ δὲ μισόκαλος ἐχθρός, θαυμάσας, ὅτι καὶ μετὰ τὰς πληγὰς ἐθάρρησεν ἐλθεῖν, συγκαλέσας αὐτοῦ τοὺς κύνας, καὶ διαρρηγνύμενος, ἔφη· Ὁρᾶτε ὅτι οὐ πνεύματι πορνείας, οὐ πληγαῖς ἐπαύσαμεν τοῦτον· ἀλλὰ καὶ θρασύνεται καθ' ἡμῶν· προσέλθωμεν ἄλλως αὐτῷ. Εὔκολον δὲ τῷ διαβόλῳ τὰ εἰς κακίαν σχήματα. Τότε δὴ οὖν ἐν τῇ νυκτὶ κτύπον μὲν τοιοῦτον ποιοῦσιν, ὡς δοκεῖν πάντα τὸν τόπον ἐκεῖνον σείεσθαι· τοὺς δὲ τοῦ οἰκίσκου τέσσαρας τοίχους ὥσπερ ῥήξαντες οἱ δαίμονες, ἔδοξαν δι' αὐτῶν ἐπεισέρχεσθαι, μετασχηματισθέντες εἰς θηρίων καὶ ἑρπετῶν φαντασίαν· καὶ ἦν ὁ τόπος εὐθὺς πεπληρωμένος φαντασίας λεόντων, ἄρκτων, λεοπάρδων, ταύρων, καὶ ὄφεων, ἀσπίδων, καὶ σκορπίων, καὶ λύκων. Καὶ ἕκαστον μὲν τούτων ἐκίνει κατὰ τὸ ἴδιον σχῆμα. Ὁ λέων ἔβρυχε, θέλων ἐπελθεῖν, ὁ ταῦρος ἐδόκει κερατίζειν, ὁ ὄφις ἕρπων οὐκ ἔφθανε, καὶ ὁ λύκος ὁρμῶν ἐπείχετο· καὶ ὅλως πάντων ὁμοῦ ἦσαν τῶν φαινομένων οἱ ψόφοι δεινοί, καὶ οἱ θυμοὶ χαλεποί. Ὁ δὲ Ἀντώνιος, μαστιζόμενος καὶ κεντούμενος παρ' αὐτῶν, ᾔσθετο μὲν δεινοτέρου πόνου σωματικοῦ. Ἀτρέμας καὶ μᾶλλον τῇ ψυχῇ γρηγορῶν ἀνέκειτο· καὶ ἔστενε μὲν διὰ τὸν τοῦ σώματος πόνον· νήφων δὲ τῇ διανοίᾳ καὶ ὥσπερ χλευάζων, ἔλεγεν· Εἰ δύναμίς τις ἦν ἐν ὑμῖν, ἤρκει καὶ μόνον ἕνα ἐξ ὑμῶν ἐλθεῖν· ἐπειδὴ δὲ ἐξενεύρωσεν ὑμᾶς ὁ Κύριος, διὰ τοῦτο κἂν τῷ πλήθει πειράζετέ πως ἐκφοβεῖν, γνώρισμα τῆς ἀσθενείας ὑμῶν τὸ τὰς ἀλόγων ὑμᾶς μιμεῖσθαι μορφάς. Θαρρῶν γοῦν πάλιν ἔλεγεν· Εἰ δύνασθε καὶ ἐξουσίαν ἐλάβετε κατ' ἐμοῦ, μὴ μέλλετε, ἀλλ' ἐπίβητε· εἰ δὲ μὴ δύνασθε, τί μάτην ταράσσεσθε; Σφραγὶς γὰρ ἡμῖν καὶ τεῖχος εἰς ἀσφάλειαν ἡ εἰς τὸν Κύριον ἡμῶν πίστις. Πολλὰ τοίνυν ἐπιχειρήσαντες, ἔτριζον κατ' αὐτοῦ τοὺς ὀδόντας, ὅτι μᾶλλον ἔπαιζον ἑαυτούς, καὶ οὐκ ἐκεῖνον.

10. Ὁ δὲ Κύριος οὐδὲ ἐν τούτῳ ἐπελάθετο τῆς ἀθλήσεως Ἀντωνίου, ἀλλ' εἰς ἀντίληψιν αὐτοῦ παραγέγονεν. Ἀναβλέψας γοῦν, εἶδε τὴν στέγην ὥσπερ διανοιγομένην, καὶ ἀκτῖνά τινα φωτὸς κατερχομένην πρὸς αὐτόν. Καὶ οἱ μὲν δαίμονες ἐξαίφνης ἄφαντοι γεγόνασιν· ὁ δὲ πόνος τοῦ σώματος εὐθὺς ἐπέπαυτο, καὶ ὁ οἶκος πάλιν ἦν ὁλόκληρος. Ὁ δὲ Ἀντώνιος, αἰσθόμενος τῆς ἀντιλήψεως, καὶ πλέον ἀναπνεύσας,

1. Ῥωμ. 8, 35. 2. Ψαλμ. 26, 3.

κουφισθείς τε τῶν πόνων, ἐδέετο τῆς φανείσης ὀπτασίας, λέγων· Ποῦ ἦς; διὰ τί μὴ ἐξ ἀρχῆς ἐφάνης, ἵνα μου τὰς ὀδύνας παύσῃς; Καὶ φωνὴ γέγονε πρὸς αὐτόν· Ἀντώνιε, ὧδε ἤμην, ἀλλὰ περιέμενον ἰδεῖν τὸ σὸν ἀγώνισμα. Ἐπεὶ οὖν ὑπέμεινας, καὶ οὐχ ἡττήθης, ἔσομαί σοι ἀεὶ βοηθός, καὶ ποιήσω σε ὀνομαστὸν πανταχοῦ γενέσθαι. Ταῦτα ἀκούσας, ἀναστὰς ηὔχετο· καὶ τοσοῦτον ἴσχυσεν, ὡς αἰσθέσθαι αὐτόν, ὅτι πλείονα δύναμιν ἔσχεν ἐν τῷ σώματι μᾶλλον, ἧς εἶχε τὸ πρότερον. Ἦν δὲ τότε λοιπὸν ἐγγὺς τριάκοντα καὶ πέντε ἐτῶν.

11. Τῇ δὲ ἑξῆς προελθών, ἔτι μᾶλλον προθυμότερος ἦν εἰς τὴν θεοσέβειαν, καὶ γενόμενος πρὸς τὸν γέροντα τὸν παλαιὸν ἐκεῖνον, ἠξίου τὴν ἔρημον οἰκῆσαι σὺν αὐτῷ. Τοῦ δὲ παραιτησαμένου διά τε τὴν ἡλικίαν, καὶ διὰ τὸ μηδέπω εἶναι τοιαύτην συνήθειαν, εὐθὺς αὐτὸς ὥρμησεν εἰς τὸ ὄρος. Ἀλλὰ καὶ πάλιν ὁ ἐχθρός, βλέπων αὐτοῦ τὴν σπουδὴν καὶ θέλων ἐμποδίσαι ταύτην, ὑπέβαλεν ἐν ταῖς ὁδοῖς ἀργυροῦ δίσκου μεγάλου φαντασίαν. Ἀντώνιος δέ, συνεὶς τοῦ μισοκάλου τὴν τέχνην, ἔστη, καὶ τῷ δίσκῳ βλέπων, τὸν ἐν αὐτῷ διάβολον ἤλεγχε λέγων· Πόθεν ἐν ἐρήμῳ δίσκος; Οὐκ ἔστιν ἡ ὁδὸς αὕτη τετριμμένη, οὐδέ ἐστιν ἴχνος ὁδευσάντων ὧδέ τινων· ἐκπεσὼν οὐκ ἠδύνατο λαθεῖν μέγιστος ὤν. Ἀλλὰ καὶ ὁ ἀπολέσας, ἀναστρέψας καὶ ζητήσας εὗρεν ἂν διὰ τὸ ἔρημον εἶναι τὸν τόπον. Τοῦτο τέχνη τοῦ διαβόλου γέγονεν. Οὐκ ἐμποδίσεις ἐν τούτῳ μου τὴν προθυμίαν, διάβολε. Τοῦτο γὰρ σὺν «σοὶ εἴη εἰς ἀπώλειαν.[1]» Καὶ τοῦτο τοῦ Ἀντωνίου λέγοντος, ἐξέλιπεν ἐκεῖνος, ὡσεὶ καπνὸς ἀπὸ προσώπου πυρός.

12. Εἶτα πάλιν οὐκ ἔτι φαντασίαν, ἀληθινὸν δὲ χρυσὸν ἐρριμμένον ἐν ταῖς ὁδοῖς ἑώρακεν ἀπερχόμενος. Εἴτε δὲ τοῦ ἐχθροῦ δείξαντος, εἴτε τινὸς κρείττονος δυνάμεως γυμναζούσης τὸν ἀθλητήν, καὶ δεικνυούσης τῷ διαβόλῳ, ὅτι μηδὲ τῶν ἀληθῶς φροντίζει χρημάτων, οὔτε αὐτὸς ἀπήγγειλεν, οὔτε ἡμεῖς ἔγνωμεν, πλὴν ὅτι χρυσὸς ἦν ὁ φαινόμενος. Ὁ δὲ Ἀντώνιος τὸ μὲν πλῆθος ἐθαύμασεν, ὡς δὲ πῦρ ὑπερβάς, οὕτως αὐτὸν παρῆλθεν ὡς μηδὲ στραφῆναι· ἀλλὰ καὶ δρόμῳ σπουδάσαι τοσοῦτον, ὥστε κρύψαι καὶ λαθεῖν τὸν τόπον. Μᾶλλον οὖν καὶ μᾶλλον ἐπιτείνας τὴν πρόθεσιν, ὥρμησεν εἰς τὸ ὄρος. Καὶ παρεμβολὴν ἔρημον, καὶ διὰ τὸν χρόνον μεστὴν ἑρπετῶν εὑρὼν εἰς τὸ πέραν τοῦ ποταμοῦ, ἐκεῖ μετέθηκεν ἑαυτόν, καὶ ᾤκησεν ἐν αὐτῇ. Τὰ μὲν οὖν ἑρπετά, ὥσπερ τινὸς διώκοντος, εὐθὺς ἀνεχώρησαν· αὐτὸς δέ, τὴν εἴσοδον ἀναφράξας, καὶ ἄρτους εἰς μῆνας ἓξ ἀποθέμενος (ποιοῦσι δὲ τοῦτο Θηβαῖοι, καὶ πολλάκις μένουσι καὶ ὅλον ἐνιαυτὸν ἀβλαβεῖ), ἔχων ἔνδον ὕδωρ, ὥσπερ ἐν ἀδύτοις ἐγκαταδυόμενος μόνος ἔμενεν ἔνδον, μήτε αὐτὸς προϊών, μήτε τινὰ τῶν ἐρχομένων βλέπων. Αὐτὸς μὲν οὖν πολὺν χρόνον οὕτω συνῆψεν ἀσκούμενος· κατ᾽ ἐνιαυτὸν μόνον ἄνωθεν ἀπὸ τοῦ δώματος δεύτερον δεχόμενος τοὺς ἄρτους.

---

1. Πράξ. 8, 20.

13. Οἱ δὲ πρὸς αὐτὸν ἐρχόμενοι τῶν γνωρίμων, ἐπεὶ μὴ συνεχώρει τούτους εἰσελθεῖν, ἔξω πολλάκις ἡμέρας καὶ νύκτας ποιοῦντες, ἤκουον ὡς ὄχλων ἔνδον θορυβούντων, κτυπούντων, φωνὰς ἀφιέντων οἰκτράς, καὶ κραζόντων. Ἀπόστα τῶν ἡμετέρων· τί σοὶ καὶ τῇ ἐρήμῳ; οὐ φέρεις ἡμῶν τὴν ἐπιβουλήν. Τὴν μὲν οὖν ἀρχὴν εἶναί τινας σὺν αὐτῷ μαχομένους ἀνθρώπους, καὶ τούτους διὰ κλιμάκων εἰσεληλυθέναι πρὸς αὐτὸν ἐνόμιζον οἱ ἔξωθεν· ὡς δὲ διά τινος τρυμαλιᾶς παρακύψαντες, οὐδένα ἔβλεπον, τότε δὴ λογισάμενοι δαίμονας εἶναι τούτους, καὶ φοβηθέντες αὐτοί, τὸν Ἀντώνιον ἐκάλουν. Ὁ δὲ μᾶλλον τούτων ἤκουεν, ἢ ἐκείνων ἐφρόντιζε. Καὶ προσελθὼν ἐγγὺς τῆς θύρας, παρεκάλει τοὺς ἀνθρώπους ἀναχωρεῖν καὶ μὴ φοβεῖσθαι· οὕτω γὰρ ἔλεγε τοὺς δαίμονας φαντασίας ποιεῖν κατὰ τῶν δειλιώντων. Ὑμεῖς οὖν σφραγίσατε ἑαυτούς, καὶ ἄπιτε θαρροῦντες· καὶ τούτους ἄφετε παίζειν ἑαυτοῖς. Οἱ μὲν οὖν ἀπήρχοντο τετειχισμένοι τῷ σημείῳ τοῦ σταυροῦ. Ὁ δὲ ἔμενε, καὶ οὐδὲν ἐβλάπτετο παρ' αὐτῶν· ἀλλ' οὐδὲ ἔκαμνεν ἀγωνιζόμενος· ἡ γὰρ προσθήκη τῶν γινομένων αὐτῷ τῶν ἄνω θεωρημάτων, καὶ ἡ τῶν ἐχθρῶν ἀσθένεια, πολλὴν αὐτῷ τῶν πόνων ἀνάπαυλαν παρείχετο, καὶ εἰς πλείονα προθυμίαν παρεσκεύαζε. Καὶ γὰρ συνεχῶς παρέβαλλον οἱ γνώριμοι, νομίζοντες εὑρίσκειν αὐτὸν νεκρόν, καὶ ἤκουον αὐτοῦ ψάλλοντος· «Ἀναστήτω, ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ·[1]» καὶ πάλιν· «Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.[2]»

14. Εἴκοσι τοίνυν ἐγγὺς ἔτη διετέλεσεν, οὕτω καθ' ἑαυτὸν ἀσκούμενος, οὔτε προϊών, οὔτε παρά τινων συνεχῶς βλεπόμενος. Μετὰ δὲ ταῦτα, πολλῶν ποθούντων καὶ θελόντων αὐτοῦ τὴν ἄσκησιν ζηλῶσαι, ἄλλων τε γνωρίμων ἐλθόντων, καὶ βίᾳ τὴν θύραν καταβαλόντων καὶ ἐξεωσάντων, προῆλθεν ὁ Ἀντώνιος ὥσπερ ἔκ τινος ἀδύτου μεμυσταγωγημένος καὶ θεοφορούμενος· καὶ τότε πρῶτον ἀπὸ τῆς παρεμβολῆς ἐφάνη τοῖς ἐλθοῦσι πρὸς αὐτόν. Ἐκεῖνοι μὲν οὖν, ὡς εἶδον, ἐθαύμαζον ὁρῶντες αὐτοῦ τό τε σῶμα τὴν αὐτὴν ἕξιν ἔχον, καὶ μήτε πιανθέν, ὡς ἀγύμναστον, μήτε ἰσχνωθὲν ὡς ἀπὸ νηστειῶν καὶ μάχης δαιμόνων· τοιοῦτος γὰρ ἦν, οἷον καὶ πρὸ τῆς ἀναχωρήσεως ᾔδεισαν αὐτόν· τῆς δὲ ψυχῆς πάλιν καθαρὸν τὸ ἦθος· οὔτε γὰρ ὡς ὑπὸ ἀνίας συνεσταλμένον ἦν, οὔτε ὑφ' ἡδονῆς διακεχυμένον, οὔτε ὑπὸ γέλωτος ἢ κατηφείας συνεχόμενον· οὔτε γὰρ ἑωρακὼς τὸν ὄχλον ἐταράχθη, οὔτε ὡς ὑπὸ τοσούτων κατασπαζόμενος ἐγεγήθει· ἀλλ' ὅλος ἦν ἴσος, ὡς ὑπὸ τοῦ λόγου κυβερνώμενος, καὶ ἐν τῷ κατὰ φύσιν ἑστώς. Πολλοὺς γοῦν τῶν παρόντων τὰ σώματα πάσχοντας ἐθερά-

1. Ψαλμ. 67, 2-3. 2. Ψαλμ. 117, 12.

πευσεν ὁ Κύριος δι' αὐτοῦ· καὶ ἄλλους ἀπὸ δαιμόνων ἐκαθάρισε. Χάριν τε ἐν τῷ λαλεῖν ἐδίδου τῷ Ἀντωνίῳ· καὶ οὕτω πολλοὺς μὲν λυπουμένους παρεμυθεῖτο, ἄλλους δὲ μαχομένους διήλλαττεν εἰς φιλίαν· πᾶσιν ἐπιλέγων μηδὲν τῶν ἐν τῷ κόσμῳ προκρίνειν τῆς εἰς Χριστὸν ἀγάπης. Διαλεγόμενος δὲ καὶ παραινῶν μνημονεύειν περὶ τῶν μελλόντων ἀγαθῶν καὶ τῆς εἰς ἡμᾶς γενομένης τοῦ Θεοῦ φιλανθρωπίας, «ὃς οὐκ ἐφείσατο τοῦ ἰδίου Υἱοῦ, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν·[1]» ἔπεισε πολλοὺς αἱρήσασθαι τὸν μονήρη βίον· καὶ οὕτω λοιπὸν γέγονε καὶ ἐν τοῖς ὄρεσι μοναστήρια, καὶ ἡ ἔρημος ἐπολίσθη ὑπὸ μοναχῶν, ἐξελθόντων ὑπὸ τῶν ἰδίων, καὶ ἀπογραψαμένων τὴν ἐν τοῖς οὐρανοῖς πολιτείαν.

15. Χρείας δὲ γενομένης διελθεῖν αὐτὸν τὴν τοῦ Ἀρσενοΐτου διώρυγα (χρεία δὲ ἦν ἡ τῶν ἀδελφῶν ἐπίσκεψις), πλήρης ἦν ἡ διώρυξ κροκοδείλων. Καὶ μόνον εὐξάμενος, ἐνέβη αὐτός τε καὶ πάντες οἱ σὺν αὐτῷ, καὶ διῆλθον ἀβλαβεῖς. Ὑποστρέψας δὲ εἰς τὸ μοναστήριον, τῶν αὐτῶν εἴχετο σεμνῶν καὶ νεανικῶν πόνων. Διαλεγόμενός τε συνεχῶς, τῶν μὲν ἤδη μοναχῶν τὴν προθυμίαν ηὔξανε, τῶν δὲ ἄλλων τοὺς πλείστους εἰς ἔρωτα τῆς ἀσκήσεως ἐκίνει, καὶ ταχέως, ἕλκοντος τοῦ λόγου, πλεῖστα γέγονε μοναστήρια, καὶ πάντων αὐτῶν ὡς πατὴρ καθηγεῖτο.

16. Μιᾷ γοῦν ἡμέρᾳ προελθών, καὶ πάντων τῶν μοναχῶν ἐλθόντων πρὸς αὐτόν, ἀξιούντων τε παρ' αὐτοῦ ἀκοῦσαι λόγον, ἔλεγεν αὐτοῖς τῇ Αἰγυπτιακῇ φωνῇ ταῦτα· Τὰς μὲν Γραφὰς ἱκανὰς εἶναι πρὸς διδασκαλίαν· ἡμᾶς δὲ καλὸν παρακαλεῖν ἀλλήλους ἐν τῇ πίστει, καὶ ἀλείφειν ἐν τοῖς λόγοις. Καὶ ὑμεῖς τοίνυν ὡς τέκνα φέρετε τῷ πατρὶ λέγοντες, ἃ οἴδατε κἀγὼ δὲ ὡς τῇ ἡλικίᾳ πρεσβύτερος ὑμῶν, ἃ οἶδα καὶ ὧν πεπείραμαι μεταδίδωμι. Ἔστω δὲ προηγουμένως κοινὴ πᾶσιν αὕτη σπουδή, ἀρξαμένους μὴ ὑπενδοῦναι, μηδὲ ἐκκακεῖν ἐν τοῖς πόνοις, μηδὲ λέγειν. Ἐχρονίσαμεν ἐν τῇ ἀσκήσει· ἀλλὰ μᾶλλον ὡς ἀρχόμενοι καθ' ἡμέραν, τὴν προθυμίαν ἐπαυξήσωμεν. Ὅλος γὰρ ὁ τῶν ἀνθρώπων βίος βραχύτατός ἐστι, μετρούμενος πρὸς τοὺς μέλλοντας αἰῶνας· ὥστε καὶ πάντα τὸν χρόνον ἡμῶν μηδὲν εἶναι πρὸς τὴν αἰώνιον ζωήν. Καὶ πᾶν μὲν πρᾶγμα ἐν τῷ κόσμῳ τοῦ ἀξίου, πιπράσκεται, καὶ ἴσον ἴσῳ τις ἀντικαταλλάσσει· ἡ δὲ ἐπαγγελία τῆς αἰωνίου ζωῆς ὀλίγου τινὸς ἀγοράζεται. Γέγραπται γάρ· «Αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος.[2]» Ὅταν τοίνυν πάντα τὰ ὀγδοήκοντα ἔτη, ἢ καὶ ἑκατὸν διαμείνωμεν ἐν τῇ ἀσκήσει, οὐκ ἴσα τοῖς ἑκατὸν ἔτεσι βασιλεύσομεν, ἀλλ' ἀντὶ τῶν ἑκατὸν αἰῶνας αἰώνων βασιλεύσομεν· καὶ ἐπὶ γῆς ἀγωνισάμενοι, οὐκ ἐν γῇ κληρονομοῦμεν, ἀλλ' ἐν οὐρανοῖς ἔχομεν τὰς ἐπαγγελίας· πάλιν δὲ φθαρτὸν ἀποθέμενοι τὸ σῶμα, ἄφθαρτον ἀπολαμβάνομεν αὐτό.

1. Ῥωμ. 8, 32. 2. Ψαλμ. 89, 10.

17. Ὥστε τέκνα, μὴ ἐκακκῶμεν, μηδὲ νομίζωμεν, χρονίζειν, ἢ μέγα τι ποιεῖν. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν.[1]» Μηδὲ εἰς τὸν κόσμον βλέποντες νομίζωμεν μεγάλοις τισὶν ἀποτετάχθαι· καὶ γὰρ καὶ αὐτὴ πᾶσα ἡ γῆ βραχυτάτη πρὸς ὅλον τὸν οὐρανόν ἐστιν. Εἰ τοίνυν καὶ πάσης τῆς γῆς κύριοι ἐτυγχάνομεν, καὶ ἀπετασσόμεθα τῇ γῇ πάσῃ, οὐδὲν ἄξιον ἦν πάλιν πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὡς γὰρ εἴ τις καταφρονήσειε μιᾶς χαλκῆς δραχμῆς, ἵνα κερδήσῃ χρυσᾶς δραχμὰς ἑκατόν, οὕτως ὁ πάσης τῆς γῆς κύριος ὤν, καὶ ἀποτασσόμενος αὐτῇ, ὀλίγον ἀφίησι, καὶ ἑκατονταπλασίονα λαμβάνει. Εἰ δὲ οὐδὲ πᾶσα ἡ γῆ ἀξία τῶν οὐρανῶν ἐστιν, ὁ ἄρα ἀφεὶς ὀλίγας ἀρούρας, ὡς οὐδὲν καταλιμπάνων, κἂν οἰκίαν ἢ χρυσίον ἱκανὸν ἀφῇ, οὐκ ὀφείλει καυχᾶσθαι ἢ ἀκηδιᾶν. Ἄλλως τε ὀφείλομεν λογίζεσθαι, ὅτι, κἂν μὴ ἀφῶμεν δι' ἀρετήν, ἀλλ' ὕστερον ἀποθνήσκοντες καταλιμπάνομεν αὐτὰ πολλάκις καὶ οἷς οὐ θέλομεν, ὡς ἐμνημόνευσεν ὁ Ἐκκλησιαστής.[2] Διὰ τί οὖν μὴ δι' ἀρετὴν ἡμεῖς καταλιμπάνομεν, ἵνα καὶ βασιλείαν κληρονομήσωμεν; Διὰ τοῦτο μηδὲ τοῦ κτᾶσθαί τις ἡμῶν ἐπιθυμίαν λαμβανέτω. Τί γὰρ κέρδος ταῦτα κτᾶσθαι, ἃ μηδὲ αἴρομεν μεθ' ἑαυτῶν; τί οὐ μᾶλλον ἐκεῖνα κτώμεθα, ἃ καὶ μεθ' ἑαυτῶν ἆραι δυνάμεθα, ἅτινά ἐστι φρόνησις, δικαιοσύνη, σωφροσύνη, ἀνδρεία, σύνεσις, ἀγάπη, φιλοπτωχία, πίστις ἡ εἰς Χριστόν, ἀοργησία, φιλοξενία; Ταῦτα κτώμενοι, εὑρήσομεν αὐτὰ πρὸ ἑαυτῶν ἐκεῖ ποιοῦντα ἡμῖν ξενίαν ἐν τῇ γῇ τῶν πραέων.

18. Ὥστε καὶ ἐκ τοιούτων πειθέτω τις ἑαυτὸν μὴ ὀλιγωρεῖν· καὶ μάλιστα, ἐὰν λογίσηται, δοῦλον ἑαυτὸν εἶναι τοῦ Κυρίου, καὶ ὀφείλοντα τῷ δεσπότῃ δουλεύειν. Ὥσπερ οὖν ὁ δοῦλος οὐκ ἂν τολμήσῃ λέγειν· Ἐπειδὴ χθὲς εἰργασάμην, οὐκ ἐργάζομαι σήμερον· οὐδὲ τὸν παρελθόντα χρόνον μετρῶν, παύσεται τῶν ἑξῆς ἡμερῶν, ἀλλὰ καθ' ἡμέραν, ὡς ἐν τῷ Εὐαγγελίῳ γέγραπται, τὴν αὐτὴν προθυμίαν δείκνυσιν, ἵνα τῷ κυρίῳ αὐτοῦ ἀρέσκῃ, καὶ μὴ κινδυνεύσῃ· οὕτω καὶ ἡμεῖς καθ' ἡμέραν ἐπιμένωμεν τῇ ἀσκήσει, εἰδότες, ὅτι, ἐὰν μίαν ἡμέραν ἀμελήσωμεν, οὐ διὰ τὸν παρελθόντα χρόνον ἡμῖν συγχωρήσει, ἀλλὰ διὰ τὴν ἀμέλειαν ἀγανακτήσει καθ' ἡμῶν. Οὕτως καὶ ἐν τῷ Ἰεζεκιὴλ ἠκούσαμεν·[3] οὕτως καὶ ὁ Ἰούδας διὰ νύκτα μίαν ἀπώλεσε καὶ τοῦ παρελθόντος χρόνου τὸν κάματον.

19. Ἐχώμεθα οὖν, τῆς ἀσκήσεως, καὶ μὴ ἀκηδιῶμεν. Ἔχομεν γὰρ ἐν τούτῳ καὶ τὸν Κύριον συνεργόν, ὡς γέγραπται· Παντὶ τῷ προαιρουμένῳ τὸ ἀγαθὸν συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν.[4] Εἰς δὲ τὸ μὴ ὀλιγωρεῖν ἡμᾶς καλὸν τὸ τοῦ Ἀποστόλου ῥητὸν μελετᾶν, τό, «Καθ' ἡμέραν ἀποθνήσκω.[5]» Ἂν γὰρ καὶ ἡμεῖς, ὡς ἀποθνήσκοντες

---

1. Ῥωμ. 8, 18. 2. Πρβλ. Ἐκκλ. 4, 8. 3. Πρβλ. Ἰεζ. 18. 4. Ῥωμ. 8, 28. 5. Α' Κορ. 15, 31.

καθ' ἡμέραν, οὕτως ζῶμεν, οὐχ ἁμαρτήσομεν. Ἔτι δὲ τὸ λεγόμενον τοιοῦτον, ἵνα, ἐγειρόμενοι καθ' ἡμέραν, νομίζωμεν μὴ μένειν ἕως ἑσπέρας, καὶ πάλιν μέλλοντες κοιμᾶσθαι, νομίζωμεν μὴ ἐγείρεσθαι, ἀδήλου φύσει καὶ τῆς ζωῆς ἡμῶν οὔσης, καὶ μετρουμένης καθ' ἡμέραν παρὰ τῆς Προνοίας. Οὕτω δὲ διακείμενοι, καὶ καθ' ἡμέραν οὕτω ζῶντες, οὔτε ἁμαρτήσομεν, οὔτε τινὸς ἐπιθυμίαν ἕξομεν, οὔτε μηνιοῦμέν τινι, οὔτε θησαυρίσομεν ἐπὶ τῆς γῆς· ἀλλ' ὡς καθ' ἡμέραν προσδοκῶντες ἀποθνήσκειν, ἀκτήμονες ἐσόμεθα, καὶ πᾶσι πάντα συγχωρήσομεν· ἐπιθυμίας δὲ γυναικός, ἢ ἄλλης ῥυπαρᾶς ἡδονῆς, οὐδ' ὅλως κρατήσομεν, ἀλλ' ὡς παρερχομένην ἀποστραφησόμεθα· ἀγωνιῶντες ἀεὶ καὶ προβλέποντες τὴν ἡμέραν τῆς κρίσεως. Ἀεὶ γὰρ ὁ μείζων φόβος καὶ ὁ ἀγὼν τῶν βασάνων διαλύει τὸ λεῖον τῆς ἡδονῆς, καὶ τὴν ψυχὴν κλίνουσαν ἀνίστησιν.

20. Οὐκοῦν ἀρξάμενοι καὶ ἐπιβάντες ἤδη τῇ ὁδῷ τῆς ἀρετῆς, ἐπεκτεινώμεθα μᾶλλον ἵνα φθάσωμεν ἐπὶ τὰ ἔμπροσθεν.[1] Καὶ μηδεὶς εἰς τὰ ὀπίσω στρεφέσθω, ὡς ἡ γυνὴ τοῦ Λώτ·[2] μάλιστα ὅτι Κύριος εἴρηκεν· «Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.[3]» Τὸ δὲ στραφῆναι οὐδὲν ἕτερόν ἐστιν ἢ μεταμεληθῆναι, καὶ πάλιν κοσμικὰ φρονεῖν. Μὴ φοβεῖσθε δὲ ἀκούοντες περὶ ἀρετῆς, μηδὲ ξενίζεσθε περὶ τοῦ ὀνόματος· οὐ γὰρ μακρὰν ἀφ' ἡμῶν ἐστιν οὐδ' ἔξωθεν ἡμῶν συνίσταται, ἐν ἡμῖν δέ ἐστι τὸ ἔργον, καὶ εὔκολόν ἐστι τὸ πρᾶγμα, ἐὰν μόνον θελήσωμεν. Ἕλληνες μὲν οὖν ἀποδημοῦσι, καὶ θάλασσαν περῶσι, ἵνα γράμματα μάθωσιν· ἡμεῖς δὲ οὐ χρείαν ἔχομεν ἀποδημῆσαι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, οὔτε περᾶσαι θάλατταν διὰ τὴν ἀρετήν. Φθάσας γὰρ εἶπεν ὁ Κύριος· «Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν.[4]» Οὐκοῦν ἡ ἀρετὴ τοῦ θέλειν ἡμῶν μόνου χρείαν ἔχει· ἐπειδήπερ ἐν ἡμῖν ἐστι, καὶ ἐξ ἡμῶν συνίσταται. Τῆς γὰρ ψυχῆς τὸ νοερὸν κατὰ φύσιν ἐκούσης, ἡ ἀρετὴ συνίσταται. Κατὰ φύσιν δὲ ἔχει, ὅτ' ἂν ὡς γέγονε μένει, γέγονε δὲ καλὴ καὶ εὐθὴς λίαν. Διὰ τοῦτο ὁ μὲν τοῦ Ναυὴ Ἰησοῦς παραγγέλλων ἔλεγε τῷ λαῷ· «Εὐθύνατε τὴν καρδίαν ὑμῶν πρὸς Κύριον τὸν Θεὸν Ἰσραήλ.[5]» Ὁ δὲ Ἰωάννης· «Εὐθείας ποιεῖτε τὰς τρίβους ὑμῶν.[6]» Τὸ γὰρ εὐθεῖαν εἶναι τὴν ψυχήν, τοῦτό ἐστι τὸ κατὰ φύσιν νοερὸν αὐτῆς ὡς ἐκτίσθη. Πάλιν δὲ ὅτ' ἂν ἐκκλίνῃ, καὶ ἐν διαστροφῇ τοῦ κατὰ φύσιν γένηται, τότε κακία ψυχῆς λέγεται. Οὐκοῦν οὐκ ἔστι δυσχερὲς τὸ πρᾶγμα· ἐὰν γὰρ μείνωμεν ὡς γεγόναμεν, ἐν τῇ ἀρετῇ ἐσμεν· ἐὰν δὲ λογιζώμεθα τὰ φαῦλα, ὡς κακοὶ κρινόμεθα. Εἰ μὲν οὖν ἔξωθεν ἦνποριστέον τὸ πρᾶγμα, δυσχερὲς ὄντως ἦν· εἰ δὲ ἐν ἡμῖν ἐστι, φυλάξωμεν ἑαυτοὺς ἀπὸ ῥυπαρῶν λογισμῶν, καὶ ὡς παρακαταθήκην λαβόντες, τηρήσωμεν

---

1. Πρβλ. Φιλιπ. 3, 13. 2. Πρβλ. Γεν. 19, 26. 3. Λουκ. 9, 62.
4. Λουκ. 17, 21. 5. Ἰησ. Ν. 24, 23. 6. Ματθ. 3, 3.

τῷ Κυρίῳ τὴν ψυχήν· ἵν' αὐτὸς ἐπιγνῷ τὸ ποίημα αὐτοῦ, οὕτως οὖσαν, ὥσπερ αὐτὴν καὶ πεποίηκεν αὐτήν.

21. Ἔστω δὲ ἡμῖν ἀγών, ὥστε μὴ τυραννεῖν ἡμῶν θυμόν, μηδὲ κρατεῖν ἡμῶν ἐπιθυμίαν. Γέγραπται γάρ, ὅτι «Ὀργὴ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται·[1]» «ἡ δὲ ἐπιθυμία, συλλαβοῦσα, τίκτει ἁμαρτίαν·[2]» ἡ δὲ ἁμαρτία, ἀποτελεσθεῖσα ἀποκύει θάνατον. Οὕτω δὲ πολιτευόμενοι νήφωμεν ἀσφαλῶς· καί, ὡς γέγραπται, πάσῃ φυλακῇ τηρῶμεν ἑαυτῶν τὴν καρδίαν.[3] Ἐχθροὺς γὰρ ἔχομεν δεινοὺς καὶ πανούργους, τοὺς πονηροὺς δαίμονας· καὶ πρὸς τούτους ἐστὶν ἡμῖν ἡ πάλη, ὡς εἶπεν ὁ Ἀπόστολος· «Οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, καὶ πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις.[4]» Πολὺς μὲν οὖν ἐστιν αὐτῶν ὁ ὄχλος ἐν τῷ καθ' ἡμᾶς ἀέρι, καὶ μακρὰν οὐκ εἰσὶν ἀφ' ἡμῶν· πολλὴ δέ τίς ἐστιν ἐν αὐτοῖς ἡ διαφορά. Καὶ περὶ μὲν τῆς φύσεως αὐτῶν καὶ τῆς διαφορᾶς πολὺς ἂν εἴη λόγος, καὶ ἄλλων μειζόνων ἢ καθ' ἡμᾶς ἐστι τὸ τοιοῦτον διήγημα· τὸ δὲ νῦν κατεπεῖγον καὶ ἀναγκαῖον ἡμῖν, γνῶναί ἐστι μόνον τὰς καθ' ἡμῶν αὐτῶν πανουργίας.

22. Πρῶτον τοίνυν τοῦτο γινώσκωμεν, ὅτι οἱ δαίμονες οὐ καθ' ὃ δαίμονες καλοῦνται, οὕτω γεγόνασιν· οὐδὲν γὰρ κακὸν ἐποίησεν ὁ Θεός· ἀλλὰ καλοὶ μὲν γεγόνασι καὶ αὐτοί, ἐκπεσόντες δὲ ἀπὸ τῆς οὐρανίου φρονήσεως, καὶ λοιπὸν περὶ τὴν γῆν καλινδούμενοι, τοὺς μὲν Ἕλληνας ἠπάτησαν ταῖς φαντασίαις, ἡμῖν δὲ τοῖς Χριστιανοῖς φθονοῦντες, πάντα κινοῦσι, θέλοντες ἐμποδίζειν ἡμᾶς τῆς εἰς οὐρανοὺς ἀνόδου, ἵνα μὴ ὅθεν ἐξέπεσον αὐτοὶ ἀνέλθωμεν ἡμεῖς· Δι' ὃ καὶ πολλῆς εὐχῆς, καὶ ἀσκήσεώς ἐστι χρεία· ἵνα τις, λαβὼν διὰ τοῦ Πνεύματος χάρισμα διακρίσεως πνευμάτων, γνῶναι δυνηθῇ τὰ κατ' αὐτούς· καὶ τίνες μὲν αὐτῶν εἰσιν ἔλαττον φαῦλοι, τίνες δὲ ἐκείνων φαυλότεροι, καὶ περὶ ποῖον ἐπιτήδευμα ἕκαστος αὐτῶν ἔχει τὴν σπουδήν, καὶ πῶς ἕκαστος αὐτῶν ἀνατρέπεται καὶ ἐκβάλλεται. Πολλὰ γὰρ αὐτῶν ἐστι τὰ πανουργεύματα, καὶ τὰ τῆς ἐπιβουλῆς κινήματα. Ὁ μὲν οὖν μακάριος Ἀπόστολος καὶ οἱ κατ' αὐτὸν ᾔδεισαν τὰ τοιαῦτα λέγοντες· «Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν·[5]» ἡμεῖς δὲ ἀφ' ὧν ἐπειράθημεν παρ' αὐτῶν, ὀφείλομεν ἀλλήλους ὑπ' αὐτῶν διορθοῦσθαι. Ἐγὼ γοῦν, ἐκ μέρους πεῖραν αὐτῶν ἔχων, ὡς τέκνοις λέγω.

23. Οὗτοι μὲν οὖν, ἐὰν ἴδωσι καὶ πάντας μὲν Χριστιανούς, μάλιστα δὲ μοναχούς, φιλοπονοῦντας καὶ προκόπτοντας, πρῶτον μὲν ἐπιχειροῦσι καὶ πειράζουσιν, ἐχόμενα τρίβον τιθέντες σκάνδαλα· σκάνδαλα δὲ αὐτῶν εἰσιν οἱ πονηροὶ λογισμοί. Οὐ δεῖ δὲ ἡμᾶς φοβεῖσθαι τὰς ὑποβολὰς αὐτῶν· εὐχαῖς γὰρ καὶ νηστείαις καὶ τῇ εἰς τὸν Κύριον

1. Ἰακ. 1, 20. 2. Ἰακ. 1, 15. 3. Παρμ. 4, 23. 4. Ἐφεσ. 6, 12. 5. Β' Κορ. 2, 11.

πίστει πίπτουσιν εὐθὺς ἐκεῖνοι. Ἀλλὰ καὶ πεσόντες οὐ παύονται, αὖθις δὲ πάλιν προσέρχονται πανούργως καὶ δολίως. Ἐπειδὰν γὰρ ἐκ φανεροῦ καὶ ῥυπαρᾶς ἡδονῆς μὴ δυνηθῶσιν ἀπατῆσαι τὴν καρδίαν, ἄλλως πάλιν ἐπιβαίνουσι· καὶ λοιπὸν φαντασίας ἀναπλάττοντες ἐκφοβεῖν προσποιοῦνται, μετασχηματιζόμενοι, καὶ μιμούμενοι γυναῖκας, θηρία, ἑρπετά, καὶ μεγέθη σωμάτων, καὶ πλῆθος στρατιωτῶν. Ἀλλ' οὐδὲ οὕτως δεῖ τὰς τούτων φαντασίας δειλιᾶν· οὐδὲν γάρ εἰσιν, ἀλλὰ καὶ ταχέως ἀφανίζονται· ἐὰν μάλιστα τῇ πίστει καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἑαυτόν τις περιφράττῃ. Τολμηροὶ δέ εἰσι καὶ λίαν ἀναιδεῖς. Ἐὰν γὰρ καὶ οὕτως ἡττηθῶσιν, ἄλλῳ τρόπῳ πάλιν ἐπιβαίνουσι. Καὶ προσποιοῦνται μαντεύεσθαι, καὶ προλέγειν τὰ μεθ' ἡμέρας ἐρχόμενα, δεικνύειν τε ἑαυτοὺς ὑψηλοὺς ἄχρι τῆς στέγης φθάνοντας, καὶ πλατεῖς τῷ μεγέθει· ἵνα οὓς οὐκ ἠδυνήθησαν ἀπατῆσαι τοῖς λογισμοῖς, κἂν ταῖς τοιαύταις φαντασίαις ὑφαρπάσωσιν. Ἐὰν δὲ καὶ οὕτως εὕρωσι τὴν ψυχὴν ἠσφαλισμένην τῇ πίστει, καὶ τῇ ἐλπίδι τῆς διανοίας, λοιπὸν ἐπάγονται τὸν ἄρχοντα ἑαυτῶν.

24. Καὶ φαίνεσθαι αὐτοὺς πολλάκις ἔλεγε τοιούτους, οἷον τὸν διάβολον τῷ Ἰὼβ ὁ Κύριος ἀπεκάλυψε, λέγων. «Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς εἶδος ἑωσφόρου. Ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι,καὶ διαρριπτοῦνται ἐσχάραι πυρός· ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων. Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες· φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται.[1]» Τοιοῦτος δὲ φαινόμενος ὁ τῶν δαιμονίων ἄρχων, ἐκφοβεῖ, καθὰ προεῖπον, μεγάλα λαλῶν ὁ πανοῦργος, ὡς πάλιν ἐξήλεγξεν αὐτὸν ὁ Κύριος, τῷ μὲν Ἰὼβ λέγων· «Ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν·[2]» ἥγηται δὲ θάλασσαν ὥσπερ ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· ἐλογίσατο ἄβυσσον ὡς περίπατον·[3]» διὰ δὲ τοῦ προφήτου· «Εἶπεν ὁ ἐχθρός· Διώξας καταλήψομαι·[4]» καὶ πάλιν δι' ἑτέρου· «Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νεοσσιάν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ.[5]» Καὶ ὅλως τοιαῦτα κομπάζειν ἐπιχειροῦσι, καὶ ἐπαγγέλλονται ταῦτα, ὅπως ἀπατήσωσι τοὺς θεοσεβοῦντας. Ἀλλ' ἡμᾶς οὐδ' οὕτως πάλιν χρὴ τοὺς πιστοὺς τάς τε φαντασίας αὐτοῦ φοβεῖσθαι, καὶ ταῖς φωναῖς αὐτοῦ προσέχειν. Ψεύδεται γάρ, καὶ οὐδὲν ὅλως ἀληθὲς λαλεῖ. Ἀμέλει τοιαῦτα καὶ τοσαῦτα λαλῶν καὶ θρασυνόμενος, ὡς μὲν δράκων εἱλκύσθη τῷ ἀγκίστρῳ παρὰ τοῦ Σωτῆρος, ὡς δὲ κτῆνος φορβαίαν ἔλαβε περὶ τὰς ῥῖνας, ὡς δὲ δραπέτης κρίκῳ δέδεται τοὺς μυκτῆρας, καὶ ψελλίῳ τετρύπηται τὰ χείλη. Καὶ δέδεται μὲν παρὰ τοῦ Κυρίου ὡς στρουθίον[6], εἰς τὸ καταπαίζεσθαι παρ' ἡμῶν· τέθεινται δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ δαίμονες, ὡς σκορπίοι καὶ ὄφεις, εἰς τὸ καταπατεῖσθαι παρ' ἡμῶν τῶν

1. Ἰὼβ 41, 10-13. 2. Ἰὼβ 41, 19. 3. Ἰὼβ 41, 23-24. 4. Ἔξ. 15,9.
5. Ἡσ. 10, 14. 6. Πρβλ. Ἰὼβ 40, 29.

Χριστιανῶν.[1] Καὶ τούτου γνώρισμα, τὸ νῦν ἡμᾶς πολιτεύεσθαι κατ' αὐτοῦ. Ὁ γὰρ τὴν θάλασσαν ἐπαγγελλόμενος ἐξαλείφειν καὶ τὴν οἰκουμένην καταλαμβάνειν, ἰδοὺ νῦν οὐ δύναται κωλῦσαι τὴν ἄσκησιν ὑμῶν, ἀλλ' οὐδὲ ἐμὲ λαλοῦντα κατ' αὐτοῦ. Μὴ τοίνυν προσέχωμεν οἷς ἂν λαλῇ (ψεύδεται γάρ), μηδὲ δειλιῶμεν αὐτοῦ τὰς φαντασίας, ψευδεῖς καὶ αὐτὰς τυγχανούσας. Οὐ γὰρ φῶς ἐστιν ἀληθὲς τὸ φαινόμενον ἐν αὐταῖς· τοῦ δὲ ἡτοιμασμένου πυρὸς αὐτοῖς μᾶλλον τὰ προοίμια καὶ τὰς εἰκόνας φέρουσι· καὶ ἐν οἷς κατακαίεσθαι μέλλουσιν, ἐν τούτοις ἐκφοβεῖν τοὺς ἀνθρώπους πειράζουσιν. Ἀμέλει φαίνονται, καὶ παρ' αὐτὰ πάλιν ἀφανίζονται· βλάψαντες μὲν οὐδένα τῶν πιστῶν, φέροντες δὲ μεθ' ἑαυτῶν τὴν ἀφομοίωσιν τοῦ μέλλοντος αὐτοὺς δέχεσθαι πυρός. Ὅθεν οὐδὲ οὕτως φοβεῖσθαι τούτους προσήκει· πάντα γὰρ αὐτῶν διὰ τὴν τοῦ Χριστοῦ χάριν εἰς οὐδέν ἐστι τὰ ἐπιτηδεύματα.

25. Δόλιοι δέ εἰσι καὶ ἕτοιμοι πρὸς πάντα μεταβάλλεσθαι καὶ μετασχηματίζεσθαι. Πολλάκις γοῦν καὶ ψάλλειν μετ' ᾠδῆς προσποιοῦνται μὴ φαινόμενοι, καὶ μνημονεύουσι τῶν ἀπὸ τῶν Γραφῶν λέξεων· ἔστι δὲ ὅτε καὶ ἀναγινωσκόντων ἡμῶν, εὐθὺς ὥσπερ ἠχὼ λέγουσιν αὐτοὶ τὰ αὐτὰ πολλάκις ἅπερ ἀνέγνωσται· καὶ κοιμωμένους ἡμᾶς διεγείρουσιν εἰς προσευχάς· καὶ τοῦτο συνεχῶς ποιοῦσι, σχεδὸν μὴ ἐπιτρέποντες ἡμῖν μηδὲ κοιμᾶσθαι. Ἔστι δὲ ὅτε καὶ ἀποτυποῦντες ἑαυτοὺς εἰς σχήματα μοναχῶν, ὡς εὐλαβεῖς προσποιοῦνται λαλεῖν, ἵνα τῷ ὁμοίῳ σχήματι πλανήσωσι, καὶ λοιπὸν ἔνθα θέλουσιν ἑλκύσωσι τοὺς ἀπατηθέντας παρ' αὐτῶν. Ἀλλ' οὐ χρὴ προσέχειν αὐτοῖς, κἂν εἰς προσευχὴν διεγείρωσι, κἂν συμβουλεύωσι μήθ' ὅλως ἐσθίειν, κἂν κατηγορεῖν καὶ ὀνειδίζειν προσποιῶνται, ἐν οἷς ποτε συνέγνωσαν ἡμῖν. Οὐ γὰρ δι' εὐλάβειαν ἢ ἀλήθειαν ταῦτα ποιοῦσιν, ἀλλ' ἵνα τοὺς ἀκεραίους εἰς ἀπόγνωσιν ἐνέγκωσιν, καὶ ἀνωφελῆ τὴν ἄσκησιν εἴπωσι, ναυτιᾶσαί τε ποιήσωσι τοὺς ἀνθρώπους, ὡς φορτικοῦ καὶ βαρυτάτου ὄντος τοῦ μονήρους βίου, καὶ ἐμποδίσωσι τοὺς κατ' αὐτῶν πολιτευομένους.

26. Ὁ μὲν οὖν προφήτης ἀποσταλεὶς παρὰ τοῦ Κυρίου, ἐταλάνιζε τοὺς τοιούτους λέγων· Οὐαὶ «ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν.[2]» Τὰ γὰρ τοιαῦτα ἐπιτηδεύματα καὶ ἐνθυμήματα ἀνατρεπτικὰ τῆς εἰς ἀρετὴν φερούσης ἐστὶν ὁδοῦ. Ὁ δὲ Κύριος αὐτὸς δι' ἑαυτοῦ, καίτοι τἀληθῆ λέγοντας τοὺς δαίμονας (ἀληθῆ γὰρ ἔλεγον· Σὺ εἶ ὁ Υἱὸς Θεοῦ)[3] ὅμως ἐφίμου, καὶ λαλεῖν ἐκώλυε, μή ποτε μετὰ τῆς ἀληθείας καὶ τὴν ἰδίαν κακίαν ἐπισπείρωσι, καὶ ἵνα καὶ ἡμᾶς συνεθίσῃ, μηδέποτε τοῖς τοιούτοις προσέχειν, κἂν δοκῶσι τἀληθῆ λέγειν· καὶ γὰρ ἀπρεπές, ἔχοντας ἡμᾶς τὰς ἁγίας Γραφάς, καὶ τὴν παρὰ τοῦ Σωτῆρος ἐλευθερίαν, διδάσκεσθαι παρὰ τοῦ διαβόλου, τοῦ μὴ τηρήσαντος τὴν ἰδίαν τάξιν, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων φρονήσαντος. Διὰ τοῦτο

1. Πρβλ. Λουκ. 10, 19. 2. Ἀββακ. 2, 15. 3. Λουκ. 4, 41.

καὶ λαλοῦντα τοῦτον τὰς ἀπὸ τῶν Γραφῶν λέξεις κωλύει λέγων· «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; [1]» Πάντα γὰρ ποιοῦσι, καὶ λαλοῦσι, καὶ θορυβοῦσι, καὶ ὑποκρίνονται, καὶ ταράττουσι πρὸς ἀπάτην τῶν ἀκεραίων. Καὶ κτύπους γοῦν ποιοῦσι, καὶ γελῶσιν ἀφρόνως καὶ συρίττουσιν· ἂν δὲ μή τις αὐτοῖς προσέχῃ, λοιπὸν κλαίουσι καὶ θρηνοῦσιν ὡς ἡττηθέντες.

27. Ὁ μὲν οὖν Κύριος ὡς Θεὸς ἐφίμου τοὺς δαίμονας· ἡμᾶς δέ, μαθόντας ἀπὸ τῶν ἁγίων, πρέπει κατ' ἐκείνους ποιεῖν, καὶ μιμεῖσθαι τὴν ἀνδρίαν αὐτῶν. Καὶ γὰρ κἀκεῖνοι ταῦτα βλέποντες ἔλεγον· «Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν· [2]» καὶ πάλιν· «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενήθην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων.[3]» Οὐκοῦν καὶ ἡμεῖς μήτε ἀκούωμεν αὐτῶν ὡς ἀλλοτρίων ὄντων ἡμῶν, μήτε ὑπακούωμεν αὐτῶν, κἂν εἰς εὐχὴν ἐγείρωσι, κἂν λαλῶσι περὶ νηστειῶν· τῇ δὲ προθέσει τῆς ἀσκήσεως ἑαυτῶν μᾶλλον προσέχωμεν, καὶ μὴ παρ' ἐκείνων ἀπατώμεθα πάντα πραττόντων μετὰ δόλου. Οὐ δεῖ δὲ φοβεῖσθαι αὐτούς, κἂν ἐπέρχεσθαι δοκῶσι, κἂν θάνατον ἀπειλῶσιν· ἀσθενεῖς γάρ εἰσι, καὶ οὐδὲν δύνανται, ἢ μόνον ἀπειλεῖν.

28. Ἤδη μὲν οὖν περὶ τούτου παρερχόμενος εἴρηκα· καὶ νῦν δὲ πλατύτερον εἰπεῖν τὰ περὶ αὐτῶν οὐκ ὀκνητέον· ἀσφαλὴς γὰρ ὑμῖν ἡ ὑπόμνησις ἔσται. Ἐπιδημήσαντος τοῦ Κυρίου πέπτωκεν ὁ ἐχθρός, καὶ ἠσθένησαν οἱ δυνάμεις αὐτοῦ. Διὰ τοῦτο γοῦν μηδὲν δυνάμενος ὅμως ὡς τύραννος, καὶ πεσὼν οὐκ ἠρεμεῖ, ἀλλὰ κἂν λόγοις μόνον ἀπειλεῖ· καὶ τοῦτο ἕκαστος ὑμῶν λογιζέσθω, καὶ δύναται καταφρονεῖν τῶν δαιμόνων. Εἰ μὲν οὖν τοιούτοις σώμασιν ἦσαν ἐνδυθέντες, ὥσπερ ἐσμὲν ἡμεῖς, δυνατὸν ἦν αὐτοῖς λέγειν, ὅτι κρυπτομένους μὲν τοὺς ἀνθρώπους οὐχ εὑρίσκομεν, εὑρόντες δὲ βλάπτομεν. Ἠδυνάμεθα δὲ καὶ ἡμεῖς κρυπτόμενοι λανθάνειν αὐτούς, κλείοντες κατ' αὐτῶν θύρας. Εἰ δὲ οὐκ εἰσὶν οὕτως, ἀλλὰ κεκλεισμένων τῶν θυρῶν εἰσελθεῖν δύνανται, καὶ ἐν τῷ παντὶ ἀέρι τυγχάνουσιν αὐτοί τε καὶ ὁ τούτων πρῶτος διάβολος· εἰσὶ δὲ κακοθελεῖς καὶ πρὸς τὸ βλάπτειν ἕτοιμοι, καί, ὡς εἶπεν ὁ Σωτήρ, ἐξ ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν ὁ τῆς κακίας πατὴρ διάβολος· [4] ζῶμεν δὲ νῦν ἡμεῖς καὶ μᾶλλον κατ' αὐτοῦ πολιτευόμεθα· δῆλοί εἰσι μηδὲν ἰσχύοντες. Οὔτε γὰρ τόπος αὐτοὺς εἰς τὸ ἐπιβουλεύειν κωλύει, οὔτε φίλους ἡμᾶς ὁρῶσιν ἑαυτῶν, ἵνα φείσωνται, οὔτε φιλάγαθοί εἰσιν, ἵνα διορθώσωνται· ἀλλὰ καὶ μᾶλλόν εἰσι πονηροί· καὶ οὐδὲν αὐτοῖς ἐστι περισπούδαστον ὡς τὸ βλάπτειν τοὺς φιλαρέτους καὶ θεοσεβοῦντας. Διὰ δὲ τὸ μηδὲν δύνασθαι ποιεῖν, διὰ τοῦτο

1. Ψαλμ. 49, 16. 2. Ψαλμ. 38, 2-3. 3. Ψαλμ. 37, 14-15. 4. Πρβλ. Ἰω. 6, 44.

οὐδὲν ποιοῦσιν, ἢ μόνον ἀπειλοῦσιν· εἰ γὰρ ἠδύναντο, οὐκ ἂν ἔμελλον, ἀλλ' εὐθὺς ἐνήργουν τὸ κακόν, ἑτοίμην ἔχοντες εἰς τοῦτο τὴν προαίρεσιν, καὶ μάλιστα καθ' ἡμῶν. Ἰδοὺ γοῦν νῦν συνελθόντες κατ' αὐτῶν λαλοῦμεν, καὶ ἴσασιν, ὅτι, προκοπτόντων ἡμῶν, ἀσθενοῦσιν αὐτοί. Εἰ τοίνυν εἶχον ἐξουσίαν, οὐδένα ἂν ἡμῶν τῶν Χριστιανῶν ἀφῆκαν ζῆν· «βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια.[1]» Ἐπειδὴ δὲ οὐδὲν δύνανται, διὰ τοῦτο μᾶλλον ἑαυτοὺς τιτρώσκουσιν· ὅτι μηδὲν δύνανται ποιεῖν ὧν ἀπειλοῦσιν. Ἔπειτα κἀκεῖνο λογίζεσθαι χρή, πρὸς τὸ μὴ φοβεῖσθαι τούτους· εἰ τὸ δυνατὸν ὑπῆρχεν αὐτοῖς, οὐκ ἂν ἤρχοντο μετ' ὄχλου, οὐδὲ φαντασίας ἐποίουν, οὐδὲ μετασχηματιζόμενοι ἐμεθόδευον· ἀλλ' ἤρκει καὶ μόνον ἐλθεῖν ἕνα, καὶ ποιῆσαι τοῦτο ὅπερ δύναται καὶ βούλεται· καὶ μάλιστα ὅτι πᾶς ὁ τὴν ἐξουσίαν ἔχων οὐ μετὰ φαντασίας ἀναιρεῖ, οὐδὲ τοῖς ὄχλοις ἐκφοβεῖ, ἀλλ' εὐθὺς ὡς βούλεται τῇ ἐξουσίᾳ καταχρᾶται. Ἀλλ' οἱ δαίμονες, μηδὲν δυνάμενοι, παίζουσιν ὡς ἐπὶ σκηνῆς, ἀλλάττοντες τὰς μορφάς, καὶ τοὺς παῖδας ἐκφοβοῦντες, τῇ τῶν ὄχλων φαντασίᾳ καὶ τοῖς σχηματισμοῖς· ἐξ ὧν μᾶλλον καταφρονητέοι ὡς ἀσθενεῖς ὀφείλουσιν εἶναι. Ὁ γοῦν ἀληθινὸς ἄγγελος, ἀποσταλεὶς παρὰ τοῦ Κυρίου κατὰ τῶν Ἀσσυρίων, οὐ χρείαν ἔσχεν ὄχλων, οὐ φαντασίας τῆς ἔξωθεν, οὐ κτύπων, οὐ κρότων· ἀλλ' ἠρέμα τῇ ἐξουσίᾳ ἐκέχρητο, καὶ ἀνεῖλεν εὐθὺς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας.[2] Οἱ δὲ μηδὲν δυνάμενοι δαίμονες, οἷοί εἰσιν οὗτοι, κἂν ταῖς φαντασίαις ἐκφοβεῖν πειράζουσιν.

29. Ἐὰν δέ τις τὰ τοῦ Ἰὼβ λογίσηται, καὶ εἴπῃ, Διὰ τί οὖν ἐξελθὼν ὁ διάβολος πάντα κατ' αὐτοῦ πεποίηκε; καὶ τῶν μὲν ὑπαρχόντων αὐτὸν ἐψίλωσε, τὰ δὲ τέκνα ἀνεῖλε, καὶ ἐκεῖνον ἔπαισεν ἕλκει πονηρῷ;[3] γινωσκέτω πάλιν ὁ τοιοῦτος, ὡς οὐκ ἦν ὁ διάβολος ὁ ἰσχύων, ἀλλ' ὁ Θεὸς ὁ παραδιδοὺς αὐτῷ πρὸς πεῖραν τὸν Ἰώβ· ἀμέλει μηδὲν δυνάμενος ποιῆσαι, ᾔτησε καὶ λαβὼν πεποίηκεν. Ὥστε καὶ ἐκ τούτου μᾶλλον καταγνωστέος ἐστὶν ὁ ἐχθρός, ὅτι, καίτοι θέλων, οὐδὲ καθ' ἑνὸς ἴσχυσεν ἀνθρώπου δικαίου· εἰ γὰρ ἴσχυσεν, οὐκ ἂν ᾔτησεν· αἰτήσας δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον, φαίνεται ἀσθενὴς καὶ μηδὲν δυνάμενος. Καὶ οὐ θαυμαστὸν εἰ κατὰ τοῦ Ἰὼβ οὐκ ἴσχυσεν, ὅπου γε οὐδὲ κατὰ τῶν κτηνῶν αὐτοῦ ἐγίνετο ὄλεθρος, εἰ μὴ συγχωρήσας ἦν ὁ Θεός· ἀλλ' οὐδὲ κατὰ χοίρων ἔχει τὴν ἐξουσίαν· «Παρεκάλουν» γάρ, ὡς ἐν τῷ Εὐαγγελίῳ γέγραπται, τὸν Κύριον, λέγοντες· «Ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τοὺς χοίρους.[4]» Εἰ δὲ μηδὲ χοίρων ἔχουσιν ἐξουσίαν, πολλῷ μᾶλλον τῶν κατ' εἰκόνα Θεοῦ γεγεννημένων ἀνθρώπων οὐκ ἔχουσι.

30. Τὸν Θεὸν ἄρα μόνον φοβεῖσθαι δεῖ· τούτων δὲ καταφρονεῖν, καὶ μηδ' ὅλως αὐτοὺς δεδιέναι. Ἀλλὰ καὶ μᾶλλον ὅσον ταῦτα ποιοῦσιν, ἐπιτείνωμεν ἡμεῖς τὴν ἄσκησιν κατ' αὐτῶν. Μέγα γὰρ ὅπλον

1. Σοφ. Σειρ. 1, 25. 2. Πρβλ. Δ' Βασ. 19, 35. 3. Πρβλ. Ἰὼβ 1, 15-22. 2, 1-7. 4. Πρβλ. Ματθ. 8, 31.

ἐστὶ κατ' αὐτῶν βίος ὀρθός, καὶ ἡ πρὸς Θεὸν πίστις. Φοβοῦνται γοῦν τῶν ἀσκητῶν τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὰς εὐχάς, τὸ πρᾶον, τὸ ἥσυχον, τὸ ἀφιλάργυρον, τὸ ἀκενόδοξον, τὴν ταπεινοφροσύνην, τὸ φιλόπτωχον, τὰς ἐλεημοσύνας, τὸ ἀόργητον, καὶ προηγουμένως τὴν εἰς τὸν Χριστὸν εὐσέβειαν. Διὰ τοῦτο γὰρ καὶ πάντα ποιοῦσιν, ἵνα μὴ ἔχωσι τοὺς καταπατοῦντας αὐτούς. Ἴσασι γὰρ τὴν κατ' αὐτῶν δοθεῖσαν χάριν τοῖς πιστοῖς παρὰ τοῦ Σωτῆρος, λέγοντος αὐτοῦ· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.[1]»

31. Ἂν τοίνυν καὶ προλέγειν ὑποκρίνωνται, μὴ προσποιείσθω τις. Πολλάκις γὰρ πρὸ ἡμερῶν λέγουσι τοὺς μεθ' ἡμέρας ἀπαντῶντας ἀδελφούς· καὶ ἔρχονται μὲν ἐκεῖνοι. Ποιοῦσι δὲ τοῦτο οὗτοι, οὐ κηδόμενοι τῶν ἀκουόντων, ἀλλ' ἵνα πιστεύειν αὐτοῖς πείσωσιν αὐτούς, καὶ τότε λοιπὸν ὑποχειρίους ἔχοντες, ἀπολέσωσιν· ὅθεν οὐ δεῖ προσέχειν αὐτοῖς, ἀλλὰ καὶ λέγοντας ἀνατρέπειν χρή, ὅτι μὴ χρείαν ἔχομεν ἡμεῖς τούτων. Τί γὰρ θαυμαστόν, εἰ λεπτοτέροις χρώμενοι σώμασι μᾶλλον τῶν ἀνθρώπων, καὶ τοὺς ἀρξαμένους ὁδεύειν ἑωρακότες, προλαμβάνουσι τῷ δρόμῳ καὶ ἀπαγγέλλουσι; τοῦτο καὶ ἵππῳ τις ἐπικαθήμενος προλέγει, προλαμβάνων τοῦ ὁδεύοντος τοῖς ποσίν· ὥστε οὐδ' ἐν τούτῳ χρὴ θαυμάζειν αὐτούς. Οὐδὲν γὰρ τῶν μὴ γενομένων προγινώσκουσιν· ἀλλὰ μόνος ὁ Θεός ἐστιν ὁ πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν.[2] Οὗτοι δὲ ἃ βλέπουσιν, ὡς κλέπται, προτρέχοντες ἀπαγγέλλουσι. Πόσοις νῦν τὰ ἡμῶν, καὶ ὅτι συνήλθομεν, καὶ ὁμιλοῦμεν κατ' αὐτῶν σημαίνουσι, πρὶν παρ' ἡμῶν τις ἀπελθὼν ἀπαγγείλῃ! Τοῦτο δὲ καὶ παῖς τις ταχυδρόμος ποιῆσαι δύναται, προλαβὼν τὸν βραδύναντα. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἄν τις ἄρξηται περιπατεῖν ἀπὸ τῆς Θηβαΐδος, ἢ ἀπό τινος ἄλλης χώρας, πρὶν μὲν ἄρξηται περιπατεῖν, οὐκ ἴσασιν εἰ περιπατήσει· περιπατοῦντα δὲ τοῦτον ἑωρακότες, προτρέχουσι, καὶ πρὶν αὐτὸν ἐλθεῖν, ἀπαγγέλλουσι· καὶ οὕτω συμβαίνει τούτους μεθ' ἡμέρας ἐλθεῖν. Πολλάκις δὲ τῶν περιπατούντων ὑποστρεφόντων, ἐψεύσαντο αὐτοί.

32. Οὕτω καὶ περὶ τοῦ ποταμίου ὕδατος ἔστιν ὅτε φλυαροῦσιν· ἑωρακότες γὰρ πολλοὺς ὑετοὺς γινομένους ἐν τοῖς τῆς Αἰθιοπίας μέρεσι, καὶ εἰδότες, ὡς ἐξ ἐκείνων ἡ πλημμύρα τοῦ ποταμοῦ γίνεται, πρὶν ἐλθεῖν εἰς τὴν Αἴγυπτον τὸ ὕδωρ, προτρέχοντες λέγουσι. Τοῦτο δ' ἂν καὶ οἱ ἄνθρωποι εἰρήκασιν, εἰ τοσοῦτον ἠδύναντο δραμεῖν, ὅσον ἐκεῖνοι. Καὶ ὥσπερ ὁ σκοπὸς τοῦ Δαβίδ, ἀνερχόμενος εἰς ὑψηλόν, μᾶλλον τοῦ κάτω μένοντος προέβλεπε τὸν ἐρχόμενον·[3] καὶ αὐτὸς δὲ ὁ προτρέχων ἔλεγε πρὸ τῶν ἄλλων, οὐ τὰ μὴ γενόμενα, ἀλλὰ τὰ ἤδη ὁδεύοντα καὶ γινόμενα· οὕτω καὶ οὗτοι κάμνειν αἱροῦνται, καὶ σημαίνουσιν ἄλλοις, ἵνα μόνον ἀπατῶσιν· ἂν μέντοι ἡ Πρόνοια μεταξύ τι

---

1. Λουκ. 10, 19. 2. Πρβλ. Δαν. (Σωσ. 42). 3. Πρβλ. Β' Βασ. 18, 24.

βουλεύσηται περὶ τῶν ὑδάτων ἢ τῶν ὁδευόντων (ἔξεστι γὰρ αὐτῇ), ἐψεύσαντο οἱ δαίμονες, καὶ ἠπατήθησαν οἱ προσεσχηκότες αὐτοῖς.

33. Οὕτω συνέστη τὰ τῶν Ἑλλήνων μαντεῖα, καὶ οὕτως ἐπλανήθησαν παρὰ τῶν δαιμόνων τὸ πρίν· ἀλλὰ καὶ οὕτω πέπαυται λοιπὸν ἡ πλάνη. Ἦλθε γὰρ ὁ Κύριος ὁ σὺν αὐτῇ τῇ πανουργίᾳ αὐτῶν καὶ τοὺς δαίμονας καταργήσας. Οὐδὲν γὰρ γινώσκουσιν ἀφ' ἑαυτῶν· ἀλλ' ὡς κλέπται, ἃ παρ' ἄλλοις ὁρῶσι, ταῦτα διαβάλλουσι· καὶ μᾶλλον στοχασταί εἰσιν ἢ προγνῶσται. Διό, κἂν ἀληθῆ ποτε τοιαῦτα λέγωσι, μηδ' οὕτως αὐτοὺς θαυμαζέτω τις. Καὶ γὰρ καὶ ἰατροὶ πεῖραν ἔχοντες τῶν νοσημάτων, ἐπειδὰν θεωρήσωσιν ἐν ἄλλοις τὴν αὐτὴν νόσον, πολλάκις στοχαζόμενοι ἀπὸ τῆς συνηθείας προλέγουσι. Καὶ κυβερνῆται δὲ καὶ γεωργοὶ πάλιν, ἀπὸ τῆς συνηθείας βλέποντες τὴν τοῦ ἀέρος κατάστασιν, προλέγουσιν ἢ χειμῶνα ἢ εὔδιον ἀέρα ἔσεσθαι· καὶ οὐ διὰ τοῦτο ἐκ θείας ἐπιπνοίας αὐτοὺς ἄν τις εἴποι προλέγειν, ἀλλ' ἀπὸ τῆς πείρας καὶ τῆς συνηθείας. Ὅθεν εἰ καὶ οἱ δαίμονες τὰ αὐτά ποτε στοχαζόμενοι λέγουσι, μὴ διὰ τοῦτό τις αὐτοὺς θαυμαζέτω, μηδὲ προσεχέτω τούτοις. Τί γὰρ χρήσιμον τοῖς ἀκούουσι τὸ εἰδέναι παρὰ τούτων πρὸ ἡμερῶν τὰ ἐρχόμενα; ἢ ποία σπουδὴ τὰ τοιαῦτα γινώσκειν, κἂν ἀληθῶς γινώσκῃ; οὐ γὰρ ἀρετῆς ἐστι τοῦτο ποιητικόν, οὐδὲ ἤθους ἀγαθοῦ πάντως ἐστὶ τοῦτο γνώρισμα. Οὐδεὶς γὰρ ἡμῶν κρίνεται διὰ τί οὐκ οἶδε, καὶ οὐδεὶς μακαρίζεται, ὅτι μεμάθηκε καὶ ἔγνω· ἀλλ' ἐν τούτοις ἕκαστος ἔχει τὴν κρίσιν, εἰς τὴν πίστιν τετήρηκε, καὶ τὰς ἐντολὰς γνησίως ἐφύλαξεν.

34. Ὅθεν οὐ δεῖ περὶ πολλοῦ ταῦτα ποιεῖσθαι· οὐδὲ διὰ ταῦτα ἀσκεῖσθαι καὶ πονεῖν, ἵνα προγινώσκωμεν, ἀλλ' ἵνα Θεῷ καλῶς πολιτευόμενοι ἀρέσωμεν. Εὔχεσθαί τε χρή, οὐχ ἵνα προγινώσκωμεν, οὐδὲ τοῦτον τῆς ἀσκήσεως ἀπαιτεῖν μισθόν· ἀλλ' ἵνα συνεργὸς ἡμῖν εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην ὁ Κύριος γένηται, Εἰ δὲ ἅπαξ καὶ τοῦ προγινώσκειν ἡμῖν μέλει, καθαρεύωμεν τῇ διανοίᾳ. Ἐγὼ γὰρ πιστεύω, ὅτι καθαρεύουσα ψυχὴ πανταχόθεν, καὶ κατὰ φύσιν ἑστῶσα, δύναται, διορατικὴ γενομένη, πλείονα καὶ μακρότερα βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα Κύριον αὐτῇ· οἵα ἦν ἡ τοῦ Ἐλισσαίου βλέπουσα τὰ κατὰ τὸν Γιεζῆ[1], καὶ ὁρῶσα τὰς παρ' αὐτὴν ἑστώσας δυνάμεις.[2]

35. Ὅταν τοίνυν νυκτὸς ἔρχωνται πρὸς ὑμᾶς, καὶ θέλωσι τὰ μέλλοντα λαλεῖν, ἢ λέγωσιν. Ἡμεῖς ἐσμεν οἱ ἄγγελοι, μὴ προσέχετε, ψεύδονται γάρ. Ἂν δὲ καὶ ἐπαινῶσι τὴν ἄσκησιν ὑμῶν, καὶ μακαρίζωσιν ὑμᾶς, μήτε ὑπακούετε, μήθ' ὅλως προσποιεῖσθε τούτους· σφραγίζετε δὲ μᾶλλον ἑαυτοὺς καὶ τὸν οἶκον, καὶ εὔχεσθε· καὶ ὄψεσθε αὐτοὺς καὶ γινομένους ἀφανεῖς· δειλοὶ γάρ εἰσι, καὶ πάνυ φοβοῦνται τὸ σημεῖον τοῦ Κυρικοῦ σταυροῦ· ἐπειδήπερ ἐν αὐτῷ τούτους ἀπο-

1. Πρβλ. Δ' Βασ. 5, 26. 2. Πρβλ. Δ' Βασ. 6, 17.

δυσάμενος, παρεδειγμάτισεν ὁ Σωτήρ. Ἐὰν δὲ καὶ ἀναιδέστερον στήκωσιν, ἐξορχούμενοι καὶ ποικιλλόμενοι ταῖς φαντασίαις· μὴ δειλιάσητε, μηδὲ πτήξητε, μηδὲ ὡς καλοῖς αὐτοῖς προσέχητε· καὶ γὰρ τὴν τῶν ἀγαθῶν καὶ τῶν φαύλων παρουσίαν εὐχερὲς καὶ δυνατόν ἐστι διαγνῶναι, τοῦ Θεοῦ διδόντος οὕτως. Ἡ μὲν γὰρ τῶν ἁγίων ὀπτασία οὐκ ἔστι τεταραγμένη. Οὐκ ἐρίσει γάρ, οὔτε κραυγάσει, οὐδὲ ἀκούσει τις τῆς φωνῆς αὐτῶν.[1] Ἡσύχως δὲ καὶ πράως γίνεται οὕτως, ὡς εὐθὺς χαρὰν καὶ ἀγαλλίασιν καὶ θάρσος ἐγγίνεσθαι τῇ ψυχῇ· ἔστι γὰρ μετ' αὐτῶν ὁ Κύριος, ὅς ἐστιν ἡμῶν μὲν χαρά, τοῦ δὲ Θεοῦ Πατρὸς ἡ δύναμις· οἵ τε λογισμοὶ αὐτῆς ἀτάραχοι καὶ ἀκύμαντοι διαμένουσιν· ὥστε καταυγαζομένην αὐτὴν ὑπ' αὐτῆς τοὺς φαινομένους θεωρεῖν. Καὶ γὰρ πόθος τῶν θείων καὶ τῶν μελλόντων αὐτῇ ἐπεισέρχεται, καὶ θελήσει πάντως συναφθῆναι τούτοις, εἰ ἀπήρχετο μετ' αὐτῶν. Ἐὰν δὲ καί, ὡς ἄνθρωποι, τινὲς φοβηθῶσι τὴν τῶν καλῶν ὀπτασίαν, ἀφαιροῦσιν οἱ φαινόμενοι τὸν φόβον παρ' αὐτὰ τῇ ἀγάπῃ· ὡς ἐποίησε Γαβριὴλ τῷ Ζαχαρίᾳ[2], καὶ ὁ φανεὶς ἄγγελος ἐν τῷ θείῳ μνημείῳ ταῖς γυναιξί[3], καὶ ὁ τοῖς ποιμέσι λέγων ἐν τῷ Εὐαγγελίῳ· «Μὴ φοβεῖσθε.[4]» Ἔστι γὰρ ὁ φόβος ἐκείνων οὐ κατὰ δειλίαν ψυχῆς, ἀλλὰ κατ' ἐπίγνωσιν τῆς τῶν κρειττόνων παρουσίας. Τοιαύτη μὲν οὖν ἡ τῶν ἁγίων ὀπτασία.

36. Ἡ δὲ τῶν φαύλων ἐπιδρομὴ καὶ φαντασία τεταραγμένη, μετὰ κτύπου καὶ ἤχου καὶ κραυγῆς· οἵα ἂν γένοιτο νεωτέρων ἀπαιδεύτων καὶ ληστῶν κίνησις. Ἐξ ὧν εὐθὺς γίνεται δειλία ψυχῆς, τάραχος καὶ ἀταξία λογισμῶν, κατήφεια, μῖσος πρὸς τοὺς ἀσκητάς, ἀκηδία, λύπη, μνήμη τῶν οἰκείων, καὶ φόβος θανάτου· καὶ λοιπὸν ἐπιθυμία κακῶν, ὀλιγωρία πρὸς τὴν ἀρετήν, καὶ τοῦ ἤθους ἀκαταστασία. Ὅταν τοίνυν θεωρήσαντές τινα φοβηθῆτε, ἐὰν μὲν εὐθὺς ὁ φόβος ἀφαιρεθῇ, καὶ ἀντ' ἐκείνου γένηται χαρὰ ἀνεκλάλητος, καὶ εὐθυμία, καὶ θάρσος, καὶ ἀνάκτησις, καὶ τῶν λογισμῶν ἀταραξία, καὶ τὰ ἄλλα ὅσα προεῖπον, ἀνδρία τε καὶ ἀγάπη εἰς τον Θεόν, θαρσεῖτε καὶ εὔχεσθε· ἡ γὰρ χαρὰ καὶ ἡ κατάστασις τῆς ψυχῆς δείκνυσι τοῦ παρόντος τὴν ἁγιότητα. Οὕτως Ἀβραὰμ ἰδὼν τὸν Κύριον ἠγαλλιάσατο· καὶ ὁ Ἰωάννης, γενομένης φωνῆς παρὰ τῆς Θεοτόκου Μαρίας ἐσκίρτησεν ἐν ἀγαλλιάσει.[5] Ἐὰν δὲ φανέντων τινῶν ταραχὴ γένηται, καὶ κτύπος ἔξωθεν, καὶ φαντασία κοσμική, καὶ ἀπειλὴ θανάτου, καὶ ὅσα προεῖπον· γινώσκετε ὅτι φαύλων ἐστὶν ἡ ἔφοδος.

37. Καὶ γὰρ καὶ τοῦτο γνώρισμα ὑμῖν ἔστω· ὅτ' ἂν τοίνυν ἐπιμένῃ δειλιῶσα ἡ ψυχή, παρουσία τῶν ἐχθρῶν ἐστι. Οὐ γὰρ ἀφαιροῦνται τὴν δειλίαν τῶν τοιούτων οἱ δαίμονες, ὥσπερ πεποίηκεν ὁ μέγας ἀρχάγγελος Γαβριὴλ τῇ Μαρίᾳ καὶ τῷ Ζαχαρίᾳ, καὶ ὁ φανεὶς ἐν τῷ

---

1. Πρβλ. Ἡσ. 42, 2. 2. Πρβλ. Λουκ. 1, 13. 3. Πρβλ. Ματθ. 28, 5. 4. Λουκ. 2, 10. 5. Πρβλ. Λουκ. 1, 41.

μνημείῳ ταῖς γυναιξίν· ἀλλὰ μᾶλλον ὅταν ἴδωσι δειλιῶντας, αὐξάνουσι τὰς φαντασίας, ἵνα μειζόνως αὐτοὺς καταπτήξωσι· καὶ λοιπὸν ἐπιβάντες, προσπαίζωσι λέγοντες· Πεσόντες προσκυνήσατε. Τοὺς μὲν οὖν Ἕλληνας οὕτως ἠπάτησαν· οὕτως γὰρ ἐνομίσθησαν παρ' αὐτοῖς ψευδώνυμοι θεοί· ἡμᾶς δὲ οὐκ ἀφῆκεν ὁ Κύριος ἀπατηθῆναι παρὰ τοῦ διαβόλου, ὁπηνίκα τὰς τοιαύτας αὐτῷ ποιοῦντι φαντασίας ἐπιτιμῶν εἴρηκεν· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.[1]» Μᾶλλον οὖν καὶ μᾶλλον ὁ πανοῦργος διὰ ταῦτα καταφρονείσθω παρ' ἡμῶν· ὃ γὰρ εἴρηκεν ὁ Κύριος, τοῦτο ὑπὲρ ἡμῶν πεποίηκεν· ἵνα καὶ παρ' ἡμῶν ἀκούοντες οἱ δαίμονες τὰς τοιαύτας φωνὰς ἀνατρέπωνται διὰ τὸν Κύριον, τὸν ἐν ταύταις αὐτοῖς ἐπιτιμήσαντα.

38. Οὐ δεῖ δὲ ἐπὶ τῷ δαίμονας ἐκβάλλειν καυχᾶσθαι, οὐδ' ἐπὶ ταῖς θεραπείαις ἐπαίρεσθαι· οὐδὲ τὸν μὲν ἐκβάλλοντα δαιμόνια θαυμάζειν μόνον τὸν δὲ μὴ ἐκβάλλοντα ἐξουθενεῖν· ἑκάστου δὲ τὴν ἄσκησιν καταμανθανέτω τις, καὶ ἢ μιμείσθω καὶ ζηλούτω, ἢ διορθούσθω. Τὸ γὰρ ποιεῖν σημεῖα οὐχ ἡμῶν· τοῦτο Σωτῆρος ἔργον ἐστί· τοῖς γοῦν μαθηταῖς ἔλεγε· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς.[2]» Τὸ μὲν γὰρ ἐν οὐρανῷ γεγράφθαι τὰ ὀνόματα, μαρτύριόν ἐστι τῆς ἡμῶν ἀρετῆς καὶ τοῦ βίου· τὸ δὲ ἐκβάλλειν δαίμονας, τοῦ δεδωκότος Σωτῆρός ἐστιν ἡ χάρις αὕτη· Ὅθεν τοῖς μὴ ἐν ἀρετῇ, ἀλλ' ἐν σημείοις καυχωμένοις, καὶ λέγουσι· «Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; ἀπεκρίνατο· Ἀμὴν λέγων ὑμῖν, οὐκ οἶδα ὑμᾶς.[3]» Οὐ γὰρ γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀσεβῶν. Καθόλου δὲ εὔχεσθαι δεῖ, καθὰ προεῖπον, λαμβάνειν, χάρισμα διακρίσεως πνευμάτων· ἵνα, καθὼς γέγραπται, μὴ παντὶ πνεύματι πιστεύωμεν.[4]

39. Ἐβουλόμην μὲν οὖν σιωπῆσαι, καὶ μηδέν, ἐξ ἐμαυτοῦ λέγειν· ἀρκεῖσθαι δὲ μόνοις τούτοις· ἵνα δὲ μὴ νομίσητε ταῦτά με λέγειν ἁπλῶς, ἀλλ' ἀπὸ πείρας καὶ ἀληθείας πιστεύσητε ταῦτά με διηγεῖσθαι· διὰ τοῦτο, κἂν ὡς ἄφρων γένωμαι, ἀλλ' οἶδεν ὁ ἀκούων Κύριος τὸ τοῦ συνειδότος καθαρόν, καὶ ὅτι οὐ δι' ἐμαυτόν, τῆς δὲ ὑμῶν ἀγάπης χάριν καὶ προτροπῆς, ἃ εἶδον τῶν δαιμόνων ἐπιτηδεύματα, ταῦτα πάλιν λέγω. Ποσάκις ἐμακάρισάν με, κἀγὼ κατηρασάμην αὐτοὺς ἐν ὀνόματι Κυρίου. Ποσάκις προειρήκασι περὶ τοῦ ποταμίου ὕδατος, κἀγὼ πρὸς αὐτοὺς ἔλεγον· Καὶ ὑμῖν τί περὶ τούτου μέλει; Ἦλθόν ποτε ἀπειλοῦντες, καὶ ἐκύκλωσάν με ὡς στρατιῶται μετὰ πανοπλίας. Καὶ ἄλλοτε ἵππων καὶ θηρίων καὶ ἑρπετῶν ἐπλήρωσαν τὸν οἶκον· κἀγὼ ἔψαλλον· «Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν

1. Ματθ. 4, 10. Πρβλ. Δευτ. 13, 4. 2. Λουκ. 10, 20. 3. Ματθ. 7, 22-23. 4. Α' Ἰω. 4, 1.

ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα·[1]» καὶ ταῖς εὐχαῖς ἀνετράπησαν ἐκεῖνοι παρὰ τοῦ Κυρίου. Ἦλθόν ποτε ἐν σκοτίᾳ, φωτὸς ἔχοντες φαντασίαν, καὶ ἔλεγον. Ἤλθομεν φάναι σοι, Ἀντώνιε· ἐγὼ δέ, καμμύων τοὺς ὀφθαλμούς, ηὐχόμην, καὶ εὐθὺς ἐσβέσθη τὸ φῶς τῶν ἀσεβῶν. Καὶ μετὰ μῆνας ὀλίγους ἦλθον ὡς ψάλλοντες, καὶ λαλοῦντες ἀπὸ τῶν Γραφῶν· «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον.[2]» Ἔσεισάν ποτε τὸ μοναστήριον, ἐγὼ δὲ ηὐχόμην ἀκίνητος μένων τῷ φρονήματι. Καὶ μετὰ ταῦτα πάλιν ἐλθόντες ἐκρότουν, ἐσύριττον, ὠρχοῦντο. Ὡς δὲ ηὐχόμην, καὶ ἀνεκείμην ψάλλων κατ' ἐμαυτόν, εὐθὺς ἤρξαντο θρηνεῖν καὶ κλαίειν, ὥσπερ ἐξατονήσαντες· ἐγὼ δὲ ἐδόξαζον τὸν Κύριον, τὸν καθελόντα καὶ παραδειγματίσαντα τὴν τόλμαν καὶ τὴν μανίαν αὐτῶν.

40. Ἐφάνη ποτὲ δαίμων ὑψηλὸς λίαν μετὰ φαντασίας, καὶ τετόλμηκεν εἰπεῖν· Ἐγώ εἰμι ἡ δύναμις τοῦ Θεοῦ· καί, Ἐγώ εἰμι ἡ πρόνοια· τί σοι θέλεις χαρίσωμαι; Ἐγὼ δὲ τότε μᾶλλον ἐνεφύσησα κατ' αὐτοῦ, τὸν Χριστὸν ὀνομάσας, καὶ τύψαι τοῦτον ἐπεχείρησα· καὶ ἔδοξα τετυφέναι, καὶ εὐθὺς ὁ τηλικοῦτος σὺν πᾶσι τοῖς ἑαυτοῦ δαίμοσι ἠφανίσθη ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ. Ἦλθέ ποτε νηστεύοντός μου, καὶ ὡς μοναχὸς ὁ δόλιος, ἔχων ἄρτων φαντασίαν· καὶ συνεβούλευε λέγων· Φάγε, καὶ παῦσαι τῶν πολλῶν πόνων· ἄνθρωπος εἶ καὶ σύ, καὶ μέλλεις ἀσθενεῖν. Ἐγὼ δέ, νοήσας αὐτοῦ τὴν μεθοδείαν, ἀνέστην εὔξασθαι. Κἀκεῖνος οὐκ ἤνεγκεν· ἐξέλιπε γάρ, καὶ διὰ τῆς θύρας ὡς καπνὸς ἐξερχόμενος ἐφάνη. Ποσάκις ἐν τῇ ἐρήμῳ φαντασίαν ἔδειξε χρυσοῦ, ἵνα μόνον ἅψωμαι, καὶ βλέψω! ἐγὼ δὲ κατέψαλλον αὐτοῦ, κἀκεῖνος ἐτήκετο. Πολλάκις ἔκοπτόν με πληγαῖς, κἀγὼ ἔλεγον· Οὐδέν με χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ·[3] καὶ μᾶλλον αὐτοὶ μετὰ ταῦτα κατέκοπτον ἀλλήλους. Οὐκ ἐγὼ δὲ ἤμην ὁ παύων ἐκείνους καὶ καταργῶν· ἀλλ' ὁ Κύριος ἦν, ὁ λέγων· «Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.[4]» Ἐγὼ δέ, τέκνα, μνημονεύων τοῦ ἀποστολικοῦ ῥητοῦ, «μετεσχημάτισα ταῦτα εἰς ἐμαυτόν[5]», ἵνα μάθητε μὴ ἐκκακεῖν ἐν τῇ ἀσκήσει, μηδὲ φοβεῖσθαι τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ τὰς φαντασίας.

41. Καὶ ἐπειδὴ γέγονα ἄφρων διηγούμενος, δέξασθε καὶ τοῦτο πρὸς ἀσφάλειαν καὶ ἀφοβίαν· καὶ πιστεύσατέ μοι· οὐ ψεύδομαι γάρ. Ἔκρουσέ ποτέ τις ἐν τῷ μοναστηρίῳ τὴν ἐμὴν θύραν· καὶ ἐξελθών, εἶδόν τινα μακρὸν καὶ ὑψηλὸν φαινόμενον. Εἶτα πυθομένου μου· Σὺ τίς εἶ; ἔφη· Ἐγώ εἰμι ὁ Σατανᾶς. Εἶτα λέγοντός μου· Τί οὖν ἐνταῦθα πάρει; ἔλεγεν ἐκεῖνος· Τί μέμφονταί με μάτην οἱ μοναχοί, καὶ οἱ ἄλλοι πάντες Χριστιανοί; Τί μοι καταρῶνται καθ' ὥραν; Ἐμοῦ δὲ εἰπόντος· Τί γὰρ αὐτοῖς ἐνοχλεῖς; ἔφη Οὐκ εἰμὶ ἐγὼ ὁ ἐνοχλῶν.

---

1. Ψαλμ. 19, 8. 2. Ψαλμ. 37, 14. 3. Πρβλ. Ῥωμ. 8, 35. 4. Λουκ. 10, 18. 5. Α' Κορ. 4, 6.

αὐτοῖς, ἀλλ' αὐτοὶ ταράττουσιν ἑαυτούς· ἐγὼ γὰρ ἀσθενὴς γέγονα. Οὐκ ἀνέγνωσαν, ὅτι «Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες;[1]» οὐκ ἔτι τόπον ἔχω, οὐ βέλος, οὐ πόλιν. Πανταχοῦ Χριστιανοὶ γεγόνασι· λοιπὸν καὶ ἡ ἔρημος πεπλήρωται μοναχῶν. Ἑαυτοὺς τηρείτωσαν, καὶ μὴ μάτην με καταράσθωσαν. Τότε θαυμάσας ἐγὼ τοῦ Κυρίου τὴν χάριν, εἶπον πρὸς αὐτόν· Ἀεὶ ψεύστης ὤν, καὶ μηδέποτε λέγων ἀλήθειαν, ὅμως τοῦτο νῦν, καὶ μὴ θέλων, εἴρηκας ἀληθές· ὁ γὰρ Χριστός, ἐλθών, ἀσθενῆ σε πεποίηκε, καὶ καταβαλὼν ἐγύμνωσεν. Ἐκεῖνος, ἀκούσας τὸ τοῦ Σωτῆρος ὄνομα, καὶ μὴ φέρων τὴν ἐκ τούτου καῦσιν, ἀφανὴς γέγονεν.

42. Εἰ τοίνυν καὶ αὐτὸς ὁ διάβολος ὁμολογεῖ μηδὲν δύνασθαι, ὀφείλομεν παντελῶς καταφρονεῖν αὐτοῦ τε καὶ τῶν δαιμόνων αὐτοῦ. Ὁ μὲν οὖν ἐχθρὸς μετὰ τῶν ἑαυτοῦ κυνῶν τοσαύτας ἔχει τὰς πανουργίας· ἡμεῖς δέ, μαθόντες αὐτῶν τὴν ἀσθένειαν, καταφρονεῖν αὐτῶν δυνάμεθα. Τοῦτον οὖν τὸν τρόπον μὴ προκαταπίπτωμεν τῇ διανοίᾳ, μηδὲ λογιζώμεθα ἐν τῇ ψυχῇ δειλίας, μηδὲ ἀναπλάττωμεν ἑαυτοῖς φόβους, λέγοντες· Μὴ ἄρα δαίμων ἐλθὼν ἀνατρέψῃ με· μὴ ἄρα βαστάξας καταβάλῃ, ἢ ἐξαίφνης ἐπιστὰς ἐκταράξῃ. Μηδ' ὅλως ἐνθυμούμεθα τοιαῦτα, μηδὲ λυπώμεθα ὡς ἀπολλύμενοι· θαρρῶμεν δὲ μᾶλλον καὶ χαίρωμεν ἀεί, ὡς σῳζόμενοι· καὶ λογιζώμεθα τῇ ψυχῇ, ὅτι Κύριος μεθ' ἡμῶν ἐστιν, ὁ τροπώσας καὶ καταργήσας αὐτούς. Καὶ διανοώμεθα δὲ καὶ ἐνθυμώμεθα ἀεί, ὅτι, ὄντος τοῦ Κυρίου μεθ' ἡμῶν, οὐδὲν ἡμῖν οἱ ἐχθροὶ ποιήσουσιν. Ἐλθόντες γάρ, ὁποίους ἂν εὕρωσιν ἡμᾶς, τοιοῦτοι καὶ αὐτοὶ γίνονται πρὸς ἡμᾶς, καὶ πρὸς ἃς εὑρίσκουσιν ἐν ἡμῖν ἐννοίας, οὕτω καὶ αὐτοὶ τὰς φαντασίας ἀφομοιοῦσιν. Ἐὰν μὲν οὖν δειλιῶντας εὕρωσι καὶ ταραττομένους, εὐθὺς αὐτοί, ὡς λησταί, τὸν τόπον ἀφύλακτον εὑρόντες, ἐπιβαίνουσι· καὶ ὅπερ ἀφ' ἑαυτῶν λογιζόμεθα, τοῦτο μετὰ προσθήκης ποιοῦσιν. Ἐὰν γὰρ βλέπωσιν ἡμᾶς φοβουμένους καὶ δειλιῶντας, μειζόνως αὐξάνουσι τὴν δειλίαν ἐν ταῖς φαντασίαις καὶ ταῖς ἀπειλαῖς, καὶ λοιπὸν ἐν τούτοις ἡ ταλαίπωρος κολάζεται ψυχή· ἐὰν δὲ χαίροντας ἡμᾶς εὕρωσιν ἐν Κυρίῳ, καὶ λογιζομένους περὶ τῶν μελλόντων ἀγαθῶν, καὶ ἐνθυμουμένους τὰ τοῦ Κυρίου, καὶ διαλογιζομένους, ὅτι πάντα ἐν χειρὶ Κυρίου ἐστί, καὶ οὐδὲν ἰσχύει δαίμων κατὰ Χριστιανοῦ, οὐδὲ ὅλως ἐξουσίαν ἔχει κατά τινος, βλέποντες ἠσφαλισμένην τὴν ψυχὴν τοῖς τοιούτοις λογισμοῖς, ἀποστρέφονται κατῃσχυμμένοι. Οὕτως τὸν μὲν Ἰὼβ ἰδὼν ὁ ἐχθρὸς περιπεφραγμένον, ἀνεχώρησεν ἀπ' αὐτοῦ· τὸν δὲ Ἰούδαν γυμνὸν ἀπὸ τούτων εὑρών, ᾐχμαλώτισεν. Ὥστε, εἰ θέλομεν καταφρονεῖν τοῦ ἐχθροῦ λογιζώμεθα ἀεὶ τὰ τοῦ Κυρίου, καὶ χαιρέτω ἀεὶ ἡ ψυχὴ τῇ ἐλπίδι· καὶ ὀψόμεθα ὡς καπνὸν τὰ τῶν δαιμόνων παίγνια, καὶ μᾶλλον φεύγοντας αὐτοὺς ἢ διώκοντας. Εἰσὶ γὰρ λίαν αὐτοί, καθὰ

1. Ψαλμ. 9, 7.

προεῖπον, δειλοί, προσδοκῶντες ἀεὶ τὸ ἡτοιμασμένον αὐτοῖς πῦρ.

43. Καὶ τοῦτο δὲ πρὸς ἀφοβίαν κατ' ἐκείνων ἔχετε παρ' ἑαυτοῖς τὸ τεκμήριον· Ὅταν τις φαντασία γένηται, μὴ προκατάπιπτε ἐν δειλίᾳ, ἀλλ' ὁποία ἂν ᾖ, θαρρῶν ἐρώτα πρῶτον· Τίς εἶ σύ, καὶ πόθεν; Καὶ ἐὰν μὲν ᾖ ἁγίων ὀπτασία, πληροφοροῦσί σε, καὶ τὸν φόβον σου εἰς χαρὰν μεταβάλλουσιν· ἐὰν δὲ διαβολική τις ᾖ, εὐθὺς ἐξασθενεῖ, βλέπουσα ἐρρωμένην τὴν διάνοιαν· ἀταραξίας γὰρ τεκμήριον τὸ ὅλως πυνθάνεσθαι· Τίς εἶ, καὶ πόθεν; Οὕτως ὁ μὲν τοῦ Ναυῆ, ἐρωτήσας, ἔμαθεν·[1] ὁ δὲ ἐχθρὸς οὐκ ἔλαθεν ἐρωτήσαντα τὸν Δανιήλ.[2]

44. Ταῦτα διαλεγομένου τοῦ Ἀντωνίου, πάντες ἔχαιρον· καὶ τῶν μὲν ὁ ἔρως τῆς ἀρετῆς ηὔξανε, τῶν δὲ ἡ ὀλιγωρία παρεκβαλεῖτο, καὶ ἄλλων ἡ οἴησις ἐπαύετο· πάντες τε ἐπείθοντο καταφρονεῖν τῆς δαιμονικῆς ἐπιβουλῆς, θαυμάζοντες τὴν δοθεῖσαν παρὰ τοῦ Κυρίου Ἀντωνίῳ χάριν εἰς τὴν διάκρισιν τῶν πνευμάτων. Ἦν οὖν ἐν τοῖς ὄρεσι τὰ μοναστήρια ὡς σκηναὶ πεπληρωμέναι θείων χορῶν, ψαλλόντων, φιλολογούντων, νηστευόντων, εὐχομένων, ἀγαλλιωμένων ἐπὶ τῇ τῶν μελλόντων ἐλπίδι, καὶ ἐργαζομένων εἰς τὸ ποιεῖν ἐλεημοσύνας, ἀγάπην τε καὶ συμφωνίαν ἐχόντων εἰς ἀλλήλους. Καὶ ἦν ἀληθῶς ἰδεῖν ὥσπερ χώραν τινὰ καθ' ἑαυτὴν οὖσαν θεοσεβείας καὶ δικαιοσύνης. Οὐκ ἦν γὰρ ἐκεῖ ὁ ἀδικῶν ἢ ὁ ἀδικούμενος, οὐδὲ μέμψις φορολόγου· ἀλλὰ πλῆθος μὲν ἀσκητῶν, ἓν δὲ τῶν πάντων εἰς ἀρετὴν τὸ φρόνημα· ὥστε ἰδόντα τινὰ πάλιν τὰ μοναστήρια, καὶ τὴν τοιαύτην τῶν μοναχῶν τάξιν, ἀναφωνῆσαι καὶ εἰπεῖν· «Ὡς καλοί σου οἱ οἶκοι, Ἰακώβ, αἱ σκηναί σου, Ἰσραήλ! ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ παράδεισος ἐπὶ ποταμόν, καὶ ὡσεὶ σκηναί, ἃς ἔπηξεν ὁ Κύριος, καὶ ὡσεὶ κέδροι παρ' ὕδασιν.[3]»

45. Αὐτὸς μέντοι συνήθως καθ' ἑαυτὸν ἀναχωρῶν ἐν τῷ ἑαυτοῦ μοναστηρίῳ, ἐπέτεινε τὴν ἄσκησιν, καθ' ἡμέραν τε ἐστέναζεν, ἐνθυμούμενος τὰς ἐν οὐρανῷ μονάς, τόν τε πόθον ἔχων εἰς αὐτάς, καὶ σκοπῶν τὸν ἐφήμερον τῶν ἀνθρώπων βίον. Καὶ γὰρ μέλλων ἐσθίειν καὶ κοιμᾶσθαι, καὶ ἐπὶ ταῖς ἄλλαις ἀνάγκαις τοῦ σώματος ἔρχεσθαι, ᾐσχύνετο, τὸ τῆς ψυχῆς λογιζόμενος νοερόν. Πολλάκις γοῦν μετὰ πολλῶν ἄλλων μοναχῶν μέλλων ἐσθίειν, ἀναμνησθεὶς τῆς πνευματικῆς τροφῆς, παρῃτήσατο, καὶ μακρὰν ἀπ' αὐτῶν ἀπῆλθε, νομίζων ἐρυθριᾶν, εἰ βλέποιτο παρ' ἑτέρων ἐσθίων· ἤσθιε μέντοι καθ' ἑαυτὸν διὰ τὴν τοῦ σώματος ἀνάγκην· πολλάκις δὲ καὶ μετὰ τῶν ἀδελφῶν· αἰδούμενος μὲν ἐπὶ τούτοις, παρρησιαζόμενος δὲ ἐπὶ τοῖς ὑπὲρ ὠφελείας λόγοις. Καὶ ἔλεγε χρῆναι τὴν πᾶσαν σχολὴν διδόναι τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι, καὶ συγχωρεῖν μὲν διὰ τὴν ἀνάγκην ὀλίγον καιρὸν τῷ σώματι, τὸ δὲ ὅλον σχολάζειν τῇ ψυχῇ μᾶλλον, καὶ τὴν ταύτης ὠφέλειαν ζητεῖν·

---

1. Πρβλ. Ἰησ. Ν. 5, 13. 2. Πρβλ. Δαν. 10, 11, 18, 19. 3. Ἀριθμ. 24, 5-6.

ἵνα μὴ αὕτη καθέλκηται ὑπὸ τῶν ἡδονῶν τοῦ σώματος, ἀλλὰ μᾶλλον τὸ σῶμα παρ' αὐτῆς δουλαγωγῆται· τοῦτο γὰρ εἶναι τὸ λεγόμενον παρὰ τοῦ Σωτῆρος· «Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι τί ἐνδύσησθε. Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. 'Υμῶν δὲ ὁ Πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων ἁπάντων. Πλὴν ζητεῖτε πρῶτον τὴν βασιλείαν αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.[1]»

46. Μετὰ ταῦτα κατέλαβε τὴν 'Εκκλησίαν ὁ κατὰ Μαξιμῖνον τὸ τηνικαῦτα γενόμενος διωγμός· καὶ τῶν ἁγίων μαρτύρων ἀγομένων εἰς τὴν 'Αλεξάνδρειαν, ἠκολούθησε καὶ αὐτός, ἀφεὶς τὸ μοναστήριον, λέγων· 'Απέλθωμεν καὶ ἡμεῖς, ἵνα ἀγωνιζώμεθα κληθέντες, ἢ θεωρήσωμεν τοὺς ἀγωνιζομένους. Καὶ πόθον μὲν εἶχε μαρτυρῆσαι· παραδοῦναι δὲ μὴ θέλων ἑαυτόν, ὑπηρέτει τοῖς ὁμολογηταῖς ἔν τε τοῖς μετάλλοις καὶ ἐν ταῖς φυλακαῖς. Πολλή τε ἦν αὐτῷ σπουδὴ ἐν τῷ δικαστηρίῳ, ἀγωνιζομένους μὲν τοὺς καλουμένους ἐπαλείφειν εἰς προθυμίαν, μαρτυροῦντας δὲ αὐτοὺς ἀπολαμβάνειν καὶ προπέμπειν ἕως τελειωθῶσιν. 'Ο γοῦν δικαστής, βλέπων αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ τὸ ἄφοβον, καὶ τὴν εἰς τοῦτο σπουδήν, παρήγγειλε μηδένα τῶν μοναχῶν ἐν τῷ δικαστηρίῳ φαίνεσθαι, μηδὲ ὅλως ἐν τῇ πόλει διατρίβειν. Οἱ μὲν οὖν ἄλλοι πάντες ἔδοξαν κρύπτεσθαι τὴν ἡμέραν ἐκείνην· ὁ δὲ 'Αντώνιος τοσοῦτον ἐφρόντισεν, ὥστε καὶ μᾶλλον πλῦναι τὸν ἐπενδύτην, καὶ τῇ ἑξῆς ἔμπροσθεν ἐφ' ὑψηλοῦ στῆναι, καὶ φαίνεσθαι τῷ ἡγεμόνι λαμπρόν. Πάντων οὖν ἐπὶ τούτῳ θαυμαζόντων, καὶ τοῦ ἡγεμόνος ὁρῶντος, καὶ μετὰ τῆς τάξεως αὐτοῦ διαβαίνοντος, αὐτὸς ἀτρέμας εἱστήκει, δεικνὺς ἡμῶν τῶν Χριστιανῶν τὴν προθυμίαν· ηὔχετο γὰρ καὶ αὐτὸς μαρτυρῆσαι, καθὰ προεῖπον. Αὐτὸς μὲν οὖν λυπουμένῳ ἐῴκει, ὅτι μὴ μεμαρτύρηκεν· ὁ δὲ Κύριος ἦν αὐτὸν φυλάττων εἰς τὴν ἡμῶν καὶ τὴν ἑτέρων ὠφέλειαν, ἵνα καὶ ἐν τῇ ἀσκήσει, ἣν ἐκ τῶν Γραφῶν αὐτὸς μεμάθηκε, πολλοῖς διδάσκαλος γένηται. Καὶ γὰρ καὶ μόνον βλέποντες αὐτοῦ τὴν ἀγωγήν, πολλοὶ τῆς πολιτείας αὐτοῦ ἐσπουδάζοντο ζηλωταὶ γενέσθαι. Πάλιν οὖν ὑπηρέτει συνήθως τοῖς ὁμολογηταῖς, καὶ ὡς συνδεδεμένος αὐτοῖς, ἦν κοπιῶν ἐν ταῖς ὑπηρεσίαις.

47. 'Επειδὴ δὲ λοιπὸν ὁ διωγμὸς ἐπαύσατο, καὶ μεμαρτύρηκεν ὁ μακαρίτης ἐπίσκοπος Πέτρος, ἀπεδήμησε, καὶ πάλιν εἰς τὸ μοναστήριον ἀνεχώρει, καὶ ἦν ἐκεῖ καθ' ἡμέραν μαρτυρῶν τῇ συνειδήσει, καὶ ἀγωνιζόμενος τοῖς τῆς πίστεως ἄθλοις. Καὶ γὰρ καὶ ἀσκήσει πολλῇ καὶ συντονωτέρᾳ ἐκέχρητο· ἐνήστευε γὰρ ἀεί, τὸ δὲ ἔνδυμα εἶχεν ἔνδον μὲν τρίχινον, ἐπάνω δὲ δερμάτινον, ὃ καὶ ἕως τελευτῆς τετήρηκε, μήτε σῶμα διὰ ῥύπον ὕδατι λούσας, μήθ' ὅλως τοὺς πόδας ἀπονίψας, ἢ κἂν ἁπλῶς εἰς ὕδωρ αὐτοὺς χωρὶς ἀνάγκης ἀνασχόμενος ἐμβαλεῖν·

1. Λουκ. 12, 29-31.

ἀλλ' οὐδὲ γυμνωθέντα τις αὐτὸν ἑώρακεν, οὐδὲ ὅλως τὸ σῶμά τις εἶδε Ἀντωνίου γυμνόν, εἰ μὴ ὅτε τελευτήσας ἐθάπτετο.

48. Ἀναχωροῦντι τοίνυν αὐτῷ, καὶ προθεμένῳ ποιῆσαι χρόνον, ὥστε μήτε αὐτὸν προϊέναι, μήτε τινὰ δέξασθαι, Μαρτινιανός τις ἄρχων στρατιωτῶν, ἐγίνετο δι' ὄχλου τῷ Ἀντωνίῳ· εἶχε γὰρ ὑπὸ δαίμονος ἐνοχλουμένην τὴν θυγατέρα· ὡς δὲ ἐπὶ πολὺ διέμενε κόπτων τὴν θύραν καὶ ἀξιῶν ἐλθεῖν αὐτόν, καὶ εὔξασθαι τῷ Θεῷ διὰ τὴν παῖδα, ἀνοῖξαι μὲν οὐκ ἠνέσχετο, παρακύψας δὲ ἄνωθεν, εἶπεν· Ἄνθρωπε, τί μου κατακράζεις; ἄνθρωπός εἰμι κἀγὼ ὥσπερ καὶ σύ. Εἰ δὲ πιστεύεις τῷ Χριστῷ, ᾧ λατρεύω, ὕπαγε, καὶ ὡς πιστεύεις εὖξαι τῷ Θεῷ, καὶ γίνεται. Εὐθὺς οὖν ἐκεῖνος πιστεύσας, καὶ ἐπικαλεσάμενος τὸν Χριστόν, ἀπῆλθεν, ἔχων τὴν θυγατέρα καθαρισθεῖσαν ἀπὸ τοῦ δαίμονος. Πολλὰ δὲ καὶ ἄλλα δι' αὐτοῦ πεποίηκεν ὁ Κύριος, ὁ λέγων· «Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν.[1]» Πλεῖστοι γὰρ τῶν πασχόντων, μὴ ἀνοίγοντος αὐτοῦ τὴν θύραν, μόνον ἐκάθευδον ἔξω τοῦ μοναστηρίου, καὶ πιστεύοντες καὶ εὐχόμενοι γνησίως, ἐκαθαρίζοντο.

49. Ὡς δὲ εἶδεν ἑαυτὸν ὀχλούμενον ὑπὸ πολλῶν καὶ μὴ ἀφιέμενον κατὰ γνώμην ἀναχωρεῖν, ὡς βούλεται, εὐλαβηθεὶς μὴ ἐξ ὧν ὁ Κύριος ποιεῖ δι' αὐτοῦ, ἢ αὐτὸς ἐπαρθῇ, ἢ ἄλλος τις ὑπὲρ ὅ ἐστι λογίσηται περὶ αὐτοῦ, ἐσκέψατο καὶ ὥρμησεν ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα πρὸς τοὺς ἀγνοοῦντας αὐτόν. Καὶ δὴ παρὰ τῶν ἀδελφῶν δεξάμενος ἄρτους, ἐκάθητο παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, σκοπῶν εἰ ἄρα παρέλθοι πλοῖον, ἵνα ἐμβὰς ἀνέλθῃ μετ' αὐτῶν. Ταῦτα δὲ αὐτοῦ σκεπτομένου, φωνή τις ἄνωθεν γέγονε πρὸς αὐτόν· Ἀντώνιε, ποῦ πορεύῃ, καὶ διὰ τί; Ὁ δὲ μὴ ταραχθείς, ἀλλ' ὡς εἰωθὼς καλεῖσθαι πολλάκις οὕτως, ἐπακούσας, ἀπεκρίνατο, λέγων· Ἐπειδὴ οὐκ ἐπιτρέπουσί μοι ἠρεμεῖν οἱ ὄχλοι, διὰ τοῦτο βούλομαι ἀνελθεῖν εἰς τὴν ἄνω Θηβαΐδα, διὰ τὰς πολλὰς τῶν ὧδέ μοι γινομένας ἐνοχλήσεις, καὶ μάλιστα διὰ τὸ ἀπαιτεῖσθαί με παρ' αὐτῶν τὰ ὑπὲρ τὴν ἐμὴν δύναμιν. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· Κἂν εἰς τὴν Θηβαΐδα ἀνέλθῃς, κἄν, ὡς ἐνθυμῇ, κατέλθῃς εἰς τὰ βουκόλια, πλείω καὶ διπλασίονα τὸν κάματον ἔχεις ὑπομένειν. Εἰ δὲ θέλεις ὄντως ἠρεμεῖν, ἄνελθε νῦν εἰς τὴν ἐνδοτέραν ἔρημον. Τοῦ δὲ Ἀντωνίου λέγοντος· Καὶ τίς δείξει μοι τὴν ὁδόν; ἄπειρος γάρ εἰμι ταύτης· εὐθὺς ἔδειξεν αὐτῷ Σαρακηνοὺς μέλλοντας ὁδεύειν τὴν ὁδὸν ἐκείνην. Προσελθὼν τοίνυν, καὶ ἐγγίσας αὐτοῖς ὁ Ἀντώνιος, ἠξίου σὺν αὐτοῖς εἰς τὴν ἔρημον ἀπελθεῖν. Οἱ δέ, ὥσπερ ἐξ ἐπιτάγματος τῆς Προνοίας, προθύμως αὐτὸν ἐδέξαντο· καὶ ὁδεύσας τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας μετ' αὐτῶν, ἦλθεν εἰς ὄρος ὑψηλὸν λίαν καὶ ὕδωρ μὲν ἦν ὑπὸ τὸ ὄρος διειδέστατον, γλυκύ, καὶ μάλα ψυχρόν. Πεδιὰς δὲ ἔξωθεν, καὶ φοίνικες ἀμεληθέντες ὀλίγοι.

50. Ὁ οὖν Ἀντώνιος, ὥσπερ θεόθεν κινούμενος, ἠγάπησε τὸν τόπον·

---

1. Λουκ. 11, 9.

οὗτος γὰρ ἦν ὃν ἐσήμανεν ὁ λαλήσας αὐτῷ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ. Τὴν μὲν οὖν ἀρχὴν δεξάμενος παρὰ τῶν συνοδευσάντων ἄρτους, ἔμενεν ἐν τῷ ὄρει μόνος, οὐδενὸς ἑτέρου συνόντος αὐτῷ· ὡς γὰρ ἴδιον οἶκον ἐπιγνούς, εἶχε λοιπὸν τὸν τόπον ἐκεῖνον. Αὐτοί τε οἱ Σαρακηνοί, θεωρήσαντες τὴν Ἀντωνίου προθυμίαν, ἐξεπίτηδες ἐκείνην τὴν ὁδὸν διήρχοντο, καὶ χαίροντες ἔφερον ἄρτους αὐτῷ· εἶχε δὲ καὶ τὴν ἀπὸ τῶν φοινίκων ὀλίγην τινὰ τότε καὶ εὐτελῆ παραμυθίαν. Μετὰ δὲ ταῦτα, μαθόντες οἱ ἀδελφοὶ τὸν τόπον, ὡς τέκνα, πατρὸς μνημονεύοντες, ἐφρόντιζον ἀποστέλλειν αὐτῷ· ἀλλ' ὁρῶν ὁ Ἀντώνιος, ὅτι προφάσει τοῦ ἄρτου σκύλλονταί τινες ἐκεῖ, καὶ κάματον ὑπομένουσι, φειδόμενος καὶ ἐν τούτῳ τῶν μοναχῶν, ἐβουλεύσατο καθ' ἑαυτόν, καὶ τῶν εἰσερχομένων τινὰς πρὸς αὐτὸν ἠξίωσε κομίσαι αὐτῷ δίκελλαν, καὶ πέλεκυν, καὶ σῖτον ὀλίγον. Ὡς δὲ ἐκομίσθη ταῦτα, διοδεύσας τὴν περὶ τὸ ὄρος γῆν, βραχύτατόν τινα τόπον εὑρὼν ἐπιτήδειον, ἐγεώργησε· καὶ τὸν ἐκ τοῦ ὕδατος ποτισμὸν ἀφθόνως ἔχων, ἔσπειρε. Καὶ κατ' ἐνιαυτὸν τοῦτο ποιῶν, εἶχεν ἐκεῖθεν τὸν ἄρτον· χαίρων, ὅτι μηδενὶ διὰ τοῦτο γενήσεται ὀχληρός, καὶ ὅτι ἐν πᾶσιν ἑαυτὸν ἀβαρῆ φυλάττει. Ἀλλὰ μετὰ ταῦτα βλέπων πάλιν τινὰς ἐρχομένους, ἐγεώργησε καὶ ὀλιγοστὰ λάχανα, ἵνα ὁ εἰσερχόμενος ἔχῃ τινὰ παραμυθίαν ὀλίγην τοῦ καμάτου τῆς χαλεπῆς ἐκείνης ὁδοῦ. Τὴν μὲν οὖν ἀρχὴν τὰ ἐν τῇ ἐρήμῳ θηρία προφάσει τοῦ ὕδατος ἐρχόμενα, πολλάκις ἔβλαπτον αὐτοῦ τὸν σπόρον καὶ τὴν γεωργίαν· αὐτὸς δὲ χαριέντως κρατήσας ἓν τῶν θηρίων, ἔλεγε τοῖς πᾶσι· Διὰ τί με βλάπτετε, μηδὲν ἐμοῦ βλάπτοντος ὑμᾶς; Ἀπέλθετε, καὶ ἐν τῷ ὀνόματι τοῦ Κυρίου μηκέτι ἐγγίσητε τοῖς ὧδε. Καὶ ἐξ ἐκείνου λοιπόν, ὥσπερ φοβηθέντα τὴν παραγγελίαν, οὐκ ἔτι τῷ τόπῳ ἤγγισαν.

51. Αὐτὸς μὲν οὖν μόνος ἦν εἰς τὸ ὄρος, ταῖς εὐχαῖς καὶ τῇ ἀσκήσει σχολάζων· οἱ δὲ ἀδελφοὶ οἱ διακονοῦντες αὐτῷ, ἠξίωσαν αὐτόν, ἵνα διὰ μηνῶν εἰσερχόμενοι κομίζωσιν αὐτῷ ἐλαίας καὶ ὄσπριον καὶ ἔλαιον· γέρων γὰρ λοιπὸν ἦν. Ἐκεῖ τοίνυν ἀναστρεφόμενος, ὅσας ὑπέμεινε πάλας, κατὰ τὸ γεγραμμένον, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τοὺς ἀντικειμένους δαίμονας[1], ἐκ τῶν εἰσερχομένων πρὸς αὐτὸν ἔγνωμεν. Καὶ γὰρ κἀκεῖ θορύβων, καὶ φωνῶν πολλῶν, καὶ κτύπων, ὡς ὅπλων ἤκουον· τό τε ὄρος νυκτὸς πλῆρες θηρίων γενόμενον ἔβλεπον· ἐθεώρουν δὲ καὶ αὐτὸν ὡς πρὸς βλεπομένους μαχόμενον, καὶ εὐχόμενον κατ' αὐτῶν. Καὶ τοὺς μὲν ἐρχομένους πρὸς αὐτὸν παρεθάρρυνεν, αὐτὸς δὲ ἠγωνίζετο κάμπτων τὰ γόνατα καὶ προσευχόμενος τῷ Κυρίῳ. Καὶ ἦν ἀληθῶς θαύματος ἄξιον, ὅτι, μόνος ἐν τοιαύτῃ ἐρήμῳ ὤν, οὔτε δαιμόνων ἐφισταμένων ἐπτοεῖτο, οὔτε, τοσούτων ὄντων ἐκεῖ θηρίων τετραπόδων καὶ ἑρπετῶν, ἐφοβεῖτο τούτων τὴν ἀγριότητα· ἀλλ' ἀληθῶς, κατὰ τὸ γεγραμμένον, πεποιθὼς ἦν ἐπὶ Κύριον, ὡς ὄρος

---

1. Πρβλ. Ἐφεσ. 6, 12.

Σιών [1], ἀσάλευτον ἔχων καὶ ἀκύμαντον τὸν νοῦν· ὥστε μᾶλλον τοὺς δαίμονας φεύγειν, καὶ τὰ θηρία τὰ ἄγρια, ὡς γέγραπται, εἰρηνεύειν πρὸς αὐτόν.[2]

52. Ὁ μὲν οὖν διάβολος, ὡς ψάλλει Δαβίδ, παρετηρεῖτο τὸν Ἀντώνιον, καὶ ἔτριζε κατ' αὐτοῦ τοὺς ὀδόντας·[3] ὁ δὲ Ἀντώνιος παρεκαλεῖτο παρὰ τοῦ Σωτῆρος, ἀβλαβὴς διαμένων ἀπὸ τῆς ἐκείνου πανουργίας καὶ τῆς ποικίλης μεθοδείας. Ἀγρυπνοῦντι τοίνυν αὐτῷ νυκτὸς ἐπαφῆκε θηρία· καὶ σχεδὸν ἐν ἐκείνῃ τῇ ἐρήμῳ πᾶσαι αἱ ὕαιναι, ἐξελθοῦσαι τῶν φωλεῶν, πριεκύκλωσαν, καὶ μέσος ἦν αὐτός· χαινούσης δέ, καὶ δάκνειν ἑκάστης ἀπειλούσης, συνεὶς τὴν τοῦ ἐχθροῦ τέχνην, εἶπε πάσαις αὐταῖς· Εἰ μὲν ἐξουσίαν ἐλάβετε κατ' ἐμοῦ, ἕτοιμός εἰμι βρωθῆναι παρ' ὑμῶν· εἰ δὲ παρὰ δαιμόνων ὑπεβλήθητε, μὴ μέλλετε, ἀλλ' ἀναχωρεῖτε· Χριστοῦ γὰρ δοῦλός εἰμι. Ταῦτα τοῦ Ἀντωνίου λέγοντος, ἔφυγον ἐκεῖναι, ὡς ὑπὸ μάστιγος τοῦ λόγου διωκόμεναι.

53. Εἶτα μεθ' ἡμέρας ὀλίγας, ὡς εἰργάζετο (ἔμελε γὰρ αὐτῷ καὶ κοπιᾶν), ἐπιστάς τις τῇ θύρᾳ, εἷλκε τὴν σειρὰν τοῦ ἔργου· σπυρίδας γὰρ ἔρραπτε, καὶ ταύτας τοῖς εἰσερχομένοις ἀντὶ τῶν κομιζομένων αὐτῷ ἐδίδου. Ἀναστὰς δέ, εἶδε θηρίον, ἀνθρώπῳ μὲν ἐοικὸς ἕως τῶν μηρῶν, τὰ δὲ σκέλη καὶ τοὺς πόδας ὁμοίους ἔχον ὄνῳ. Καὶ ὁ μὲν Ἀντώνιος μόνον ἑαυτὸν ἐσφράγισε, καὶ εἶπε· Χριστοῦ δοῦλός εἰμι· εἰ ἀπεστάλης κατ' ἐμοῦ, ἰδοὺ πάρειμι. Τὸ δὲ θηρίον σὺν τοῖς ἑαυτοῦ δαίμοσιν οὕτως ἔφυγεν, ὡς ὑπὸ τῆς ὀξύτητος πεσεῖν καὶ ἀποθανεῖν. Ὁ δὲ τοῦ θηρίου θάνατος πτῶμα τῶν δαιμόνων ἦν. Πάντα γὰρ ἐσπούδαζον ποιεῖν, ἵνα καταγάγωσιν αὐτὸν ἐκ τῆς ἐρήμου καὶ οὐκ ἴσχυσαν.

54. Ἀξιωθεὶς δέ ποτε παρὰ τῶν μοναχῶν κατελθεῖν πρὸς αὐτούς, καὶ ἐπισκέψασθαι διὰ χρόνου αὐτούς τε καὶ τοὺς τόπους, ὥδευσε σὺν τοῖς μοναχοῖς τοῖς ἀπαντήσασι· κάμηλος δὲ ἐβάσταζε αὐτοῖς τοὺς ἄρτους καὶ τὸ ὕδωρ. Ἄνυδρος γὰρ ἡ ἔρημός ἐστιν ἐκείνη πᾶσα, καὶ οὐκ ἔστιν ὕδωρ πότιμον ὅλως, εἰ μὴ ἐν ἐκείνῳ τῷ ὄρει μόνῳ, ὅθεν καὶ ὑδρεύσαντο, ἐν ᾧ καὶ τὸ μοναστήριόν ἐστιν αὐτοῦ. Λείψαντος τοίνυν τοῦ ὕδατος ἐν τῇ ὁδῷ, καὶ καύματος ὄντος σφοδροτάτου, πάντες ἔμελλον κινδυνεύειν. Περιελθόντες γὰρ τοὺς τόπους, καὶ μὴ εὑρόντες ὕδωρ, οὐδὲ περιπατεῖν ἐδύναντο λοιπόν, ἀλλὰ κατέκειντο χαμαί, τήν τε κάμηλον ἀφῆκαν ἀπελθεῖν, ἀπογνόντες ἑαυτῶν. Ὁ δὲ γέρων, ὁρῶν πάντας κινδυνεύοντας, πάνυ λυπηθεὶς καὶ στενάξας, ὀλίγον ἀπ' αὐτῶν ἀπελθών, καὶ κλίνας τὰ γόνατα, καὶ τὰς χεῖρας ἐκτείνας, προσηύχετο· καὶ εὐθὺς ἐποίησεν ὁ Κύριος ὕδωρ ἐξελθεῖν, ἔνθα προσευχόμενος εἱστήκει· καὶ οὕτως πιόντες οἱ πάντες, ἀνέπνευσαν· καὶ τοὺς ἀσκοὺς πλήσαντες, ἐζήτησαν τὴν κάμηλον, καὶ εὗρον· συνέβη γὰρ τὸ σχοινίον εἴς τινα λίθον περιειληθῆναι, καὶ οὕτω κατασχεθῆναι.

---

1. Πρβλ. Ψαλμ. 124, 1. 2. Πρβλ. Ἰὼβ 5, 23. 3. Πρβλ. Ψαλμ. 34, 16.

Ἀγαγόντες τοίνυν καὶ ποτίσαντες, ἐπέθηκαν ἐπ' αὐτὴν τοὺς ἀσκοὺς καὶ διώδευσαν ἀβλαβεῖς. Ὡς δὲ ἦλθεν εἰς τὰ ἔξω μοναστήρια, πάντες ὡς πατέρα βλέποντες κατησπάζοντο. Καὶ αὐτὸς δέ, ὥσπερ ἐφόδια φέρων ἀπὸ τοῦ ὄρους, ἐξένιζεν αὐτοὺς τοῖς λόγοις, καὶ μετεδίδου τῆς ὠφελείας. Πάλιν τε ἦν χαρὰ ἐν τοῖς ὄρεσι, καὶ ζῆλος προκοπῆς, καὶ παράκλησις διὰ τῆς ἐν ἀλλήλοις πίστεως. Ἔχαιρεν οὖν καὶ αὐτός, βλέπων τήν τε τῶν μοναχῶν προθυμίαν, καὶ τὴν ἀδελφὴν γηράσασαν ἐν παρθενίᾳ, καθηγουμένην τε καὶ αὐτὴν ἄλλων παρθένων.

55. Μεθ' ἡμέρας τοίνυν εἰσῆλθε πάλιν εἰς τὸ ὄρος· καὶ τότε λοιπὸν πολλοὶ πρὸς αὐτὸν εἰσήρχοντο· καὶ ἄλλοι πάσχοντες ἐτόλμησαν εἰσελθεῖν. Πρὸς μὲν οὖν πάντας τοὺς εἰσερχομένους πρὸς αὐτὸν μοναχούς, τοῦτο συνεχῶς εἶχε τὸ παράγγελμα, πιστεύειν εἰς τὸν Κύριον, καὶ ἀγαπᾶν αὐτόν, φυλάττειν τε ἑαυτοὺς ἀπὸ ῥυπαρῶν λογισμῶν καὶ σαρκικῶν ἡδονῶν, καί, ὡς ἐν ταῖς Παροιμίαις γέγραπται, «μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας·[1]» φεύγειν τε κενοδοξίαν, καὶ εὔχεσθαι συνεχῶς, ψάλλειν τε πρὸ ὕπνου καὶ μεθ' ὕπνον, καὶ ἀποστηθίζειν τὰ ἐν ταῖς Γραφαῖς παραγγέλματα, καὶ μνημονεύειν τῶν πράξεων τῶν ἁγίων πρὸς τὸ τῷ ζήλῳ τούτων ῥυθμίζεσθαι τὴν ψυχὴν ὑπομιμνησκομένην ἐκ τῶν ἐντολῶν. Μάλιστα δὲ συνεβούλευε τὸ τοῦ Ἀποστόλου ῥητὸν συνεχῶς μελετᾶν. «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν·[2]» καὶ τοῦτο κοινῶς περὶ πάσης ἐντολῆς εἰρῆσθαι νομίζειν, ἵνα μὴ ἐπὶ μόνῳ παροργισμῷ, ἀλλὰ μηδὲ ἐπὶ ἄλλῃ ἁμαρτίᾳ ἡμῶν ὁ ἥλιος ἐπιδύνῃ· καλὸν γὰρ καὶ ἀναγκαῖον, μήτε τὸν ἥλιον περὶ ἡμερινῆς κακίας, μήτε τὴν σελήνην περὶ νυκτερινῆς ἁμαρτίας, ἢ ὅλως ἐνθυμήσεως, καταγινώσκειν ἡμῶν. Ἵν' οὖν τοῦτο ἡμῖν περισῴζηται, καλὸν ἀκοῦσαι τοῦ Ἀποστόλου καὶ φυλάξαι· φησὶ γάρ· Ἑαυτοὺς ἀνακρίνετε, καὶ «ἑαυτοὺς δοκιμάζετε.[3]» Καθ' ἡμέραν τοίνυν τῶν ἡμερινῶν καὶ τῶν νυκτερινῶν πράξεων τὸν λόγον ἕκαστος παρ' ἑαυτῷ λαμβανέτω· καί, εἰ μὲν ἥμαρτε, παυέσθω· εἰ δὲ μὴ ἥμαρτε, μὴ καυχάσθω· ἀλλ' ἐπιμενέτω τῷ καλῷ, καὶ μὴ ἀμελείτω, μηδὲ κατακρινέτω τὸν πλησίον, μηδὲ δικαιούτω ἑαυτόν, ὡς εἶπεν ὁ μακάριος ἀπόστολος Παῦλος, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὁ τὰ κρυπτὰ ἐρευνῶν.[4] Πολλάκις γὰρ καὶ ἑαυτούς, ἐν οἷς πράττομεν, λανθάνομεν· καὶ ἡμεῖς μὲν οὐκ οἴδαμεν, ὁ δὲ Κύριος καταλαμβάνει πάντα. Αὐτῷ οὖν τὸ κρῖμα διδόντες, ἀλλήλοις συμπάσχωμεν, καὶ ἀλλήλων μὲν τὰ βάρη βαστάζωμεν[5], ἑαυτοὺς δὲ ἀνακρίνωμεν, καὶ ἃ ὑστεροῦμεν, ἀναπληροῦν σπουδάζωμεν. Ἔστω δὲ καὶ αὕτη, πρὸς ἀσφάλειαν τοῦ μὴ ἁμαρτάνειν παρατήρησις. Ἕκαστος τὰς πράξεις καὶ τὰ κινήματα τῆς ψυχῆς, ὡς μέλλοντες ἀλλήλοις ἀπαγγέλλειν, σημειώμεθα καὶ γράφωμεν· καὶ θαρρεῖτε, ὅτι, πάντως αἰσχυνόμενοι γνωσθῆναι, παυσόμεθα τοῦ ἁμαρτάνειν, καὶ

1. Παρμ. 24, 15. 2. Ἐφεσ. 4, 26. 3. Β' Κορ. 13, 5. 4. Πρβλ. Α' Κορ. 4, 5. Ῥωμ. 2, 16. 5. Πρβλ. Γαλ. 6, 2.

ὅλως τοῦ ἐνθυμεῖσθαί τι φαῦλον. Τίς γὰρ ἁμαρτάνων θέλει βλέπεσθαι; ἢ τίς ἁμαρτήσας, οὐ μᾶλλον ψεύδεται, λανθάνειν θέλων; Ὥσπερ οὖν βλέποντες ἀλλήλους, οὐκ ἂν πορνεύσαιμεν, οὕτως, ἐὰν ὡς ἀπαγγέλλοντες ἀλλήλοις τοὺς λογισμοὺς γράφωμεν, μᾶλλον τηρήσομεν ἑαυτοὺς ἀπὸ λογισμῶν ῥυπαρῶν, αἰσχυνόμενοι γνωσθῆναι. Ἔστω οὖν ἡμῖν τὸ γράμμα ἀντὶ ὀφθαλμῶν τῶν συνασκητῶν· ἵνα, ἐρυθριῶντες γράφειν ὡς τὸ βλέπεσθαι, μήθ' ὅλως ἐνθυμηθῶμεν τὰ φαῦλα· οὕτω δὲ τυποῦντες ἑαυτούς, δυνησόμεθα δουλαγωγεῖν τὸ σῶμα, καὶ ἀρέσκειν μὲν τῷ Κυρίῳ, πατεῖν δὲ τὰς τοῦ ἐχθροῦ μεθοδείας.

56. Ταῦτα μὲν τοῖς ἀπαντῶσι παρήγγελλε· τοῖς δὲ πάσχουσι συνέπασχε καὶ συνηύχετο· πολλάκις τε καὶ ἐν πολλοῖς ὁ Κύριος ἐπήκουεν αὐτοῦ· καὶ οὔτε ἐπακουόμενος ἐκαυχᾶτο, οὔτε μὴ ἐπακουσόμενος ἐγόγγυζεν· ἀλλ' ἀεὶ μὲν αὐτὸς ηὐχαρίστει τῷ Κυρίῳ, τοὺς δὲ πάσχοντας παρεκάλει μακροθυμεῖν, καὶ εἰδέναι, ὅτι οὔτε αὐτοῦ, οὔθ' ὅλως ἀνθρώπων ἐστὶν ἡ θεραπεία, ἀλλὰ μόνον τοῦ Θεοῦ τοῦ ποιοῦντος, ὅτε θέλει, καὶ οἷς βούλεται. Οἱ οὖν πάσχοντες ὡς θεραπείαν ἐδέχοντο καὶ τοὺς λόγους τοῦ γέροντος, μανθάνοντες καὶ αὐτοὶ μὴ ὀλιγωρεῖν, μακροθυμεῖν δὲ μᾶλλον· καὶ οἱ θεραπευόμενοι δὲ ἐδιδάσκοντο μὴ τῷ Ἀντωνίῳ εὐχαριστεῖν, ἀλλὰ τῷ Θεῷ μόνῳ.

57. Εἷς γοῦν Φρόντων καλούμενος, ἀπὸ Παλατίου τυγχάνων, καὶ πάθος ἔχων δεινόν, τήν τε γὰρ γλῶτταν ἑαυτοῦ κατήσθιε, καὶ τοὺς ὀφθαλμοὺς ἔμελλε βλάπτεσθαι, εἰσελθὼν εἰς τὸ ὄρος, ἠξίου τὸν Ἀντώνιον εὔξεσθαι περὶ αὐτοῦ. Ὁ δὲ εὐξάμενος, ἔλεγε τῷ Φρόντωνι. Ἄπελθε, καὶ θεραπεύῃ. Τοῦ δὲ βιασαμένου, καὶ μείναντος ἔνδον ἡμέρας, ἐπέμενε λέγων ὁ Ἀντώνιος· Οὐ δυνήσῃ μένων ὧδε θεραπευθῆναι. Ἔξελθε, καὶ φθάσας εἰς τὴν Αἴγυπτον, ὄψει τὸ γινόμενον εἰς σὲ σημεῖον. Πιστεύσας ἐκεῖνος ἐξῆλθε καὶ ὡς μόνον εἶδε τὴν Αἴγυπτον, ἐπέπαυτο τοῦ πάθους, καὶ γέγονεν ὑγιὴς ὁ ἄνθρωπος κατὰ τὸν λόγον Ἀντωνίου, ὃν εὐξάμενος ἔμαθε παρὰ τοῦ Σωτῆρος.

58. Παρθένος δέ τις ἀπὸ Βουσίρεως τῆς Τριπόλεως πάθος εἶχε δεινὸν καὶ λίαν αἰσχρόν. Τά τε γὰρ δάκρυα αὐτῆς, καὶ αἱ μύξαι, καὶ τὰ ἐκ τῶν ὤτων ὑγρὰ πίπτοντα χαμαί, σκώληκες εὐθὺς ἐγίνοντο· ἦν δὲ καὶ τὸ σῶμα παραλελυμένη, καὶ τοὺς ὀφθαλμοὺς εἶχεν οὐ κατὰ φύσιν. Ταύτης οἱ γονεῖς μαθόντες ἀπερχομένους πρὸς τὸν Ἀντώνιον μοναχοὺς πιστεύσαντες τῷ Κυρίῳ τῷ τὴν αἱμορροοῦσαν θεραπεύσαντι [1], ἠξίωσαν μετὰ τῆς θυγατρὸς συνοδεῦσαι τούτοις. Τῶν δὲ ἀνασχομένων, οἱ μὲν γονεῖς μετὰ τῆς παιδὸς ἔμειναν ἔξω τοῦ ὄρους παρὰ Παφνουτίῳ τῷ ὁμολογητῇ καὶ μοναχῷ· οἱ δὲ εἰσῆλθον, καὶ μόνον ὡς ἠθέλησαν ἀπαγγεῖλαι περὶ τῆς παρθένου, ἔφθασεν αὐτοὺς αὐτός, καὶ διηγήσατο τό τε πάθος τῆς παιδός, καὶ πῶς συνώδευσεν αὐτοῖς. Εἶτα τούτων ἀξιούντων ἐπιτραπῆναι κἀκείνους εἰσελθεῖν,

1. Πρβλ. Ματθ. 9, 20.

τοῦτο μὲν οὐκ ἐπέτρεψεν, εἶπε δέ· Ὑπάγετε, καὶ εὑρήσετε αὐτήν, εἰ μὴ ἀπέθανε, τεθεραπευμένην. Οὐ γὰρ ἐμόν ἐστι τοῦτο κατόρθωμα, ἵνα καὶ πρὸς ἐμὲ τὸν οἰκτρὸν ἄνθρωπον ἔλθῃ· ἀλλὰ τοῦ Σωτῆρός ἐστιν ἡ θεραπεία, τοῦ ποιοῦντος ἐν παντὶ τόπῳ τὸ ἔλεος αὐτοῦ τοῖς ἐπικαλουμένοις αὐτόν. Κἀκείνῃ τοίνυν ἐπένευσεν ὁ Κύριος εὐξαμένῃ, κἀμοὶ δεδήλωκεν ἡ αὐτοῦ φιλανθρωπία, ὅτι τὸ πάθος ἐκεῖ οὔσης τῆς παιδὸς θεραπεύσει. Γέγονε γοῦν τὸ θαῦμα, καὶ ἐξελθόντες εὗρον τοὺς γονεῖς χαίροντας, καὶ τὴν παῖδα λοιπὸν ὑγιαίνουσαν.

59. Εἰσερχομένων δὲ δύο ἀδελφῶν τινων, καὶ λείψαντος ἐν τῇ ὁδῷ τοῦ ὕδατος, ὁ μὲν εἷς ἀπέθανεν, ὁ δὲ ἕτερος ἔμελλε· μηκέτι γοῦν ἰσχύων ὁδεύειν, ἔκειτο καὶ αὐτὸς ἐπὶ τῆς γῆς τεθνήξεσθαι προσδοκῶν. Ὁ δὲ Ἀντώνιος καθήμενος ἐν τῷ ὄρει, φωνήσας δύο μοναχοὺς (συνέβη γὰρ ἐκεῖ τούτους εἶναι), ἤπειγε, λέγων· Λάβετε κεράμιον ὕδατος, καὶ δράμετε τὴν ἐπ' Αἴγυπτον ὁδόν· δύο γὰρ ἐρχομένων, ὁ μὲν εἷς ἄρτι τετελεύτηκεν, ὁ δὲ ἕτερος μέλλει, ἐὰν μὴ σπεύσητε. Τοῦτο γὰρ εὐχομένῳ μοι νῦν πεφανέρωται. Ἐλθόντες τοίνυν οἱ μοναχοὶ εὗρον τὸν μὲν κείμενον νεκρόν, καὶ ἔθαψαν, τὸν δὲ ἕτερον ἀνεκτήσαντο τῷ ὕδατι, καὶ ἀπήγαγον πρὸς τὸν γέροντα· ἦν γὰρ τὸ διάστημα ἡμέρας ὁδός. Ἐὰν δὲ ζητήσῃ τις, διὰ τί μὴ πρὸ τοῦ τελευτῆσαι τὸν ἄλλον οὐκ εἴρηκεν· οὐκ ὀρθῶς ζητεῖ τοῦτο λέγων. Οὐ γὰρ ἦν Ἀντωνίου τὸ τοῦ θανάτου κρῖμα, ἀλλὰ τοῦ Θεοῦ, τοῦ καὶ περὶ ἐκείνου κρίναντος, καὶ περὶ τούτου ἀποκαλύψαντος. Μόνον δὲ Ἀντωνίου τοῦτο θαῦμα ἦν, ὅτι ἐν τῷ ὄρει καθήμενος, εἶχε τὴν μὲν καρδίαν νήφουσαν, τὸν δὲ Κύριον δεικνύοντα αὐτῷ τὰ μακράν.

60. Καὶ γάρ ποτε πάλιν, καθήμενος ἐν τῷ ὄρει καὶ ἀναβλέψας, εἶδεν ἐν τῷ ἀέρι ἀναγόμενόν τινα, πολλήν τε τῶν ἀπαντώντων γινομένην τὴν χαράν. Εἶτα θαυμάζων καὶ μακαρίζων τὸν τοιοῦτον χορόν, ηὔχετο μαθεῖν, τί ἂν εἴη τοῦτο. Καὶ εὐθὺς ἦλθεν αὐτῷ φωνή, ταύτην εἶναι τοῦ Ἀμοῦν τὴν ψυχήν, τοῦ ἐν τῇ Νιτρίᾳ μοναχοῦ. Ἦν δὲ οὗτος ἕως γήρως ἀσκητὴς διαμείνας. Καὶ τὸ διάστημα δὲ τὸ ἀπὸ Νιτρίας ἕως τοῦ ὄρους, ἔνθα ἦν ὁ Ἀντώνιος, ἡμερῶν ἐστι δεκατριῶν. Οἱ τοίνυν ὄντες μετὰ Ἀντωνίου, βλέποντες τὸν γέροντα θαυμάζοντα, ἠξίωσαν μαθεῖν· καὶ ἤκουσαν, ὅτι ἄρτι τετελεύτηκεν ὁ Ἀμοῦν. Ἦν γὰρ γνώριμος, διὰ τὸ πυκνότερον αὐτὸν ἐκεῖ παραγίνεσθαι, καὶ πολλὰ καὶ δι' αὐτοῦ σημεῖα γεγενῆσθαι· ἐξ ὧν ἕν ἐστι τοῦτο· Ποτὲ χρείας γενομένης παρελθεῖν αὐτὸν τὸν ποταμὸν τὸν λεγόμενον Λύκον (ἦν δὲ τότε πλημμύρα τῶν ὑδάτων), ἠξίωσε τὸν σὺν αὐτῷ Θεόδωρον μακρὰν ἀπ' αὐτοῦ γενέσθαι, ἵνα μὴ ἀλλήλους ἴδωσι γυμνούς, ἐν τῷ διανήχεσθαι τὸ ὕδωρ. Εἶτα ἀπελθόντος τοῦ Θεοδώρου, ᾐσχύνετο πάλιν καὶ ἑαυτὸν ἰδεῖν γυμνόν. Ἕως τοίνυν ᾐσχύνετο, καὶ ἐφρόντιζεν, ἐξαίφνης ἀπηνέχθη εἰς τὸ πέραν. Ὁ οὖν Θεόδωρος, καὶ αὐτὸς ἀνὴρ εὐλαβής, ἐγγίσας καὶ ἑωρακὼς αὐτὸν προλαβόντα, καὶ μηθ' ὅλως ὕδατι βραχέντα, ἠξίου μαθεῖν τὸν τρόπον τοῦ περάματος. Ὡς δὲ ἑώρα μὴ θέλοντα εἰπεῖν

αὐτόν, διισχυρίζετο, κατέχων αὐτοῦ τοὺς πόδας, μὴ πρότερον ἐξαφεῖναι, πρὶν ἂν μάθῃ παρ' αὐτοῦ. Βλέπων τοιγαροῦν ὁ Ἀμοῦν τὸ φιλόνεικον τοῦ Θεοδώρου, μάλιστα καὶ διὰ τὸν λόγον, ὃν εἶπεν, ἀπήτησε καὶ αὐτὸς μηδενὶ λέγειν αὐτὸν ἕως θανάτου αὐτοῦ· καὶ οὕτως ἀπήγγειλε, βεβαστάχθαι καὶ τεθεῖσθαι αὐτὸν εἰς τὸ πέραν· μήτε δὲ περιπεπατηκέναι εἰς τὸ ὕδωρ, μήθ' ὅλως εἶναι τοῦτο δυνατὸν ἀνθρώποις, εἰ μὴ μόνῳ τῷ Κυρίῳ, καὶ οἷς ἂν αὐτὸς ἐπιτρέψῃ, ὡς τῷ μεγάλῳ ἀποστόλῳ Πέτρῳ πεποίηκεν.[1] Ὁ μὲν οὖν Θεόδωρος μετὰ θάνατον τοῦ Ἀμοῦν διηγήσατο τοῦτο· οἱ δὲ μοναχοί, οἷς εἶπεν ὁ Ἀντώνιος περὶ τοῦ θανάτου τοῦ Ἀμοῦν, ἐσημειώσαντο τὴν ἡμέραν· καὶ ἀνελθόντων τῶν ἀδελφῶν ἀπὸ τῆς Νιτρίας μετὰ τριάκοντα ἡμέρας, ἐπύθοντο, καὶ ἔγνωσαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τῇ ὥρᾳ κεκοιμῆσθαι τὸν Ἀμοῦν, ἐν ᾗ τὴν ψυχὴν εἶδεν ἀναφερομένην ὁ γέρων αὐτοῦ Καὶ πάνυ καὶ οὗτοι κἀκεῖνοι τὸ καθαρὸν τῆς ψυχῆς ἐθαύμαζον Ἀντωνίου, πῶς τὸ ἀπὸ διαστήματος ἡμερῶν δεκατριῶν γενόμενον παρ' αὐτὰ μεμάθηκε, καὶ τὴν ψυχὴν εἶδεν ἀναγομένην.

61. Καὶ μὴν καὶ Ἀρχέλαός ποτε ὁ κόμης, εὑρὼν αὐτὸν ἐν τῷ ὄρει τῷ ἔξω, προσεύξασθαι μόνον ἠξίωσεν αὐτὸν περὶ Πολυκρατείας τῆς ἐν Λαοδικείᾳ θαυμαστῆς καὶ Χριστοφόρου παρθένου. Ἔπασχε γὰρ ἐκείνη δεινῶς τὸν στόμαχον καὶ τὸ πλευρὸν ἀπὸ τῆς ἄγαν ἀσκήσεως, καὶ ὅλη ἦν ἀσθενὴς τῷ σώματι. Ὁ μὲν οὖν Ἀντώνιος ηὔχετο· ὁ δὲ κόμης ἐσημειώσατο τὴν ἡμέραν, ἐν ᾗ γέγονεν ἡ εὐχή· καὶ ἀπελθὼν εἰς τὴν Λαοδίκειαν, εὗρεν ὑγιῆ τὴν παρθένον. Πυνθανόμενος δέ, πότε καὶ ποίᾳ ἡμέρᾳ πέπαυται τῆς ἀσθενείας, προήνεγκε τὸν χάρτην, ἐν ᾧ τὸν χρόνον τῆς εὐχῆς ἔγραψε· καὶ μαθών, ἔδειξε καὶ αὐτὸς εὐθὺς τὴν ἐν τῷ χάρτῃ γραφήν· καὶ πάντες ἐθαύμασαν ἐπιγνόντες, ὅτι τότε πέπαυκεν ὁ Κύριος αὐτὴν τῶν πόνων, ὅτε ἦν εὐχόμενος ὁ Ἀντώνιος καὶ παρακαλῶν τὴν ἀγαθότητα τοῦ Σωτῆρος περὶ αὐτῆς.

62. Καὶ περὶ τῶν ἐρχομένων δὲ πρὸς αὐτὸν πολλάκις προέλεγε πρὸ ἡμερῶν, ἦν δὲ ὅτε καὶ πρὸ μηνός, καὶ τὴν αἰτίαν, δι' ἣν ἤρχοντο· οἱ μὲν γὰρ ἕνεκα τοῦ μόνον ἰδεῖν αὐτὸν ἤρχοντο, οἱ δὲ δι' ἀσθένειαν, καὶ ἄλλοι πάσχοντες ὑπὸ δαιμόνων. Καὶ πάντες οὐ σκυλμὸν οὐδὲ ζημίαν ἡγοῦντο τὸν κόπον τῆς ὁδοῦ· ἀνέκαμπτε γὰρ ἕκαστος αἰσθόμενος τῆς ὠφελείας. Τοιαῦτα δὲ λέγων καὶ βλέπων, ἠξίου μηδένα θαυμάζειν αὐτὸν ἐν τούτῳ· ἀλλὰ μᾶλλον θαυμάζειν τὸν Κύριον, ὅτι ἀνθρώποις ἡμῖν οὖσιν ἐχαρίσατο κατὰ δύναμιν γινώσκειν αὐτόν.

63. Κατελθὼν δέ ποτε πάλιν εἰς τὰ ἔξω μοναστήρια, καὶ ἀξιωθεὶς εἰς πλοῖον εἰσελθεῖν, καὶ εὔξασθαι μετὰ μοναχῶν, μόνος αὐτὸς ἀντελάβετο δεινῆς δυσωδίας καὶ πάνυ πικρᾶς. Τῶν δὲ ἐν τῷ πλοίῳ λεγόντων, ἰχθὺν εἶναι καὶ τάριχον ἐν τῷ πλοίῳ, καὶ τούτων εἶναι τὴν ὀσμήν, αὐτὸς ἄλλην ἔλεγεν εἶναι τὴν δυσωδίαν· ἔτι δὲ αὐτοῦ λέγοντος,

1. Πρβλ. Ματθ. 14, 28-29.

νεώτερός τις ἔχων δαίμονα ὃς προσεισελθὼν ἐκρύπτετο ἐν τῷ πλοίῳ, εὐθὺς ἀνέκραξεν. Ἐπιτιμηθεὶς δὲ ὁ δαίμων ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξῆλθε· καὶ ὁ μὲν ἄνθρωπος γέγονεν ὑγιής· πάντες δὲ ἔγνωσαν, ὅτι τοῦ δαίμονος ἦν ἡ δυσωδία.

64. Καὶ ἄλλος δέ τις τῶν ἐπιφανῶν ἦλθεν ἔχων δαίμονα πρὸς αὐτόν. Ἦν δὲ ὁ δαίμων ἐκεῖνος οὕτω δεινός, ὡς τὸν ἐνεργούμενον μὴ γινώσκειν, εἰ πρὸς Ἀντώνιον ἥει· ἀλλὰ καὶ τοῦ σώματος αὐτοῦ τὰ περιττὰ κατήσθιεν. Οἱ μὲν οὖν ἀγαγόντες αὐτόν, παρεκάλουν τὸν Ἀντώνιον εὔξασθαι ὑπὲρ αὐτοῦ· ὁ δὲ Ἀντώνιος συμπαθῶν τῷ νεανίσκῳ, ηὔχετο· καὶ τὴν νύκτα πᾶσαν συνηγρύπνησεν αὐτῷ. Καὶ ὁ μὲν νεανίσκος, ἐξαίφνης ἐπελθὼν τῷ Ἀντωνίῳ περὶ τὴν ἕω, ὤθησεν αὐτόν· τῶν δὲ σὺν ἐκείνῳ ἐλθόντων ἀγανακτούντων, ἔφη ὁ Ἀντώνιος· Μὴ χαλεπαίνετε τῷ νεανίσκῳ· οὐ γὰρ αὐτός ἐστιν, ἀλλ' ὁ ἐν αὐτῷ δαίμων· ἐπιτιμηθείς δέ, καὶ κελευσθεὶς ἐλαθῆναι εἰς ἀνύδρους τόπους, ἐμάνη, καὶ τοῦτο πεποίηκε. Δοξάζετε οὖν τὸν Κύριον· τὸ γὰρ οὕτως αὐτὸν ὁρμῆσαι κατ' ἐμοῦ σημεῖον ὑμῖν γέγονε τῆς τοῦ δαίμονος ἐξόδου. Ταῦτα τοῦ Ἀντωνίου εἰπόντος, εὐθὺς ὁ νεανίσκος γέγονεν ὑγιής· καὶ λοιπὸν σωφρονήσας, ἔγνω, ὅπου τε ἦν, καὶ κατησπάζετο τὸν γέροντα εὐχαριστῶν τῷ Θεῷ.

65. Πολλά τε ἄλλα τοιαῦτα συμφώνως καὶ ὁμαλῶς εἰρήκασι περὶ αὐτοῦ πλεῖστοι τῶν μοναχῶν δι' αὐτοῦ γεγενῆσθαι. Οὐκ ἔτι δὲ ταῦτα θαυμαστὰ τοσοῦτον, ὅσον τὰ ἄλλα θαυμασιώτερα μᾶλλον φαίνεται. Μέλλων γὰρ ἐσθίειν ποτέ, καὶ ἀναστὰς εὔξασθαι περὶ τὴν ἐνάτην ὥραν, ᾔσθετο ἑαυτὸν ἁρπαγέντα τῇ διανοίᾳ· καί, τὸ παράδοξον, ἑστὼς ἔβλεπεν ἑαυτὸν ὥσπερ ἔξωθεν ἑαυτοῦ γινόμενον, καὶ ὡς εἰς τὸν ἀέρα ὁδηγούμενον ὑπό τινων· εἶτα πικροὺς καὶ δεινούς τινας ἑστῶτας ἐν τῷ ἀέρι καὶ θέλοντας αὐτὸν κωλῦσαι ὥστε μὴ διαβῆναι. Τῶν δὲ ὁδηγούντων ἀντιμαχομένων, ἀπήτουν ἐκεῖνοι λόγον, εἰ μὴ ὑπεύθυνος αὐτοῖς εἴη. Θελόντων τοίνυν συνᾶραι λόγον ἀπὸ τῆς γεννήσεως αὐτοῦ, ἐκώλυον οἱ τὸν Ἀντώνιον ὁδηγοῦντες, λέγοντες ἐκείνοις· Τὰ μὲν ἀπὸ τῆς γεννήσεως αὐτοῦ ὁ Κύριος ἀπήλειψεν· ἐξ οὗ δὲ γέγονε μοναχός, καὶ ἐπηγγείλατο τῷ Θεῷ, ἐξέστω λόγον ποιῆσαι. Τότε κατηγορούντων, καὶ μὴ ἐλεγχόντων, ἐλευθέρα γέγονεν αὐτῷ καὶ ἀκώλυτος ἡ ὁδός· καὶ εὐθὺς εἶδεν ἑαυτὸν ὥσπερ ἐρχόμενον καὶ πρὸς ἑαυτὸν ἑστῶτα, καὶ πάλιν ἦν ὅλως Ἀντώνιος. Τότε τοῦ μὲν φαγεῖν αὐτὸς ἐπιλαθόμενος, ἔμεινε τὸ λοιπὸν τῆς ἡμέρας καὶ δι' ὅλης τῆς νυκτὸς στενάζων καὶ εὐχόμενος. Ἐθαύμαζε γὰρ βλέπων πρὸς πόσους ἡμῖν ἐστιν ἡ πάλη, καὶ διὰ πόσων πόνων ἔχει τις διαβῆναι τὸν ἀέρα· καὶ ἐμνημόνευεν, ὅτι τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ Ἀπόστολος· «Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος.[1]» Ἐν τούτῳ γὰρ ὁ ἐχθρὸς ἔχει τὴν ἐξουσίαν, ἐν τῷ μάχεσθαι

1. Ἐφεσ. 2, 2.

καὶ πειράζειν διακωλύειν τοὺς διερχομένους. Δι' ὃ καὶ μάλιστα παρήνει· «Ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ·[1]» ἵνα· «μηδὲν ἔχων λέγειν περὶ ἡμῶν φαῦλον[2]» ὁ ἐχθρὸς καταισχυνθῇ. Ἡμεῖς δέ, τοῦτο μαθόντες, μνημονεύωμεν τοῦ Ἀποστόλου λέγοντος· «Εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν.[3]» Ἀλλ' ὁ μὲν Παῦλος ἕως τρίτου οὐρανοῦ ἡρπάγη, καὶ ἀκούσας ἄρρητα ῥήματα κατῆλθεν· ὁ δὲ Ἀντώνιος ἕως τοῦ ἀέρος ἑαυτὸν εἶδε φθάσαντα, καὶ ἀγωνισάμενον ἕως ἐλεύθερος φανῇ.

66. Εἶχε δὲ καὶ τοῦτο πάλιν χάρισμα. Ἐν γὰρ τῷ ὄρει κατὰ μόνας καθήμενος, εἴ ποτέ τι πρὸς ἑαυτὸν ζητῶν ἠπόρει, τοῦτο αὐτῷ παρὰ τῆς Προνοίας εὐχομένῳ ἀπεκαλύπτετο. Καὶ ἦν, κατὰ τὸ γεγραμμένον, θεοδίδακτος[4] γενόμενος ὁ μακάριος. Μετὰ ταῦτα γοῦν διαλέξεως αὐτῷ ποτε γενομένης πρός τινας εἰσελθόντας πρὸς αὐτόν, περὶ τῆς διαγωγῆς τῆς ψυχῆς, καὶ ποῖος μετὰ ταῦτα αὐτῇ τόπος ἔσται, τῇ ἑξῆς νυκτὶ καλεῖ τις αὐτὸν ἄνωθεν, λέγων· Ἀντώνιε, ἀναστὰς ἔξελθε, καὶ βλέπε. Ἐξελθὼν τοίνυν, (ᾔδει γὰρ τίσιν ὑπακούειν ὀφείλει·) καὶ ἐθεώρησέ τινα μακρὸν ἀναβλέψας, ἀειδῆ καὶ φοβερόν, ἑστῶτα καὶ φθάνοντα μέχρι τῶν νεφελῶν, καὶ ἀναβαίνοντάς τινας ὥσπερ ἐπτερωμένους· κἀκεῖνον ἐκτείνοντα τὰς χεῖρας· καὶ τοὺς μὲν κωλυομένους παρ' αὐτοῦ, τοὺς δὲ ὑπεριπταμένους, καὶ διελθόντας λοιπόν, ἀμερίμνως ἀνάγεσθαι. Ἐπὶ μὲν οὖν τοῖς τοιούτοις ἔτριζε τοὺς ὀδόντας ὁ μακρὸς ἐκεῖνος· ἐπὶ δὲ τοῖς ἀποπίπτουσιν, ἔχαιρε. Καὶ εὐθὺς πρὸς Ἀντώνιον ἐγένετο φωνή· Νόει τὸ βλεπόμενον· καὶ διανοιχθείσης αὐτοῦ τῆς διανοίας, ἐνενόει τῶν ψυχῶν εἶναι τὴν πάροδον, καὶ τὸν ἑστῶτα μακρὸν εἶναι τὸν ἐχθρὸν τὸν φθονοῦντα τοῖς πιστοῖς· καὶ τοὺς μὲν ὑπευθύνους αὐτῷ κρατοῦντα καὶ κωλύοντα διελθεῖν, τοὺς δὲ μὴ πεισθέντας αὐτῷ μὴ δυνάμενον κρατεῖν ὡς ὑπερβαίνοντας. Τοῦτο πάλιν ἑωρακώς, καὶ ὥσπερ ὑπομιμνησκόμενος, μᾶλλον ἠγωνίζετο προκόπτειν τοῖς ἔμπροσθεν καθ' ἡμέραν. Ταῦτα δὲ οὐχ ἑκὼν ἀπήγγελλεν αὐτός· ἐν δὲ τῷ χρονίζειν ἐν ταῖς εὐχαῖς καὶ καθ' ἑαυτὸν θαυμάζειν, πυνθανομένων τῶν συνόντων καὶ θλιβόντων αὐτόν, ἠναγκάζετο λέγειν, ὡς πατὴρ οὐ δυνάμενος κρύπτειν τοῖς τέκνοις· ἀλλὰ καὶ ἡγούμενος, ὅτι τὸ μὲν αὐτοῦ συνειδός ἐστι καθαρόν, ἐκείνοις δὲ τὸ διήγημα γίνεται πρὸς ὠφέλειαν, μανθάνουσι τῆς ἀσκήσεως εἶναι καρπὸν ἀγαθόν, τῶν τε πόνων πολλάκις παραμύθιον γίνεσθαι τὰς ὀπτασίας.

67. Πρὸς δὲ καὶ τὸ ἦθος ἀνεξίκακος ἦν, καὶ τὴν ψυχὴν ταπεινόφρων· τοιοῦτος γὰρ ὤν, τόν τε κανόνα τῆς Ἐκκλησίας ὑπερφυῶς ἐτίμα, καὶ πάντα κληρικὸν τῇ τιμῇ προηγεῖσθαι ἤθελεν ἑαυτοῦ. Τοῖς μὲν γὰρ ἐπισκόποις καὶ πρεσβυτέροις οὐκ ᾐδεῖτο κλῖναι τὴν κεφαλήν·

---

1. Ἐφεσ. 6, 13. 2. Τίτ. 2, 8. 3. Β' Κορ. 12, 2. 4. Πρβλ. Ἰω. 6, 45.

διάκονος δὲ εἴ ποτε πρὸς αὐτὸν ὠφελείας χάριν ἀπήντα, τὰ μὲν πρὸς ὠφέλειαν διελέγετο· τὰ δὲ τῆς εὐχῆς αὐτῷ παρεχώρει, οὐκ αἰδούμενος μανθάνειν καὶ αὐτός. Καὶ γὰρ πολλάκις ἐπυνθάνετο, καὶ ἠξίου παρὰ τῶν συνόντων ἀκούειν· καὶ ὡμολόγει ὠφελεῖσθαι, εἴ τι χρήσιμόν τις ἔλεγε. Καὶ μὴν καὶ τὸ πρόσωπον αὐτοῦ χάριν εἶχε πολλὴν καὶ παράδοξον. Εἶχε δὲ καὶ τοῦτο τὸ χάρισμα παρὰ τοῦ Σωτῆρος· εἰ γὰρ μετὰ τοῦ πλήθους τῶν μοναχῶν παρῆν, καὶ τοῦτον ἰδεῖν τις ἐβούλετο μὴ πρότερον γινώσκων, προσελθὼν εὐθύς, τοὺς μὲν ἄλλους ὑπερέβαινε, πρὸς αὐτὸν δὲ ἔτρεχεν, ὡς ὑπὸ τῶν ὄψεων αὐτοῦ ἑλκόμενος. Οὐχ ὕψει δέ, οὐδὲ τῷ πλάτει διέφερε τῶν ἄλλων, ἀλλὰ τῇ τῶν ἠθῶν καταστάσει, καὶ τῇ τῆς ψυχῆς καθαρότητι. Ἀθορύβου γὰρ οὔσης τῆς ψυχῆς, ἀταράχους εἶχε καὶ τὰς ἔξωθεν αἰσθήσεις· ὡς ἀπὸ τῆς χαρᾶς τῆς ψυχῆς ἱλαρὸν ἔχειν καὶ τὸ πρόσωπον, καὶ ἀπὸ τῶν τοῦ σώματος κινημάτων αἰσθέσθαι καὶ νοεῖν τὴν τῆς ψυχῆς κατάστασιν, κατὰ τὸ γεγραμμένον· «Καρδίας εὐφραινομένης, θάλλει πρόσωπον· ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει.[1]» Οὕτως Ἰακὼβ ἐπέγνω τὸν Λάβαν ἐπιβουλὴν ἐνθυμούμενον, καί φησι πρὸς τὰς γυναῖκας· «Οὐκ ἔστι τὸ πρόσωπον τοῦ πατρὸς ἡμῶν ὡς χθὲς καὶ τρίτην ἡμέραν·[2]» οὕτως ὁ Σαμουὴλ ἐπέγνω τὸν Δαβίδ· χαροποιοὺς γὰρ εἶχε τοὺς ὀφθαλμούς, καὶ τοὺς ὀδόντας ὡς γάλα λευκούς. Οὕτως καὶ ὁ Ἀντώνιος ἐπεγινώσκετο· οὐδέποτε γὰρ ἐταράττετο, γαληνιώσης αὐτοῦ τῆς ψυχῆς· οὐδέποτε σκυθρωπὸς ἐγίνετο, χαιρούσης αὐτοῦ τῆς διανοίας.

68. Καὶ τὰ πίστει δὲ πάνυ θαυμαστὸς ἦν καὶ εὐσεβής. Οὔτε γὰρ Μελετιανοῖς τοῖς σχισματικοῖς ποτε κεκοινώνηκεν, εἰδὼς αὐτῶν τὴν ἐξ ἀρχῆς πονηρίαν καὶ ἀποστασίαν· οὔτε Μανιχαίοις, ἢ ἄλλοις τισὶν αἱρετικοῖς ὡμίλησε φιλικά, ἢ μόνον ἄχρι νουθεσίας τῆς εἰς εὐσέβειαν μεταβολῆς, ἡγούμενος καὶ παραγγέλλων τὴν τούτων φιλίαν καὶ ὁμιλίαν βλάβην καὶ ἀπώλειαν εἶναι ψυχῆς. Οὕτω γοῦν καὶ τὴν τῶν Ἀρειανῶν αἵρεσιν ἐβδελύσσετο, παρήγγελλέ τε πᾶσι μήτε ἐγγίζειν αὐτοῖς, μήτε τὴν κακοπιστίαν αὐτῶν ἔχειν. Ἀπελθόντας γοῦν ποτέ τινας πρὸς αὐτὸν τῶν Ἀρειομανιτῶν, ἀνακρίνας καὶ μαθὼν ἀσεβοῦντας, ἐδίωξεν ἀπὸ τοῦ ὄρους, λέγων ὄφεων ἰοῦ χείρονας εἶναι τοὺς λόγους αὐτῶν.

69. Καὶ ψευσαμένων δέ ποτε τῶν Ἀρειανῶν, ὡς ἐκείνοις τὰ αὐτὰ φρονοῦντος, ἠγανάκτει καὶ ἐθυμοῦτο κατ' ἐκείνων. Εἶτα παρακληθεὶς παρά τε τῶν ἐπισκόπων καὶ τῶν ἀδελφῶν πάντων, κατῆλθεν ἀπὸ τοῦ ὄρους· καὶ εἰσελθὼν εἰς τὴν Ἀλεξάνδρειαν, τοὺς Ἀρειανοὺς ἀπεκήρυξεν, αἵρεσιν ἐσχάτην λέγων εἶναι ταύτην, καὶ πρόδρομον τοῦ Ἀντιχρίστου. Ἐδίδασκέ τε τὸν λαὸν μὴ εἶναι κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ, μηδὲ ἐξ οὐκ ὄντων γεγενῆσθαι· ἀλλ' ὅτι ἀΐδιός ἐστι τῆς τοῦ Πατρὸς οὐσίας Λόγος καὶ Σοφία. Δι' ὃ καὶ ἀσεβές ἐστι λέγειν·

---

1. Παρμ. 15, 13. 2. Γεν. 31, 5.

Ἦν ὅτε οὐκ ἦν· ἦν γὰρ ἀεὶ ὁ Λόγος συνυπάρχων τῷ Πατρί· ὅθεν μηδὲ μίαν ἔχετε κοινωνίαν πρὸς τοὺς ἀσεβεστάτους Ἀρειανούς· «Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.[1]» Ὑμεῖς μὲν γὰρ εὐσεβοῦντες Χριστιανοί ἐστε· ἐκεῖνοι δέ, κτίσμα λέγοντες τὸν ἐκ τοῦ Πατρὸς Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον, οὐδὲν διαφέρουσιν ἐθνικῶν, λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα Θεόν.[2] Πιστεύσατε δέ, ὅτι καὶ αὐτὴ ἡ κτίσις πᾶσα ἀγανακτεῖ κατ' αὐτῶν· ὅτι τὸν κτίστην καὶ Κύριον τοῦ παντός, ἐν ᾧ τὰ πάντα γέγονε, τοῦτον τοῖς γενητοῖς συναριθμοῦσιν.

70. Οἱ μὲν οὖν λαοὶ πάντες ἔχαιρον ἀκούοντες παρὰ τοῦ τοιούτου ἀνδρὸς ἀναθεματιζομένην τὴν χριστομάχον αἵρεσιν· οἱ δὲ τῆς πόλεως πάντες συνέτρεχον ἰδεῖν τὸν Ἀντώνιον. Ἕλληνές τε καὶ αὐτοὶ οἱ λεγόμενοι αὐτῶν ἱερεῖς, εἰς τὸ Κυριακὸν ἤρχοντο λέγοντες· Ἀξιοῦμεν ἰδεῖν τὸν τοῦ Θεοῦ ἄνθρωπον· πάντες γὰρ αὐτὸν οὕτως ἐκάλουν. Καὶ γὰρ κἀκεῖ πολλοὺς δι' αὐτοῦ ἐκαθάρισεν ὁ Κύριος ἀπὸ δαιμόνων, καὶ βλαβέντας τὴν διάνοιαν ἰάσατο. Πολλοὶ δὲ καὶ Ἕλληνες ἠξίουν κἂν μόνον ἅπτεσθαι τοῦ γέροντος, πιστεύοντες ὠφελεῖσθαι. Ἀμέλει τοσοῦτοι γεγόνασι Χριστιανοὶ ἐν ταῖς ὀλίγαις ἡμέραις ἐκείναις, ὅσους ἄν τις εἶδεν ἐνιαυτῷ γενομένους. Εἶτα, τινῶν νομιζόντων ἐκ τῶν ὄχλων αὐτὸν ταράττεσθαι, καὶ διὰ τοῦτο ἀποτρεπόντων ἀπ' αὐτοῦ πάντας, αὐτὸς οὐ ταραττόμενος ἔλεγε, μὴ πλείους εἶναι τούτους ἐκείνων μεθ' ὧν ἐν τῷ ὄρει παλαίομεν δαιμόνων.

71. Ὅτε δὲ ἀπεδήμει, καὶ προεπέμπομεν αὐτόν, ὡς ἐφθάσαμεν εἰς τὴν πύλην, ὄπισθέν τις ἐβόα γυνή· Μεῖνον, ἄνθρωπε τοῦ Θεοῦ, ἡ θυγάτηρ μου δεινῶς ὑπὸ δαίμονος ἐνοχλεῖται· μεῖνον, παρακαλῶ, μὴ κἀγὼ κινδυνεύω τρέχουσα. Ἀκούσας ὁ γέρων, καὶ ἀξιωθεὶς παρ' ἡμῶν, θέλων ἔμεινεν. Ὡς δὲ ἤγγισεν ἡ γυνή, ἡ μὲν παῖς ἔρριπτο χαμαί· τοῦ δὲ Ἀντωνίου προσευξαμένου, καὶ τὸν Χριστὸν ὀνομάσαντος, ἠγέρθη ἡ παῖς ὑγιής, ἐξελθόντος τοῦ ἀκαθάρτου δαίμονος. Ἥ τε μήτηρ εὐλόγει τὸν Θεόν, καὶ πάντες ηὐχαρίστουν. Καὶ αὐτὸς δὲ ἔχαιρεν ἀποδημῶν, ὡς εἰς τὸν ἴδιον οἶκον, εἰς τὸ ὄρος.

72. Καὶ φρόνιμος δὲ ἦν λίαν· καὶ τὸ θαυμαστόν, ὅτι, γράμματα μὴ μαθών, ἀγχίνους ἦν καὶ συνετὸς ἄνθρωπος. Ποτὲ γοῦν φιλόσοφοι δύο ἦλθον πρὸς αὐτὸν Ἕλληνες, νομίζοντες δύνασθαι τὸν Ἀντώνιον πειρᾶσαι· ἦν δὲ ἐν τῷ ὄρει τῷ ἔξω· ὁ δὲ ἐκ τοῦ προσώπου συνεὶς τοὺς ἀνθρώπους, ἐξελθὼν πρὸς αὐτούς, ἔφη δι' ἑρμηνέως· Τί τοσοῦτον ἐσκύλητε, ὦ φιλόσοφοι, πρὸς μωρὸν ἄνθρωπον; Τῶν δὲ εἰπόντων, μὴ εἶναι μωρὸν αὐτόν, ἀλλὰ καὶ μάλα φρόνιμον, ἔφη πρὸς αὐτούς· Εἰ μὲν πρὸς μωρὸν ἤλθετε, περιττὸς ὑμῶν ὁ κάματος· εἰ δὲ νομίζετέ με φρόνιμον εἶναι, γίνεσθε ὡς ἐγώ· δεῖ γὰρ τὰ καλὰ μιμεῖσθαι. Καὶ εἰ μὲν ἐγὼ πρὸς ὑμᾶς ἠρχόμην, ἐμιμησάμην ἂν ὑμᾶς· εἰ δὲ ὑμεῖς πρὸς

---

1. Β' Κορ. 6, 14. 2. Πρβλ. Ῥωμ. 1, 25.

ἐμέ, γίνεσθε ὡς ἐγώ· Χριστιανὸς γάρ εἰμι. Οἱ δὲ θαυμάζοντες ἀνεχώρουν· ἔβλεπον γὰρ καὶ δαίμονας φοβουμένους τὸν Ἀντώνιον.

73. Ἄλλων δὲ πάλιν τοιούτων ἀπαντησάντων πρὸς αὐτὸν ἐν τῷ ὄρει τῷ ἔξω, καὶ νομιζόντων χλευάζειν, ὅτι μὴ μεμάθηκε γράμματα, λέγει πρὸς αὐτοὺς ὁ Ἀντώνιος· Ὑμεῖς δὲ τί λέγετε; Τί πρῶτόν ἐστι, νοῦς ἢ γράμματα; καὶ τί τίνος αἴτιον, ὁ νοῦς τῶν γραμμάτων, ἢ τὰ γράμματα τοῦ νοῦ; Τῶν δὲ εἰπόντων πρῶτον εἶναι τὸν νοῦν, καὶ τῶν γραμμάτων εὑρέτην· ἔφη ὁ Ἀντώνιος· Ὧ τοίνυν ὁ νοῦς ὑγιαίνει, τούτῳ οὐκ ἀναγκαῖα τὰ γράμματα. Τοῦτο καὶ τοὺς παρόντας καὶ αὐτοὺς ἐξέπληξεν. Ἀπῆλθον οὖν θαυμάζοντες, ὅτι τοσαύτην ἔβλεπον ἐν ἰδιώτῃ σύνεσιν· καὶ γὰρ οὐχ ὡς ἐν ὄρει τραφείς, κἀκεῖ γέρων γενόμενος, ἄγριον εἶχε τὸ ἦθος· ἀλλὰ καὶ χαρίεις ἦν καὶ πολιτικός. Τὸν δὲ λόγον εἶχεν ἠρτυμένον τῷ θείῳ ἅλατι· ὥστε μηδένα φθονεῖν, χαίρειν δὲ μᾶλλον ἐπ' αὐτῷ πάντας τοὺς ἐρχομένους πρὸς αὐτόν.

74. Ἀμέλει μετὰ ταῦτα πάλιν ἐλθόντων ἑτέρων τινῶν· ἦσαν δὲ οὗτοι τῶν παρ' Ἕλλησι δοκούντων εἶναι σοφῶν· καὶ ἀπαιτούντων αὐτὸν λόγον περὶ τῆς καθ' ἡμᾶς ἐν Χριστῷ πίστεως, ἐπιχειρούντων δὲ συλλογίζεσθαι περὶ τοῦ κηρύγματος τοῦ θείου σταυροῦ, καὶ βουλομένων χλευάζειν, ὀλίγον ἐπισχὼν ὁ Ἀντώνιος, καὶ πρῶτον οἰκτείρας αὐτοὺς ἐπὶ τῇ ἀγνωσίᾳ, ἔλεγε δι' ἑρμηνέως, τοῦ καλῶς τὰ ἐκείνου διερμηνεύοντος· Τί κάλλιόν ἐστι, σταυρὸν ὁμολογεῖν ἢ μοιχείας καὶ παιδοφθορίας προσάπτειν τοῖς παρ' ὑμῖν λεγομένοις θεοῖς; Τὸ μὲν γὰρ παρ' ἡμῶν λεγόμενον ἀνδρίας ἐστὶ τεκμήριον, καὶ καταφρονήσεως θανάτου γνώρισμα· τὰ δὲ ὑμέτερα ἀσελγείας ἐστὶ πάθη. Ἔπειτα τί βέλτιόν ἐστι, λέγειν, ὅτι ὁ τοῦ Θεοῦ Λόγος οὐκ ἐτράπη· ἀλλ' ὁ αὐτὸς ὤν, ἐπὶ σωτηρίᾳ καὶ εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀνείληφε σῶμα ἀνθρώπινον, ἵνα, τῇ ἀνθρωπίνῃ γενέσει κοινωνήσας, ποιήσῃ τοὺς ἀνθρώπους κοινωνῆσαι θείας καὶ νοερᾶς φύσεως· ἢ ἐν ἀλόγοις ἐξομοιοῦν τὸ Θεῖον, καὶ διὰ τοῦτο σέβειν τετράποδα, καὶ ἑρπετά, καὶ ἀνθρώπων εἰκόνας; Ταῦτα γὰρ ὑμῶν ἐστι τῶν σοφῶν τὰ σεβάσματα. Πῶς δὲ χλευάζειν τολμᾶτε ἡμᾶς, λέγοντας τὸν Χριστὸν ἄνθρωπον πεφανερῶσθαι· ὅπου γε ὑμεῖς, ἐκ τοῦ οὐρανοῦ τὴν ψυχὴν χωρίζοντες, φάσκετε πεπλανῆσθαι αὐτὴν καὶ πεπτωκέναι ἀπὸ τῆς ἁψῖδος τῶν οὐρανῶν εἰς σῶμα· καὶ εἴθε εἰς ἀνθρώπινον μόνον, καὶ μὴ εἰς τετράποδα καὶ ἑρπετὰ μεταβαίνειν καὶ μεταπίπτειν. Ἡ μὲν γὰρ ἡμετέρα πίστις ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τὴν τοῦ Χριστοῦ παρουσίαν λέγει· ὑμεῖς δὲ πλανᾶσθε, ὅτι περὶ ἀγεννήτου ψυχῆς ἐξηγεῖσθε. Καὶ ἡμεῖς μὲν τὸ δυνατὸν καὶ φιλάνθρωπον τῆς Προνοίας φρονοῦμεν, ὅτι καὶ τοῦτο οὐκ ἀδύνατον ἦν τῷ Θεῷ· ὑμεῖς δέ, εἰκόνα τοῦ νοῦ τὴν ψυχὴν λέγοντες, πτώματα προσάπτετε αὐτῇ, καὶ τρεπτὴν αὐτὴν μυθολογεῖτε· καὶ λοιπὸν καὶ αὐτὸν τὸν νοῦν διὰ τὴν ψυχὴν τρεπτὸν εἰσάγετε. Ὁποία γὰρ ἦν ἡ εἰκών, τοιοῦτον ἀνάγκη κἀκεῖνον εἶναι, οὗ ἐστιν ἡ εἰκών. Ὅτ' ἂν δὲ περὶ τοῦ νοῦ τοιαῦτα νομίζετε,

ἐνθυμεῖσθε, ὅτι καὶ εἰς αὐτὸν τὸν Πατέρα τοῦ νοῦ βλασφημεῖτε.

75. Περὶ δὲ τοῦ σταυροῦ τί βέλτιον ἂν εἴποιτε, ἐπιβουλῆς ἐπαγομένης παρὰ πονηρῶν ὑπομένειν σταυρόν, καὶ μὴ πτήσσειν τὸν ὅπως δήποτε θάνατον ἐπαγόμενον· ἢ πλάνας Ὀσίριδος καὶ Ἴσιδος, καὶ ἐπιβουλὰς Τυφῶνος, καὶ Κρόνου φυγήν, καὶ τέκνων καταπόσεις, καὶ πατροκτονίας μυθολογεῖν; Ταῦτα γὰρ ὑμῶν ἐστι τὰ σοφά. Πῶς δέ, χλευάζοντες τὸν σταυρόν, οὐ θαυμάζετε τὴν ἀνάστασιν; Οἱ γὰρ τοῦτο εἰπόντες κἀκεῖνο ἔγραψαν. Ἢ διὰ τί, μνημονεύοντες τοῦ σταυροῦ, σιωπᾶτε περὶ τῶν ἐγερθέντων νεκρῶν καὶ τῶν ἀναβλεψάντων τυφλῶν, καὶ τῶν θεραπευθέντων παραλυτικῶν τῶν τε καθαρισθέντων λεπρῶν καὶ τῆς ἐπὶ τὴν θάλασσαν πεζοπορίας, τῶν τε ἄλλων σημείων καὶ τεραστίων, ἅπερ οὐκέτι ἄνθρωπον, ἀλλὰ Θεὸν δείκνυσι τὸν Χριστόν; Πάνυ μοι δοκεῖτε ἀδικεῖν ἑαυτούς, καὶ μὴ γνησίως ἐντετυχηκέναι ταῖς Γραφαῖς ἡμῶν. Ἀλλ' ἐντυγχάνετε μὲν ὑμεῖς, καὶ βλέπετε, ὅτι ἃ πεποίηκεν ὁ Χριστός, Θεὸν αὐτὸν ἀποδεικνύουσιν, ἐπιδημήσαντα ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων.

76. Εἴπατε δὲ καὶ ὑμεῖς ἡμῖν τὰ ὑμέτερα. Τί δ' ἂν εἴποιτε περὶ τῶν ἀλόγων, ἢ ἀλογίαν καὶ ἀγριότητα; Ἐὰν δέ, ὡς ἀκούω θελήσητε λέγειν μυθικῶς λέγεσθαι ταῦτα παρ' ὑμῖν· καὶ ἀλληγορεῖτε ἁρπαγὴν Κόρης εἰς τὴν γῆν, καὶ Ἡφαίστου χωλότητα εἰς τὸ πῦρ, καὶ Ἥραν εἰς τὸν ἀέρα, καὶ Ἀπόλλωνα εἰς τὸν ἥλιον, καὶ Ἄρτεμιν μὲν εἰς τὴν σελήνην, τὸν δὲ Ποσειδῶνα εἰς τὴν θάλασσαν, οὐδὲν ἧττον αὐτὸν οὐ Θεὸν σέβεσθε, ἀλλὰ τῇ κτίσει λατρεύετε παρὰ τὸν τὰ πάντα κτίσαντα Θεόν. Εἰ γάρ, ὅτι καλὴ ἡ κτίσις, τοιαῦτα συνεθήκατε· ἀλλ' ἔδει μέχρι τοῦ θαυμάσαι μόνον ὑμᾶς γενέσθαι, καὶ μὴ θεοποιῆσαι τὰ ποιήματα· ἵνα μὴ τὴν τοῦ Δημιουργοῦ τιμὴν τοῖς γενητοῖς παρέχητε. Ἐπεὶ ὥρα ὑμᾶς καὶ τοῦ ἀρχιτέκτονος τὴν τιμὴν εἰς τὴν ὑπ' αὐτοῦ γενομένην οἰκίαν μεταφέρειν, ἢ τὴν τοῦ στρατηγοῦ εἰς τὸν στρατιώτην. Τί τοίνυν πρὸς ταῦτα λέγετε, ἵνα γνῶμεν, εἰ ἄξιόν τι χλεύης ὁ σταυρὸς ἔχει.

77. Ἐκείνων δὲ διαπορούντων καὶ στρεφομένων ὧδε κἀκεῖσε, μειδιάσας ὁ Ἀντώνιος ἔφη πάλιν δι' ἑρμηνέως· Ταῦτα μὲν καὶ ἀπ' αὐτῆς τῆς ὄψεως ἔχει τὸν ἔλεγχον· ἐπειδὴ δὲ μᾶλλον ὑμεῖς τοῖς ἀποδεικτικοῖς λόγοις ἐπερείδεσθε, καὶ ταύτην ἔχοντες τὴν τέχνην, βούλεσθε καὶ ἡμᾶς μὴ ἄνευ τῆς διὰ τῶν λόγων ἀποδείξεως θεοσεβεῖν, εἴπατε πρῶτον ὑμεῖς, τὰ πράγματα, καὶ μάλιστα ἡ περὶ τοῦ Θεοῦ γνῶσις, πῶς ἀκριβῶς διαγινώσκεται, δι' ἀποδείξεως λόγων, ἢ δι' ἐνεργείας πίστεως; καὶ τί πρεσβύτερόν ἐστιν, ἡ δι' ἐνεργείας πίστις, ἢ ἡ διὰ λόγων ἀπόδειξις; Τῶν δὲ ἀποκριναμένων, πρεσβυτέραν εἶναι τὴν δι' ἐνεργείας πίστιν, καὶ ταύτην εἶναι τὴν ἀκριβῆ γνῶσιν· ἔφη ὁ Ἀντώνιος· Καλῶς εἴπατε· ἡ μὲν γὰρ πίστις ἀπὸ διαθέσεως ψυχῆς γίνεται· ἡ δὲ διαλεκτικὴ ἀπὸ τέχνης συντιθέντων ἐστίν. Οὐκοῦν οἷς πάρεστιν ἡ διὰ πίστεως ἐνέργεια, τούτοις οὐκ ἀναγκαία, ἢ τάχα

καὶ περιττὴ ἡ διὰ λόγων ἀπόδειξις. Καὶ γὰρ ὅπερ ἡμεῖς ἐκ πίστεως νοοῦμεν, τοῦτο ὑμεῖς διὰ λόγων κατασκευάζειν πειρᾶσθε· καὶ πολλάκις οὐδὲ φράσαι ἃ νοοῦμεν δύνασθε· ὥστε βελτίων καὶ ὀχυρωτέρα ἡ διὰ πίστεως ἐνέργεια τῶν σοφιστικῶν ὑμῶν συλλογισμῶν.

78. Ἡμεῖς τοίνυν οἱ Χριστιανοὶ οὐκ ἐν σοφίᾳ λόγων [1] Ἑλληνικῶν ἔχομεν τὸ μυστήριον· ἀλλ' ἐν δυνάμει πίστεως ἐπιχορηγουμένης ἡμῖν διὰ Ἰησοῦ Χριστοῦ παρὰ Θεοῦ. Καὶ ὅτι ἀληθής ἐστιν ὁ λόγος, ἰδοὺ νῦν, μὴ μαθόντες ἡμεῖς γράμματα, πιστεύομεν εἰς τὸν Θεόν, ἐπιγινώσκοντες διὰ τῶν ποιημάτων αὐτοῦ τὴν εἰς πάντα πρόνοιαν. Καὶ ὅτι ἐνεργής ἐστιν ἡ πίστις ἡμῶν, ἰδοὺ νῦν ἡμεῖς ἐπερειδόμεθα τῇ πίστει τῇ εἰς τὸν Χριστόν, ὑμεῖς δὲ σοφιστικαῖς λογομαχίαις. Καὶ τὰ μὲν παρ' ὑμῖν τῶν εἰδώλων φάσματα καταργεῖται, ἡ δὲ παρ' ἡμῖν πίστις ἐπεκτείνεται πανταχοῦ. Καὶ ὑμεῖς μὲν συλλογιζόμενοι καὶ σοφιζόμενοι, οὐ μεταπείθετε ἀπὸ Χριστιανισμοῦ εἰς Ἑλληνισμόν· ἡμεῖς δὲ τὴν εἰς Χριστὸν πίστιν διδάσκοντες, ψιλοῦμεν ὑμῖν τὴν δεισιδαιμονίαν, ἐπιγινωσκόντων πάντων τὸν Χριστὸν εἶναι Θεόν, καὶ τοῦ Θεοῦ Υἱόν. Καὶ ὑμεῖς μὲν τῇ καλλιεπείᾳ οὐκ ἐμποδίζετε τὴν τοῦ Χριστοῦ διδασκαλίαν· ἡμεῖς δέ, ὀνομάζοντες τὸν ἐσταυρωμένον Χριστόν, πάντας διώκομεν δαίμονας οὓς ὑμεῖς φοβεῖσθε ὡς θεούς. Καὶ ἔνθα τὸ σημεῖον τοῦ σταυροῦ γίνεται, ἀσθενεῖ μὲν μαγεία, οὐκ ἐνεργεῖ δὲ φαρμακεία.

79. Εἴπατε γοῦν, ποῦ νῦν ὑμῶν τὰ μαντεῖα; ποῦ αἱ τῶν Αἰγυπτίων ἐπαοιδαί; ποῦ τῶν μάγων αἱ φαντασίαι; πότε ταῦτα πάντα πέπαυται καὶ ἠσθένησεν, εἰ μὴ ὅτε ὁ τοῦ Χριστοῦ σταυρὸς γέγονεν; Ἆρα οὖν ἄξιος οὗτος χλεύης, ἢ μᾶλλον τὰ καταργούμενα παρ' αὐτοῦ καὶ ἐλεγχόμενα ἀσθενῆ; Καὶ γὰρ καὶ τοῦτο θαυμαστόν ἐστιν· ὅτι τὰ μὲν ὑμέτερα οὐδέποτε ἐδιώχθη, ἀλλὰ καὶ παρὰ ἀνθρώπων κατὰ πόλιν τιμᾶται· οἱ δὲ τοῦ Χριστοῦ διώκονται, καὶ μᾶλλον τὰ παρ' ἡμῖν ὑπὲρ τὰ ὑμέτερα ἀνθεῖ καὶ πληθύνει. Καὶ τὰ μὲν ὑμέτερα εὐσημούμενα καὶ περικλειόμενα διαφθείρεται· ἡ δὲ τοῦ Χριστοῦ πίστις καὶ ἡ διδασκαλία, χλευαζομένη παρ' ὑμῶν, καὶ διωχθεῖσα παρὰ βασιλέων πολλάκις, πεπλήρωκε τὴν οἰκουμένην. Πότε γὰρ οὕτω θεογνωσία ἐξέλαμψεν; ἢ πότε οὕτω σωφροσύνη καὶ ἀρετὴ παρθενίας ἐφάνη; ἢ πότε οὕτως ὁ θάνατος κατεφρονήθη, εἰ μὴ ὅτε ὁ σταυρὸς τοῦ Χριστοῦ γέγονε; Τοῦτο δὲ οὐδεὶς ἀμφιβάλλει βλέπων τοὺς μάρτυρας διὰ τὸν Χριστὸν καταφρονοῦντας τοῦ θανάτου, βλέπων τὰς τῆς Ἐκκλησίας παρθένους διὰ τὸν Χριστὸν καθαρὰ καὶ ἀμίαντα τὰ σώματα φυλαττούσας.

80. Καὶ ἔστι μὲν ἱκανὰ ταῦτα τεκμήρια δεῖξαι τὴν κατὰ Χριστὸν πίστιν μόνην ἀληθῆ εἶναι εἰς θεοσέβειαν. Ἰδοὺ ἀκμὴν ὑμεῖς ἀπιστεῖτε ζητοῦντες τοὺς ἐκ τῶν λόγων συλλογισμούς. Ἡμεῖς μὲν οὐκ ἐν πειθοῖς σοφίας [2] Ἑλληνικῆς λόγοις, ὡς εἶπεν ὁ διδάσκαλος ἡμῶν,

---

1. Πρβλ. Α' Κορ. 1, 17. 2. Πρβλ. Α' Κορ. 2, 4.

ἀποδείκνυμεν· τῇ δὲ πίστει πείθομεν ἐναργῶς προλαμβανούσῃ τὴν ἐκ τῶν λόγων κατασκευήν. Ἰδοὺ πάρεισιν ὧδε ὑπὸ δαιμόνων πάσχοντες· ἦσαν δέ τινες ἐλθόντες πρὸς αὐτὸν ὑπὸ δαιμόνων ἐνοχλούμενοι, καὶ παραγαγὼν αὐτοὺς εἰς τὸ μέσον, ἔφη. Ἢ ὑμεῖς τοῖς συλλογισμοῖς αὐτῶν, καὶ ᾗ ἂν βούλησθε τέχνῃ ἢ μαγείᾳ ἐπικαλούμενοι τὰ εἴδωλα ἑαυτῶν, καθαρίσατε αὐτούς· ἤ, εἰ μὴ δύνασθε, κατάθεσθε τὴν πρὸς ἡμᾶς μάχην, καὶ ὄψεσθε τοῦ σταυροῦ τοῦ Χριστοῦ τὴν δύναμιν. Καὶ ταῦτα εἰπών, ἐπεκαλέσατο τὸν Χριστόν, ἐσφράγισέ τε τοὺς πάσχοντας τῷ σημείῳ τοῦ σταυροῦ δεύτερον καὶ τρίτον. Καὶ εὐθὺς ἔστησαν οἱ ἄνθρωποι ὁλόκληροι, σωφρονοῦντες καὶ εὐχαριστοῦντες τῷ Κυρίῳ λοιπόν. Καὶ οἱ μὲν λεγόμενοι φιλόσοφοι ἐθαύμαζον, καὶ ἀληθῶς ἐξεπλήττοντο ἐπὶ τῇ συνέσει τοῦ ἀνδρός, καὶ τῷ γενομένῳ σημείῳ· ὁ δὲ Ἀντώνιος ἔφη, Τί θαυμάζετε ἐπὶ τούτῳ; οὐκ ἐσμὲν ἡμεῖς οἱ ποιοῦντες, ἀλλ' ὁ Χριστός ἐστιν, ὁ διὰ τῶν εἰς αὐτὸν πιστευόντων ταῦτα ποιῶν. Πιστεύσατε οὖν καὶ ὑμεῖς· καὶ ὄψεσθε, ὅτι οὐ τέχνη λόγων τὰ παρ' ἡμῖν ἐστιν, ἀλλὰ πίστις δι' ἀγάπης τῆς εἰς τὸν Χριστὸν ἐνεργουμένης· ἥντινα ἐὰν σχοίητε καὶ ὑμεῖς, οὐκέτι τὰς διὰ λόγων ἀποδείξεις ζητήσετε· ἀλλ' αὐτάρκη τὴν εἰς τὸν Χριστὸν πίστιν ἡγήσεσθε. Ταῦτα τοῦ Ἀντωνίου τὰ ῥήματα· ἐκεῖνοι δὲ καὶ ἐν τούτῳ θαυμάζοντες, ἀνεχώρουν κατασπαζόμενοι αὐτόν, καὶ ὁμολογοῦντες ὠφελεῖσθαι παρ' αὐτοῦ.

81. Ἔφθασε δὲ καὶ μέχρι βασιλέων ἡ περὶ Ἀντωνίου φήμη. Ταῦτα γὰρ μαθόντες Κωνσταντῖνος ὁ Αὔγουστος, καὶ οἱ υἱοὶ αὐτοῦ Κωνστάντιος καὶ Κώνστας οἱ Αὔγουστοι, ἔγραφον αὐτῷ ὡς πατρί, καὶ ηὔχοντο λαμβάνειν ἀντίγραφα παρ' αὐτοῦ. Ἀλλ' οὔτε τὰ γράμματα περὶ πολλοῦ τινος ἐποιεῖτο, οὔτε ἐπὶ ταῖς ἐπιστολαῖς ἐγεγήθει· ὁ αὐτὸς δὲ ἦν, οἷος καὶ πρὸ τοῦ γράφειν αὐτῷ τοὺς βασιλέας. Ὅτε δὲ ἐκομίζετο αὐτῷ τὰ γράμματα, ἐκάλει τοὺς μοναχούς, καὶ ἔλεγε· Μὴ θαυμάζετε, εἰ γράφει βασιλεὺς πρὸς ἡμᾶς, ἄνθρωπος γάρ ἐστιν· ἀλλὰ μᾶλλον θαυμάζετε, ὅτι ὁ Θεὸς τὸν νόμον ἀνθρώποις ἔγραψε, καὶ διὰ τοῦ ἰδίου Υἱοῦ λελάληκεν ἡμῖν.[1] Ἐβούλετο μὲν οὖν μὴ δέχεσθαι τὰς ἐπιστολάς, λέγων οὐκ εἰδέναι πρὸς τὰ τοιαῦτα, ἀντιγράφειν· προτραπεὶς δὲ παρὰ τῶν μοναχῶν, ὅτι Χριστιανοί εἰσιν οἱ βασιλεῖς, καὶ ἵνα μὴ ὡς προρριφέντες σκανδαλισθῶσιν, ἐπέτρεπεν ἀναγινώσκεσθαι. Καὶ ἀντέγραφεν, ἀποδεχόμενος μὲν αὐτούς, ὅτι τὸν Χριστὸν προσκυνοῦσι, συνεβούλευε δὲ τὰ εἰς σωτηρίαν· καὶ μὴ μεγάλα ἡγεῖσθαι τὰ παρόντα, ἀλλὰ μᾶλλον μνημονεύειν τῆς μελλούσης κρίσεως, καὶ εἰδέναι, ὅτι ὁ Χριστὸς μόνος ἀληθὴς καὶ αἰώνιός ἐστι βασιλεύς. Φιλανθρώπους τε αὐτοὺς εἶναι ἠξίου, καὶ φροντίζειν τοῦ δικαίου καὶ τῶν πτωχῶν. Κἀκεῖνοι δεχόμενοι ἔχαιρον. Οὕτω παρὰ πᾶσιν ἦν προσφιλής, καὶ πάντες ἔχειν αὐτὸν ἠξίου πατέρα.

1. Πρβλ. Ἑβρ. 1, 2.

82. Τοιοῦτος δὴ οὖν γινωσκόμενος, καὶ οὕτω πρὸς τοὺς ἀπαντῶντας ἀποκρινόμενος, ὑπέστρεφε πάλιν εἰς τὸ ἔνδον ὄρος. Καὶ τῆς μὲν συνήθους ἀσκήσεως εἴχετο· πολλάκις δὲ μετὰ τῶν εἰσερχομένων πρὸς αὐτὸν καθεζόμενος, καὶ περιπατῶν, ἀπηνεοῦτο, ὡς ἐν τῷ Δανιὴλ γέγραπται.[1] Καὶ αὐτὸς μὲν μεθ' ὥρας ὡμίλει τὰ ἀκόλουθα τοῖς συνοῦσιν ἀδελφοῖς αὐτῷ· οἱ δὲ συνόντες ᾐσθάνοντό τινα θεωρίαν αὐτὸν βλέπειν. Καὶ γὰρ καὶ τὰ ἐν Αἰγύπτῳ γινόμενα πολλάκις, ἐν τῷ ὄρει τυγχάνων ἔβλεπε καὶ διηγήσατο Σαραπίωνι τῷ ἐπισκόπῳ, ἔνδον ὄντι καὶ βλέποντι τὸν Ἀντώνιον ἀσχοληθέντα τῇ ὀπτασίᾳ. Ποτὲ γοῦν καθεζόμενος καὶ ἐργαζόμενος, ὥσπερ ἐν ἐκστάσει γέγονε, καὶ πολὺς ἦν ἐν τῇ θεωρίᾳ στενάζων. Εἶτα μεθ' ὥραν στραφεὶς πρὸς τοὺς συνόντας, ἐστέναζε,καὶ ἔντρομος γενόμενος, ηὔχετο, καὶ κάμπτων τὰ γόνατα, διέμενεν ἐπὶ πολύ. Καὶ ἀναστὰς ἔκλαιεν ὁ γέρων. Ἔντρομοι τοίνυν γενόμενοι οἱ συνόντες, καὶ πάνυ φοβηθέντες, ἠξίουν μαθεῖν παρ' αὐτοῦ· καὶ πολὺ διώχλησαν ἕως βιασθεὶς εἴπῃ. Ὁ δὲ καὶ οὕτω μέγας στενάξας· Ὦ τέκνα, βέλτιον, ἔλεγεν, ἀποθανεῖν, πρὸ τοῦ γενέσθαι τὰ τῆς θεωρίας. Τῶν δὲ πάλιν ἀξιούντων, δακρύσας ἔλεγε, Μέλλει τὴν Ἐκκλησίαν ὀργὴ καταλαμβάνειν, καὶ μέλλει παραδίδοσθαι ἀνθρώποις ὁμοίοις ἀλόγοις κτήνεσιν. Εἶδον γὰρ τὴν τράπεζαν τοῦ Κυριακοῦ, καὶ περὶ αὐτὴν ἑστῶτας ἡμιόνους κύκλῳ πανταχόθεν, καὶ λακτίζοντας τὰ ἔνδον οὕτως, ὡς ἂν ἀτάκτως σκιρτώντων κτηνῶν γένοιτο λακτίσματα. Πάντως δὲ ᾔσθεσθε, φησί, πῶς ἐστέναζον· ἤκουσα γὰρ φωνῆς λεγούσης· Βδελυχθήσεται τὸ θυσιαστήριόν μου. Ταῦτα εἶδεν ὁ γέρων· καὶ μετὰ δύο ἔτη γέγονεν ἡ νῦν ἔφοδος τῶν Ἀρειανῶν, καὶ ἡ ἁρπαγὴ τῶν ἐκκλησιῶν, ὅτε καὶ τὰ σκεύη μετὰ βίας ἁρπάσαντες, δι' ἐθνικῶν ἐποίουν βαστάζεσθαι· ὅτε καὶ τοὺς ἐθνικοὺς ἀπὸ τῶν ἐργαστηρίων ἠνάγκαζον συνάγεσθαι μετ' αὐτῶν· καὶ παρόντων αὐτῶν ἔπραττον ἐπὶ τῆς τραπέζης ὡς ἤθελον. Τότε πάντες ἡμεῖς ἐπέγνωμεν, ὅτι τὰ λακτίσματα τῶν ἡμιόνων ταῦτα προεμήνυε τῷ Ἀντωνίῳ, ἃ νῦν οἱ Ἀρειανοὶ ἀλόγως πράττουσιν ὡς τὰ κτήνη. Ὡς δὲ ταύτην εἶδε τὴν θεωρίαν, τοὺς συνόντας παρεκάλεσε, λέγων· Μὴ ἀθυμεῖτε, τέκνα· ὥσπερ γὰρ ὠργίσθη ὁ Κύριος, οὕτω πάλιν ἰάσεται. Καὶ πάλιν ταχέως ἀπολήψεται τὸν ἑαυτῆς κόσμον ἡ Ἐκκλησία, καὶ συνήθως ἀναλάμψει· καὶ ὄψεσθε τοὺς διωχθέντας ἀποκαθισταμένους, καὶ τὴν μὲν ἀσέβειαν πάλιν εἰς τοὺς ἰδίους φωλεοὺς ἀναχωροῦσαν, τὴν δὲ εὐσεβῆ πίστιν παρρησιαζομένην μετὰ πάσης ἐλευθερίας πανταχοῦ· μόνον μὴ μιάνητε ἑαυτοὺς μετὰ τῶν Ἀρειανῶν. Οὐκ ἔστι γὰρ τῶν ἀποστόλων αὕτη ἡ διδασκαλία, ἀλλὰ τῶν δαιμόνων, καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου· καὶ μᾶλλον ἄγονος, καὶ ἄλογος, καὶ διανοίας ἐστὶν οὐκ ὀρθῆς, ὡς ἡ τῶν ἡμιόνων ἀλογία.

83. Τοιαῦτα μὲν τὰ τοῦ Ἀντωνίου. Οὐ δεῖ δὲ ἡμᾶς ἀπιστεῖν,

1. Πρβλ. Δαν. 4, 16.

εἰ δι' ἀνθρώπου τοσαῦτα γέγονε θαύματα. Τοῦ γὰρ Σωτῆρός ἐστιν ἐπαγγελία, λέγοντος· «Ἐὰν ἔχητε πίστιν ὡς κόκκον συνάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.[1]» Καὶ πάλιν· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐάν τι αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. Αἰτεῖτε, καὶ λήψεσθε.[2]» Καὶ αὐτός ἐστιν ὁ τοῖς μαθηταῖς λέγων, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν· «Ἀσθενοῦντας θεραπεύετε· δαίμονας ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.[3]»

84. Οὐ προστάττων γοῦν ἐθεράπευεν ὁ Ἀντώνιος, ἀλλ' εὐχόμενος καὶ τὸν Χριστὸν ὀνομάζων· ὡς πᾶσι φανερὸν γενέσθαι, ὅτι οὐκ ἦν αὐτὸς ὁ ποιῶν, ἀλλ' ὁ Κύριος, δι' Ἀντωνίου φιλανθρωπευόμενος, καὶ θεραπεύων τοὺς πάσχοντας. Ἀντωνίου δὲ μόνον ἡ εὐχὴ καὶ ἡ ἄσκησις, ἧς ἕνεκεν ἐν τῷ ὄρει καθήμενος, ἔχαιρε μὲν τῇ τῶν θείων θεωρίᾳ, ἐλυπεῖτο δὲ διοχλούμενος ὑπὸ πολλῶν καὶ ἑλκόμενος εἰς τὸ ὄρος τὸ ἔξω, Καὶ γὰρ καὶ δικασταὶ πάντες ἠξίουν ἀπὸ τοῦ ὄρους αὐτὸν κατέρχεσθαι, ἐπεὶ μὴ δυνατὸν ἦν αὐτοὺς εἰσελθεῖν ἐκεῖ, διὰ τοὺς ἀκολουθοῦντας τῶν δικαζομένων. Ἠξίουν δὲ ὅμως, ἵνα ἔλθῃ καὶ μόνον αὐτὸν ἴδωσιν· αὐτὸς μὲν οὖν ἐξετρέπετο καὶ παρῃτεῖτο τὰς πρὸς τούτους ὁδούς· οἱ δὲ ἐπέμενον, καὶ μᾶλλον τοὺς ὑπευθύνους ὄντας ὑπὸ στρατιώτας προσέπεμπον· ἵνα κἂν διὰ τὴν ἐκείνων πρόφασιν κατέλθῃ. Πάσχων οὖν ἀνάγκην, καὶ ὁρῶν αὐτοὺς ὀδυρομένους, ἤρχετο μὲν εἰς τὸ ὄρος τὸ ἔξω· οὐκ ἀνωφελὴς δὲ πάλιν ἦν ὁ σκυλμὸς αὐτοῦ· πολλοῖς μὲν γὰρ εἰς ὄνησιν ἐγίνετο, καὶ εἰς εὐεργεσίαν ἡ ἄφιξις αὐτοῦ. Τοὺς δὲ δικαστὰς ὠφέλει, συμβουλεύων πάντων μᾶλλον προκρίνειν τὸ δίκαιον· καὶ φοβεῖσθαι τὸν Θεόν, καὶ εἰδέναι, ὅτι οἵῳ κρίματι κρίνουσι, κριθήσονται.[4] Πλὴν τὴν ἐν τῷ ὄρει διατριβὴν πάντων μᾶλλον ἠγάπα.

85. Ποτὲ οὖν βίαν τοιαύτην παθὼν παρὰ τῶν χρείαν ἐχόντων, καὶ τοῦ στρατηλάτου διὰ πολλῶν ἀξιώσαντος αὐτὸν κατελθεῖν, ἐλθών, καὶ ὁμιλήσας ὀλίγα, τὰ εἰς σωτηρίαν φθάνοντα, καὶ περὶ τῶν δεομένων, ἠπείγετο. Τοῦ δὲ λεγομένου δουκὸς ἀξιοῦντος αὐτὸν ἐμβραδύνειν, ἔλεγε μὴ δύνασθαι χρονίζειν μετ' αὐτῶν, καὶ παραδείγματι χαρίεντι τοῦτον ἔπειθε λέγων· Ὥσπερ οἱ ἰχθύες ἐγχρονίζοντες τῇ ξηρᾷ γῇ τελευτῶσιν, οὕτως οἱ μοναχοὶ βραδύνοντες μεθ' ὑμῶν, καὶ παρ' ὑμῖν ἐκδιατρίβοντες ἐκλύονται. Δεῖ οὖν, ὥσπερ τὸν ἰχθὺν εἰς τὴν θάλασσαν, οὕτως ἡμᾶς εἰς τὸ ὄρος ἐπείγεσθαι· μήποτε ἐμβραδύνοντες, ἐπιλαθώμεθα τῶν ἔνδον· Ἀκούσας δὲ ὁ στρατηλάτης ταῦτα παρ' αὐτοῦ, καὶ ἕτερα πολλά, θαυμάσας, ἔλεγεν, ἀληθῶς εἶναι τοῦτον δοῦλον τοῦ Θεοῦ· πόθεν γὰρ ἰδιώτῃ τοιοῦτος καὶ τοσοῦτος νοῦς, εἰ μὴ ἦν ἀγαπώμενος ὑπὸ τοῦ Θεοῦ;

---

1. Ματθ. 17, 20. 2. Ἰω. 16, 23-24. 3. Ματθ. 10, 8. 4. Πρβλ. Ματθ. 7, 2.

86. Εἷς δέ τις στρατηλάτης, Βαλάκιος δὲ ἦν ὄνομα αὐτῷ, πικρῶς ἐδίωκεν ἡμᾶς τοὺς Χριστιανοὺς διὰ τὴν ὑπὲρ τῶν δυσωνύμων Ἀρειανῶν σπουδήν. Καὶ ἐπειδὴ τοσοῦτον ἦν ὠμός, ὡς καὶ παρθένους τύπτειν, καὶ μονάζοντας γυμνοῦν καὶ μαστίζειν, ἀποστέλλει πρὸς αὐτὸν ὁ Ἀντώνιος, καὶ γράφει τοιοῦτον ἔχουσαν νοῦν ἐπιστολήν· Ὁρῶ ὀργὴν ἐπερχομένην ἐπὶ σέ· παῦσαι οὖν διώκων Χριστιανούς, μή ποτέ σε ἡ ὀργὴ καταλάβῃ· μέλλει γὰρ ἤδη ἐπὶ σὲ ἔρχεσθαι. Ὁ δὲ Βαλάκιος, γελάσας, τὴν μὲν ἐπιστολὴν ἔρριψε χαμαί, πτύσας εἰς αὐτήν, τοὺς δὲ κομίσαντας ὕβρισε, παραγγείλας ἀπαγγέλλειν Ἀντωνίῳ ταῦτα· Ἐπειδὴ φροντίζεις περὶ τῶν μοναχῶν, ἤδη καί σε μετελεύσομαι. Καὶ οὐ παρῆλθον ἡμέραι πέντε, καὶ κατέλαβεν αὐτὸν ἡ ὀργή. Εἰς γὰρ τὴν πρώτην μονὴν Ἀλεξανδρείας τὴν λεγομένην Χαιρέου ἐξῆλθεν αὐτός τε ὁ Βαλάκιος καὶ Νεστόριος ὁ ἔπαρχος τῆς Αἰγύπτου, καὶ ἀμφότεροι μὲν ἐπεκαθέζοντο ἵπποις· ἦσαν δὲ οὗτοι ἴδιοι τοῦ Βαλακίου, καὶ πραότεροι πάντων τῶν τρεφομένων παρ' αὐτῷ. Ἀλλὰ μήπω φθασάντων αὐτῶν εἰς τὸν τόπον, ἤρξαντο παίζειν, ὡς εἰώθασι, πρὸς ἀλλήλους· καὶ ἐξαίφνης ὁ πραότερος, ᾧ ἐπεκαθέζετο Νεστόριος, δήγματι τὸν Βαλάκιον καταβαλὼν ἐπέπεσεν αὐτῷ· καὶ οὕτω τοῖς ὀδοῦσιν ἐσπάραξε τὸν μηρὸν αὐτῷ, ὡς εὐθὺς μὲν ἀπενεχθῆναι εἰς τὴν πόλιν, ἐν τρισὶ δὲ ἡμέραις ἀποθανεῖν· καὶ πάντας θαυμάζειν, ὅτι ἃ προείρηκεν ὁ Ἀντώνιος, ταχέως πεπλήρωται.

87. Οὕτω μὲν οὖν τοῖς πικροτέροις παρῄνει· τοὺς δὲ ἄλλους τοὺς πρὸς αὐτὸν ἀπαντῶντας οὕτως ἐνουθέτει, ὡς ἐπιλανθάνεσθαι παρ' αὐτὰ τοῦ δικάζειν, καὶ μακαρίζειν τοὺς ἀναχωροῦντας ἀπὸ τοῦ βίου τούτου. Οὕτω δὲ τῶν ἀδικουμένων προΐστατο, ὡς νομίζειν μὴ ἄλλους, ἀλλ' αὐτὸν εἶναι τὸν πάσχοντα. Οὕτω δὲ πάλιν πρὸς ὠφέλειαν πᾶσιν ἦν ἱκανός, ὡς πολλοὺς στρατευομένους καὶ τῶν τὰ πολλὰ κεκτημένων, ἀποτίθεσθαι τὰ τοῦ βίου βάρη, καὶ λοιπὸν γίνεσθαι μοναχούς. Καὶ ὅλως ὥσπερ ἰατρὸς ἦν δοθεὶς παρὰ τοῦ Θεοῦ τῇ Αἰγύπτῳ. Τίς γὰρ λυπούμενος, ἀπήντα, καὶ οὐχ ὑπέστρεφε χαίρων; τίς ἤρχετο θρηνῶν διὰ τοὺς αὐτοῦ τεθνηκότας, καὶ οὐκ εὐθέως ἀπετίθετο τὸ πένθος; τίς ὀργιζόμενος ἤρχετο, καὶ οὐκ εἰς φιλίαν μετεβάλλετο; τίς πένης ἀκηδιῶν ἀπήντα, καὶ ἀκούων αὐτοῦ καὶ βλέπων αὐτόν, οὐ κατεφρόνει τοῦ πλούτου, καὶ περεμυθεῖτο τὴν πενίαν; τίς μοναχός, ὀλιγωρήσας, καὶ ἐλθὼν πρὸς αὐτόν, οὐ μᾶλλον ἰσχυρότερος ἐγένετο; τίς νεώτερος ἐλθὼν εἰς τὸ ὄρος, καὶ θεωρήσας Ἀντώνιον, οὐκ εὐθέως ἐξηρνεῖτο τὰς ἡδονάς, καὶ ἠγάπα σωφροσύνην; τίς ἤρχετο πρὸς αὐτὸν ὑπὸ δαίμονος πειραζόμενος, καὶ οὐκ ἀνεπαύετο; τίς δὲ ἐν λογισμοῖς ἐνοχλούμενος ἤρχετο, καὶ οὐκ ἐγαληνία τῇ διανοίᾳ;

88. Καὶ γὰρ καὶ τοῦτο ἦν μέγα τῆς ἀσκήσεως τοῦ Ἀντωνίου, ὅτι, καθὰ προεῖπον, χάρισμα διακρίσεως πνευμάτων ἔχων, ἐπεγίνωσκεν αὐτῶν τὰ κινήματα· καὶ πρὸς ὅ τις αὐτῶν εἶχε τὴν σπουδὴν καὶ τὴν ὁρμήν, τοῦτο οὐκ ἠγνόει. Καὶ οὐ μόνον αὐτὸς ἐπαίζετο παρ'

αὐτῶν, ἀλλὰ καὶ τοὺς ἐνοχλουμένους ἐν λογισμοῖς παρακαλῶν ἐδίδασκε, πῶς ἂν δύναιντο τὰς ἐκείνων ἐπιβουλὰς ἀνατρέπειν, διηγούμενος τῶν ἐνεργούντων τὰς ἀσθενείας καὶ τὰς πανουργίας. Ἕκαστος γοῦν, ὥσπερ ἐπαλιφεὶς παρ' αὐτοῦ, κατήρχετο καταθαρρῶν τῶν νοημάτων τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ. Πόσαι δὲ καὶ μνηστῆρας ἔχουσαι παρθένοι, καὶ μόνον ἀπὸ τοῦ πέραν ἰδοῦσαι τὸν Ἀντώνιον, ἔμειναν τῷ Χριστῷ παρθένοι; Ἤρχοντο δὲ καὶ ἀπὸ τῶν ἔξω μερῶν πρὸς αὐτόν. Καὶ αὐτοὶ μετὰ πάντων τὴν ὠφέλειαν ἐσχηκότες ὑπέστρεφον, ὡς παρὰ πατρὸς προπεμπόμενοι. Ἀμέλει κοιμηθέντος αὐτοῦ, πάντες, ὡς ὀρφανοὶ γενόμενοι πατρός, μόνῃ τῇ ἐκείνου μνήμῃ παρακαλοῦσιν ἑαυτούς, κατέχοντες ἅμα τὰς νουθεσίας καὶ τὰς παραινέσεις αὐτοῦ.

89. Οἷον δὲ καὶ τὸ τέλος αὐτῷ τοῦ βίου γέγονεν, ἄξιον κἀμὲ μνημονεῦσαι, καὶ ὑμᾶς ἀκοῦσαι ποθοῦντας· καὶ τοῦτο γὰρ αὐτοῦ ζηλωτὸν γέγονε. Κατὰ τὸ εἰωθὸς ἐπεσκέπτετο τοὺς μοναχοὺς τοὺς ἐν τῷ ὄρει τῷ ἔξω, καὶ προσμαθὼν παρὰ τῆς Προνοίας περὶ τῆς ἑαυτοῦ τελευτῆς, ἐλάλει τοῖς ἀδελφοῖς λέγων· Ταύτην ὑμῶν τὴν ἐπίσκεψιν ὑστέραν ποιοῦμαι, καὶ θαυμάζω, εἰ πάλιν ἑαυτοὺς ἐν τῷ βίῳ τούτῳ θεωρήσομεν. Καιρός ἐστι κἀμὲ λοιπὸν ἀναλῦσαι· εἰμὶ γὰρ ἐγγὺς ἐτῶν πέντε καὶ ἑκατόν. Οἱ μὲν οὖν ἀκούσαντες, ἔκλαιον, καὶ περιεπτύσσοντο καὶ κατεφίλουν τὸν γέροντα· ὁ δέ, ὡς ἀπὸ ἀλλοτρίας εἰς ἰδίαν ἀπαίρων πόλιν, χαίρων διελέγετο, καὶ παρήγγελλεν αὐτοῖς μὴ ὀλιγωρεῖν ἐν τοῖς πόνοις, μηδὲ ἐκκακεῖν τῇ ἀσκήσει· ἀλλ' ὡς καθ' ἡμέραν ἀποθνήσκοντας ζῆν· καὶ καθὰ προεῖπον σπουδάζειν τὴν ψυχὴν φυλάττειν ἀπὸ ῥυπαρῶν λογισμῶν· καὶ τὸν ζῆλον ἔχειν πρὸς τοὺς ἁγίους, μὴ ἐγγίζειν δὲ Μελετιανοῖς τοῖς σχισματικοῖς· οἴδατε γὰρ αὐτῶν τὴν πονηρὰν καὶ βέβηλον προαίρεσιν μηδὲ κοινωνίαν ἔχειν τινὰ πρὸς τοὺς Ἀρειανούς· καὶ γὰρ καὶ ἡ τούτων ἀσέβεια πᾶσιν ἔκδηλός ἐστι. Μηδ' ἂν θεωρήσητε προϊσταμένους αὐτῶν τοὺς δικαστάς, ταράττεσθε· παύσεται γάρ, καὶ θνητὴ καὶ πρὸς ὀλίγον ἐστὶν αὐτῶν ἡ φαντασία. Καθαροὺς οὖν ἑαυτοὺς μᾶλλον ἀπὸ τούτων φυλάττετε, καὶ τηρεῖτε τήν τε τῶν Πατέρων παράδοσιν, καὶ προηγουμένως τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὐσεβῆ πίστιν, ἣν ἐκ τῶν Γραφῶν μὲν μεμαθήκατε, παρ' ἐμοῦ δὲ πολλάκις ὑπεμνήσθητε.

90. Τῶν δὲ ἀδελφῶν βιαζομένων μεῖναι αὐτὸν παρ' αὐτοῖς, κἀκεῖ τελειωθῆναι, οὐκ ἠνέσχετο διὰ πολλὰ μέν, ὡς αὐτὸς καὶ σιωπῶν ἐνέφαινε, καὶ διὰ τοῦτο δὲ μάλιστα· οἱ Αἰγύπτιοι τὰ τῶν τελευτώντων σπουδαίων σώματα, καὶ μάλιστα τῶν ἁγίων μαρτύρων, φιλοῦσι μὲν θάπτειν καὶ περιελίσσειν ὀθονίοις· μὴ κρύπτειν δὲ ὑπὸ γῆν, ἀλλ' ἐπὶ σκιμποδίων τιθέναι, καὶ φυλάττειν ἔνδον παρ' ἑαυτοῖς· νομίζοντες ἐν τούτῳ τιμᾶν τοὺς ἀπελθόντας. Ὁ δὲ Ἀντώνιος πολλάκις περὶ τούτου καὶ ἐπισκόπου ἠξίου παραγγέλλειν τοῖς λαοῖς· ὁμοίως δὲ καὶ λαϊκοὺς ἐνέτρεπε, καὶ γυναιξὶν ἐπέπληττε, λέγων, μήτε νόμιμον,

μήτε ὅλως ὅσιον εἶναι τοῦτο. Καὶ γὰρ τὰ τῶν πατριαρχῶν καὶ τὰ τῶν προφητῶν σώματα μέχρι νῦν σῴζεται εἰς μνήματα· καὶ αὐτὸ δὲ τὸ τοῦ Κυρίου σῶμα εἰς μνημεῖον ἐτέθη[1], λίθος τε ἐπιτεθεὶς ἔκρυψεν αὐτό[2], ἕως ἀνέστη τριήμερον. Καὶ ταῦτα λέγων, ἐδείκνυε παρανομεῖν τὸν μετὰ θάνατον μὴ κρύπτοντα τὰ σώματα τῶν τελευτώντων, κἂν ἅγια τυγχάνῃ. Τί γὰρ μεῖζον ἢ ἁγιώτερον τοῦ Κυριακοῦ σώματος; Πολλοὶ οὖν, ἀκούσαντες, ἔκρυψαν ὑπὸ γῆν λοιπόν, καὶ ηὐχαρίστουν τῷ Κυρίῳ, καλῶς διδαχθέντες.

91. Αὐτὸς δέ, τοῦτο γινώσκων, καὶ φοβούμενος μὴ καὶ τὸ αὐτοῦ ποιήσωσιν οὕτως σῶμα, ἤπειξεν ἑαυτόν, συνταξάμενος τοῖς ἐν τῷ ἔξω ὄρει μοναχοῖς· καὶ εἰσελθὼν εἰς τὸ ἔνδον ὄρος, ἔνθα καὶ μένειν εἰώθει, μετὰ μῆνας ὀλίγους ἐνόσησε· καὶ καλέσας τοὺς συνόντας αὐτῷ (δύο δὲ ἦσαν, οἵτινες καὶ ἔμειναν ἔνδον, δέκα καὶ πέντε ἔτη ἀσκούμενοι, καὶ ὑπηρετοῦντες αὐτῷ διὰ τὸ γῆρας), ἔλεγε πρὸς αὐτούς· Ἐγὼ μέν, ὡς γέγραπται, τὴν ὁδὸν τῶν πατέρων πορεύομαι·[3] ὁρῶ γὰρ ἐμαυτὸν καλούμενον ὑπὸ τοῦ Κυρίου· ὑμεῖς δὲ νήφετε, καὶ τὴν πολυχρόνιον ὑμῶν ἄσκησιν μὴ ἀπολέσητε· ἀλλ' ὡς νῦν ἀρχὴν ἔχοντες, σπουδάσατε τηρεῖν τὴν προθυμίαν ἑαυτῶν. Οἴδατε τοὺς ἐπιβουλεύοντας δαίμονας, οἴδατε πῶς ἄγριοι μὲν εἰσίν, ἀσθενεῖς δὲ τῇ δυνάμει. Μὴ οὖν φοβηθῆτε αὐτούς, ἀλλὰ μᾶλλον τὸν Χριστὸν ἀεὶ ἀναπνέετε, καὶ τούτῳ πιστεύετε· καὶ ὡς καθ' ἡμέραν ἀποθνήσκοντες ζήσατε, προσέχοντες ἑαυτοῖς, καὶ μνημονεύοντες ὧν ἠκούσατε παρ' ἐμοῦ παραινέσεως. Καὶ μηδεμία ἔστω ὑμῖν κοινωνία πρὸς τοὺς σχισματικούς, μήθ' ὅλως πρὸς τοὺς αἱρετικοὺς Ἀρειανούς. Οἴδατε γὰρ πῶς κἀγὼ τούτους ἐξετρεπόμην διὰ τὴν χριστομάχον αὐτῶν καὶ ἑτερόδοξον αἵρεσιν. Σπουδάσατε δὲ μᾶλλον καὶ ὑμεῖς ἀεὶ συνάπτειν ἑαυτούς, προηγουμένως μὲν τῷ Κυρίῳ, ἔπειτα δὲ τοῖς ἁγίοις· ἵνα μετὰ θάνατον ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς, ὡς φίλους καὶ γνωρίμους, δέξωνται καὶ αὐτοί. Ταῦτα λογίζεσθε, ταῦτα φρονεῖτε· καὶ εἰ μέλει ὑμῖν περὶ ἐμοῦ, καὶ μνημονεύετε ὡς περὶ πατρός, μὴ ἀφεῖτέ τινας τὸ σῶμα μου λαβεῖν εἰς Αἴγυπτον, μήπως ἐν τοῖς οἴκοις ἀπόθωνται· τούτου γὰρ χάριν εἰσῆλθον εἰς τὸ ὄρος, καὶ ἦλθον ὧδε. Οἴδατε δὲ καὶ πῶς ἀεὶ ἐνέτρεπον τοὺς τοῦτο ποιοῦντας, καὶ παρήγγελλον παύσασθαι τῆς τοιαύτης συνηθείας. Θάψατε οὖν τὸ ἡμέτερον ὑμεῖς, καὶ ὑπὸ γῆν κρύψατε· καὶ ἔστω τὸ παρ' ἐμοῦ ῥῆμα φυλαττόμενον παρ' ὑμῖν, ὥστε μηδένα γινώσκειν τὸν τόπον, πλὴν ὑμῶν μόνων. Ἐγὼ γὰρ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν ἀπολήψομαι παρὰ τοῦ Σωτῆρος ἄφθαρτον αὐτό. Διέλετε δέ μου τὰ ἐνδύματα· καὶ Ἀθανασίῳ μὲν τῷ ἐπισκόπῳ δότε τὴν μίαν μηλωτήν, καὶ ὃ ὑπεστρωννυόμην ἱμάτιον, ὅπερ αὐτὸς μέν μοι καινὸν δέδωκε, παρ' ἐμοὶ δὲ πεπαλαίωται· καὶ Σαραπίωνι δὲ τῷ ἐπισκόπῳ δότε τὴν ἑτέραν μηλωτήν· καὶ ὑμεῖς ἔχετε τὸ τρί-

1. Πρβλ. Ἰω. 19, 41. 2. Πρβλ. Ματθ. 27, 60. 3. Πρβλ. Ἰησ. Ν. 23,14.

χινον ἔνδυμα. Καὶ λοιπὸν σῴζεσθε, τέκνα· ὁ γὰρ Ἀντώνιος μεταβαίνει, καὶ οὐκ ἔτι μεθ' ὑμῶν ἐστι.

92. Ταῦτα εἰπών, καὶ ἀσπασαμένων ἐκείνων αὐτόν, ἐξάρας τοὺς πόδας, καὶ ὥσπερ φίλους ὁρῶν τοὺς ἐλθόντας ἐπ' αὐτόν, καὶ δι' αὐτοὺς περιχαρὴς γενόμενος, ἐφαίνετο γὰρ ἀνακείμενος ἱλαρῷ τῷ προσώπῳ, ἐξέλιπε, καὶ προσετέθη πρὸς τοὺς πατέρας. Κἀκεῖνοι λοιπόν, καθὰ δέδωκεν αὐτοῖς ἐντολάς, θάψαντες καὶ εἱλίξαντες, ἔκρυψαν ὑπὸ γῆν αὐτοῦ τὸ σῶμα, καὶ οὐδεὶς οἶδε τέως, ποῦ κέκρυπται, πλὴν μόνων αὐτῶν τῶν δύο. Καὶ τῶν λαβόντων δὲ ἕκαστος τὴν μηλωτὴν τοῦ μακαρίου Ἀντωνίου, καὶ τὸ τετριμμένον παρ' αὐτοῦ ἱμάτιον, ὥς τι μέγα χρῆμα φυλάττει. Καὶ γὰρ καὶ βλέπων αὐτά, ὡς Ἀντώνιόν ἐστι θεωρῶν· καὶ περιβαλλόμενος δὲ αὐτά, ὡς τὰς νουθεσίας αὐτοῦ βαστάζων ἐστὶ μετὰ χαρᾶς.

93. Τοῦτο τῆς ἐν σώματι ζωῆς Ἀντωνίου τὸ τέλος, κἀκείνη τῆς ἀσκήσεως ἀρχή. Καὶ εἰ καὶ μικρὰ ταῦτα πρὸς τὴν ἀρετὴν ἐκείνου, ἀλλ' ἀπὸ τούτων λογίζεσθε καὶ ὑμεῖς, ὁποῖος ἦν ὁ τοῦ Θεοῦ ἄνθρωπος Ἀντώνιος, ὁ ἐκ νεωτέρου μέχρι τῆς τοσαύτης ἡλικίας ἴσην τηρήσας τὴν προθυμίαν τῆς ἀσκήσεως· καὶ μήτε διὰ τὸ γῆρας ἡττηθεὶς πολυτελείᾳ τροφῆς, μήτε δι' ἀτονίαν τοῦ ἑαυτοῦ σώματος ἀλλάξας τὸ σχῆμα τοῦ ἐνδύματος, ἢ νιψάμενος κἂν τοὺς πόδας ὕδατι· καὶ ὅμως ἐν πᾶσι διέμεινεν ἀβλαβής. Καὶ γὰρ καὶ τοὺς ὀφθαλμοὺς ἀσινεῖς καὶ ὁλοκλήρους εἶχε, βλέπων καλῶς· καὶ τῶν ὀδόντων οὐδὲ εἷς ἐξέπεσεν αὐτοῦ· μόνον δὲ ὑπὸ τὰ οὖλα τετριμμένοι ἐγεγόνεισαν, διὰ τὴν πολλὴν ἡλικίαν τοῦ γέροντος. Καὶ τοῖς ποσὶ δὲ καὶ ταῖς χερσὶν ὑγιὴς διέμεινε, καὶ ὅλως πάντων τῶν ποικίλῃ τροφῇ καὶ λουτροῖς καὶ διαφόροις ἐνδύμασι χρωμένων φαιδρότερος μᾶλλον αὐτὸς ἐφαίνετο, καὶ πρὸς ἰσχὺν προθυμότερος. Καὶ τὸ πανταχοῦ δὲ τοῦτον διαβεβοῆσθαι, καὶ θαυμάζεσθαι μὲν παρὰ πάντων, ποθεῖσθαι δὲ καὶ παρὰ τῶν μὴ ἑωρακότων αὐτόν, τῆς ἀρετῆς καὶ τῆς θεοφιλοῦς αὐτοῦ ψυχῆς ἐστι γνώρισμα. Οὐ γὰρ ἐκ συγγραμμάτων, οὐδὲ ἐκ τῆς ἔξωθεν σοφίας, οὐδὲ διά τινα τέχνην, διὰ δὲ μόνην θεοσέβειαν ὁ Ἀντώνιος ἐγνωρίσθη. Τοῦτο δὲ ὡς Θεοῦ δῶρον οὐκ ἄν τις ἀρνήσαιτο. Πόθεν γὰρ εἰς τὰς Σπανίας καὶ εἰς τὰς Γαλλίας, πῶς εἰς τὴν Ῥώμην καὶ τὴν Ἀφρικήν, ἐν ὄρει κεκρυμμένος καὶ καθήμενος ἠκούσθη, εἰ μὴ ὁ Θεὸς ἦν, ὁ πανταχοῦ τοὺς ἑαυτοῦ γνωρίζων ἀνθρώπους, ὁ καὶ Ἀντωνίῳ τοῦτο κατὰ τὴν ἀρχὴν ἐπαγγειλάμενος; Κἂν γὰρ αὐτοὶ κεκρυμμένως πράττωσι, κἂν λανθάνειν ἐθέλωσιν· ἀλλ' ὁ Κύριος αὐτοὺς ὡς λύχνους δείκνυσι πᾶσιν, ἵνα καὶ οὕτως οἱ ἀκούοντες γινώσκωσι δυνατὰς εἶναι τὰς ἐντολὰς εἰς τὸ κατορθοῦν, καὶ ζῆλον τῆς ἐπ' ἀρετὴν ὁδοῦ λαμβάνωσι.

94. Ταῦτα τοίνυν τοῖς μὲν ἄλλοις ἀδελφοῖς ἀνάγνωτε, ἵνα μάθωσιν ὁποῖος ὀφείλει τῶν μοναχῶν ὁ βίος εἶναι, καὶ πεισθῶσιν, ὅτι Κύριος καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς τοὺς δοξάζοντας αὐτὸν δοξά-

ζει, καὶ τοὺς δουλεύοντας αὐτῷ μέχρι τέλους οὐ μόνον εἰς τὴν βασιλείαν ἄγει τῶν οὐρανῶν, ἀλλὰ καὶ ἐνταῦθα κρυπτομένους, καὶ σπουδάζοντας ἀναχωρεῖν, φανεροὺς καὶ διαβοήτους διά τε τὴν ἀρετὴν αὐτῶν καὶ τὴν τῶν ἄλλων ὠφέλειαν πανταχοῦ ποιεῖ. Ἐὰν δὲ χρεία γένηται, καὶ τοῖς ἐθνικοῖς ἀνάγνωτε· ἵνα κἂν οὕτως ἐπιγνῶσιν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐ μόνον ἐστὶ Θεὸς καὶ τοῦ Θεοῦ Υἱός· ἀλλ᾽ ὅτι καὶ οἱ τούτῳ γνησίως λατρεύοντες, καὶ πιστεύοντες εἰς αὐτὸν εὐσεβῶς, τοὺς δαίμονας, οὓς αὐτοὶ οἱ Ἕλληνες νομίζουσιν εἶναι θεούς, τούτους οἱ Χριστιανοὶ ἐλέγχουσιν, οὐ μόνον μὴ εἶναι θεούς, ἀλλὰ καὶ πατοῦσι καὶ διώκουσιν, ὡς πλάνους καὶ φθορέας τῶν ἀνθρώπων τυγχάνοντας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ, ΗΤΟΙ ΠΕΡΙ ΑΣΚΗΣΕΩΣ *

1. Ἀρχὴ λόγου σωτηρίας πρὸς τὴν παρθένον. Πρῶτον πάντων πίστευσον εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ὁρατῶν καὶ ἀοράτων ποιητήν· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν Ἰησοῦν Χριστόν, τὸν ὄντα ἐκ τῆς οὐσίας τοῦ Πατρός, κατὰ πάντα ἰσοδύναμον τῷ Πατρί, τὸν πρὸ αἰώνων ὄντα· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐν Πατρὶ καὶ Υἱῷ ὄν, παρὰ τοῦ Πατρὸς ἀποστελλόμενον, καὶ διὰ τοῦ Υἱοῦ διδόμενον. Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, τρεῖς ὑποστάσεις, μία θεότης, μία δύναμις, ἓν βάπτισμα. Αὐτὸς γὰρ ὁ Θεὸς ἡμῶν ὁ Πατὴρ τῶν ὅλων ἐν ἓξ ἡμέραις ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Αὐτὸς γὰρ διεκόσμησεν τὸν οὐρανὸν ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις παγκάλοις, καὶ τὴν γῆν εὐπρεπῶς ἐθεμελίωσεν ἐπάνω τῶν ὑδάτων, διακοσμήσας αὐτὴν ἐν φυτοῖς καὶ ξύλοις παντοδαποῖς. Καὶ τῇ κελεύσει αὐτοῦ ἐκπορεύονται ποταμοὶ μελίρρυτοι, καὶ πηγαὶ ἀένναοι, καὶ προσέταξε τῇ γῇ, καὶ ἐπήγαγε σάρκα, καὶ ἐποίησε πάντα τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατὰ γένος. Ἐκέλευσε τοῖς ὕδασι, καὶ ἐξήγαγον ἰχθύας, καὶ ἐποίησε τὰ κήτη τὰ μεγάλα. Ὕστερον δὲ πάντων ἐποίησε τὸν ἄνθρωπον, καὶ πάντα παρέδωκεν αὐτῷ εἰς ὑπηρεσίαν. Εἶπε γὰρ Κύριος ὁ Θεὸς τῷ Υἱῷ αὐτοῦ· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν·[1] καὶ ἔπλασε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, λαβὼν χοῦν ἀπὸ τῆς γῆς[2]», καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς.[3] Ἔβαλε δὲ Κύριος ὁ Θεὸς ἐπὶ τὸν Ἀδὰμ ἔκστασιν, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, καὶ ᾠκοδόμησε τὴν πλευράν, ἣν ἔλαβε εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ, καὶ εἶπεν Ἀδάμ· Αὕτη νῦν σὰρξ ἐκ τῆς σαρκός μου, καὶ ὀστοῦν ἐκ τῶν ὀστέων μου. Αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν Πατέρα αὐτοῦ, καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.[4]»

2. Ἄκουε, δούλη τοῦ Χριστοῦ, καὶ πάντες, ὅσοι θέλουσι σωθῆναι, καὶ ἐνωτίζονται τὰ ῥήματα τοῦ στόματός μου· καὶ καταδεξάσθωσαν

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 28, σ. 252 κἑξ.

1. Γεν. 1, 26. 2. Γεν. 2, 7. 3. Πρβλ. Γεν. 2, 8. 4. Γεν. 2, 21-24.

τὰ ὦτά σου θεοπνεύστους λόγους. «Τὸ μυστήριον γὰρ τοῦτο», φησί, «μέγα ἐστί[1]», καθὼς εἶπεν ὁ μακάριος Παῦλος, ὅτι πᾶς ὁ κολλώμενος τῇ γυναικί, ἓν σῶμά εἰσιν ἀμφότεροι. Οὕτω πάλιν πᾶς ἀνὴρ ἢ γυνὴ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι. Εἰ γὰρ οἱ τῷ κόσμῳ συναπτόμενοι καταλιμπάνουσι τὸν πατέρα καὶ τὴν μητέρα, καὶ συνάπτονται φθαρτοῖς ἀνθρώποις· πόσῳ μᾶλλον ἡ παρθένος ἐγκρατευομένη ὀφείλει καταλιπεῖν τὰ γήϊνα πάντα, καὶ τῷ Κυρίῳ μόνῳ κολληθῆναι; Μαρτυρεῖ δέ μοι τῷ λόγῳ καὶ αὐτὸς ὁ Ἀπόστολος, λέγων· «Ἡ γυνὴ ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία τῷ σώματι καὶ τῷ πνεύματι. «Ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί, καὶ μεμέρισται.[2]» Τοῦτο οὖν λέγω, ὅτι πᾶσα παρθένος, ἢ χήρα ἐγκρατευομένη, ἐὰν ἔχῃ φροντίδα ἐν τῷ κόσμῳ τούτῳ, αὐτὴ ἡ φροντὶς ἀνὴρ αὐτῆς ἐστι· κἂν κτήματα, κἂν ὑπάρχοντα ἔχῃ, αὐτὴ ἡ μέριμνα μολύνει αὐτῆς τὴν διάνοιαν. Ὥσπερ γὰρ διὰ τοῦ ἀνδρὸς τὸ σῶμα μολύνεται, οὕτως καὶ αἱ σχέσεις αἱ κοσμικαὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τῆς ἐγκρατευομένης μιαίνουσι, καὶ οὐκ ἔστιν ἁγία τῷ σώματι καὶ τῷ πνεύματι. Ἡ δὲ φροντίζουσα τὸ ἔργον τοῦ Θεοῦ, νυμφίος αὐτῆς ὁ Χριστός ἐστιν. Ἡ γὰρ ἁρμοσομένη ἀνδρὶ φθαρτῷ τὸ θέλημα τοῦ ἀνδρὸς αὐτῆς ποιεῖ· οὕτως γὰρ εἴρηται, ὅτι «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ὁ ἀνήρ.[3]» Καὶ πάλιν. «Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἀνδράσιν ἐν παντί.[4]» Ἀπ᾽ αὐτῶν γὰρ τῶν κοσμικῶν, ἐὰν θέλωμεν, καὶ τὰ ἄνω νοοῦμεν. Ἡ δὲ συναπτομένη τῷ ἐπουρανίῳ νυμφίῳ, τὸ θέλημα τοῦ νυμφίου αὐτῆς κατεργάζεται.

3. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ Χριστοῦ, τὸν κολλώμενον αὐτῷ μηδὲν ὅλως ἐπιφέρεσθαι τοῦ αἰῶνος τούτου, μηδὲ τῶν γηΐνων φροντίζειν· ἀλλὰ μόνον τὸν σταυρὸν τοῦ σταυρωθέντος ὑπὲρ αὐτοῦ βαστάζειν αὐτόν, καὶ ἔχειν φροντίδα καὶ μέριμναν νυκτὸς καὶ ἡμέρας, ἀκαταπαύστοις ὕμνοις καὶ δοξολογίαις ὑμνεῖν αὐτόν, πεφωτισμένον ἔχειν τὸ ὄμμα τῆς διανοίας, εἰδέναι τὸ θέλημα αὐτοῦ, καὶ ποιεῖν αὐτό, ἁπλῆν ἔχειν τὴν καρδίαν, καθαρὸν τὸν νοῦν. Ἐλεήμονα εἶναι, ἵνα, καθὼς αὐτὸς οἰκτίρμων καὶ ἐλεήμων ἐστί, οὕτως καὶ ἡμεῖς ἐξακολουθῶμεν αὐτῷ. Πρᾶον καὶ ἡσύχιον εἶναι, ἀνεξίκακον, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντα, ὕβρεων πολλῶν ἀνεχόμενον, καθὼς καὶ αὐτὸς ὑπὸ τῶν Ἰουδαίων ὑβρίσθη, καὶ ὑπέμεινε. Πληγὰς καὶ βασάνους ὑποφέρειν· καὶ γὰρ αὐτὸς ταῦτα ἔπαθεν· ῥαπισθεὶς γὰρ ὑπὸ τοῦ δούλου τοῦ ἀρχιερέως, οὐδὲν ἐποίησεν, ἀλλὰ μόνον εἶπεν· «Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;[5]» οὐκ ἠδύνατο ὁ κελεύσας τῇ γῇ, ἵνα τοὺς περὶ Δαθὰν καὶ Ἀβειρὼν ζῶντας καταπίῃ, καὶ τοῦτον τὸν ἐκτείναντα τὴν χεῖρα καὶ

1. Ἐφ. 5, 32. 2. Α´ Κορ. 7, 34. 3. Α´ Κορ. 7, 4. 4. Ἐφ. 5, 24. 5. Ἰω. 18, 23.

τύψαντα τὴν ἑαυτοῦ δημιουργὸν ζῶντα καταπιεῖν; Ἀλλ' ὑπέμεινεν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵν' ἡμεῖς τοῖς ἐκείνου ἴχνεσιν ἐπακολουθήσωμεν.[1] Σὺ δέ, ἄνθρωπε, οὐ βαστάζεις ὑπὸ τοῦ ὁμογενοῦς σου ἀνθρώπου ὑβρισθῆναι. Μίμησαι τὸν Δεσπότην σου. Εἰ γὰρ ἐκεῖνος Θεὸς ὢν ἐβάσταζε διὰ σὲ ὑπὸ ἀνθρώπου ἁμαρτωλοῦ ῥαπισθῆναι, σὺ ἀγανακτεῖς, ὅτι ὅμοιός σου ἄνθρωπος ἐλοιδόρησέ σε, καὶ ζητεῖς ἀνταποδοῦναι αὐτῷ; Ὢ πολλῆς ἀνοίας καὶ ἀφροσύνης μεγάλης! Διὰ τοῦτο καὶ κόλασις ἡμῖν ἡτοίμασται, καὶ ἑαυτοῖς τὸ πῦρ ἐξάπτομεν· ὅτι καὶ λογικοὶ ὄντες, τοῖς ἀλόγοις ζῴοις ἑαυτοὺς εἰκάζομεν. Ταπεινοφροσύνη πολλῇ εἰς τὸν κόσμον τοῦτον ἐλήλυθε, καὶ πλούσιος ὤν, ἐπτώχευσε δι' ἡμᾶς, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. Καὶ Θεὸς ὢν γέγονε ἄνθρωπος δι' ἡμᾶς, καὶ ἐγεννήθη ἐκ τῆς Θεοτόκου Μαρίας, ἵνα ἐλευθερώσῃ ἡμᾶς ἐκ τῆς δυναστείας τοῦ διαβόλου.

4. Ὅθεν ὁ σωθῆναι θέλων ποιεῖ ἑαυτὸν μωρὸν ἐν τῷ κόσμῳ τούτῳ, ἵνα παρὰ τῷ Θεῷ ἀκούσῃ σοφός. Οἱ γὰρ ἄνθρωποι τοὺς εἰδότας δοῦναι καὶ λαβεῖν καὶ ἀγοράζειν καὶ πωλεῖν, πραγματεύεσθαι, καὶ ἀφυστερεῖν τὰ τοῦ πλησίον, καὶ πλεονεκτεῖν, καὶ δανείζειν, καὶ τὸν ἕνα ὀβολὸν ποιεῖν δύο, τούτους φρονίμους ἀποκαλοῦσιν· ὁ δὲ Θεὸς μωροὺς καὶ ἀσυνέτους, καὶ ἁμαρτωλοὺς τοὺς τοιούτους καλεῖ. Ἄκουε γὰρ φησί, τί αὐτὸς ὁ Θεὸς διὰ Ἱερεμίου τοῦ προφήτου εἴρηκεν· «Ὁ λαὸς οὗτος υἱοὶ ἄφρονές εἰσι τοῦ κακοποιῆσαι· τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἐπέγνωσαν.[2]» Καὶ ὁ μακάριος Παῦλος· «Ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι[3], καὶ ὁ θέλων σοφὸς γενέσθαι μωρὸς γενέσθω, ἵνα γένηται σοφός.[4]» Καὶ πάλιν ὁ αὐτὸς λέγει· «Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε.[5]» Ὁ γὰρ Θεὸς εἰς τὰ γήϊνα θέλει μωροὺς εἶναι, εἰς τὰ ἐπουράνια φρονίμους. Καὶ γὰρ αὐτὸς ὁ ἀντίδικος ἡμῶν διάβολος φρόνιμός ἐστι τῇ κακίᾳ, καὶ ἡμᾶς δεῖ αὐτῷ φρονίμως ἐπέρχεσθαι, πρὸς τὸ νικῆσαι αὐτοῦ τὰς κακοτέχνους ἐπιβουλάς. Λέγει γὰρ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις· «Γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.[6]» Ὁ δὲ καλούμενος παρ' αὐτῷ φρόνιμος, οὗτός ἐστιν ὁ σοφιζόμενος ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ, καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ.

5. Μέγα φάρμακόν ἐστι σωτηρίας ἡ ταπεινοφροσύνη· ὁ γὰρ Σατανᾶς οὐχ ἕνεκεν πορνείας, ἢ μοιχείας, ἢ κλοπῆς κατηνέχθη ἐκ τῶν οὐρανῶν, ἀλλ' ἡ ὑπερηφανία αὐτὸν κατέβαλεν εἰς τὰ κατώτερα μέρη τῆς ἀβύσσου. Οὕτω γὰρ εἴρηκεν· «Ἀναβήσομαι, καὶ θήσομαι τὸν θρόνον μου ἐνώπιον τοῦ Θεοῦ, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ·[7]» καὶ διὰ τοῦτον τὸν λόγον κατεβλήθη, καὶ ἐγένετο ἡ κληρονομία αὐτοῦ τὸ πῦρ τὸ αἰώνιον. Ἡ οὖν ὑπερηφανία ἐν τῷ διαβόλῳ ἐστίν· ἡ δὲ ταπεινοφροσύνη ἐν τῷ Χριστῷ· αὐτὸς γὰρ ὁ Κύριος λέγει, ὅτι «Ὁ θέλων

---

1. Πρβλ. Α' Πέτρ. 2, 21. 2. Ἱερ. 4, 22. 3. Α' Κορ. 3, 19. 4. Α' Κορ. 3, 18. 5. Α' Κορ. 14, 20. 6. Ματθ. 10, 16. 7. Ἡσ. 14, 14.

ἐν ὑμῖν εἶναι μέγας, ἔστω πάντων δοῦλος.[1]» Ὁ γὰρ Θεὸς τῶν ταπεινῶν ἐστιν.

6. Ἀγαπήσωμεν σφόδρα τὴν νηστείαν· μέγα γὰρ φυλακτήριόν ἐστιν ἡ νηστεία, καὶ ἡ προσευχή, καὶ ἡ ἐλεημοσύνη· ἐκ θανάτου γὰρ ῥύονται τὸν ἄνθρωπον. Ὥσπερ γὰρ διὰ βρώματος καὶ παρακοῆς ἐξεβλήθη ὁ Ἀδὰμ ἐκ τοῦ παραδείσου, οὕτω πάλιν διὰ νηστείας καὶ ὑπακοῆς ὁ θέλων εἰσέρχεται εἰς τὸν παράδεισον. Ἐν ταύτῃ τῇ ἀρετῇ κόσμησον τὸ σῶμά σου, ὦ παρθένε, καὶ ἀρέσεις τῷ ἐπουρανίῳ νυμφίῳ· αἱ γὰρ τῷ κόσμῳ συναπτόμεναι, καὶ μύροις, καὶ θυμιάμασι, καὶ εὐωδίαις, καὶ ἐν ἱματίοις πολυτελέσιν, καὶ χρυσῷ καλλωπίζουσαι τὰ σώματα ἑαυτῶν πρὸς τὸ ἀρέσαι τοῖς ἀνθρώποις, Θεῷ ἀρέσαι οὐ δύνανται. Ὁ δὲ Χριστὸς οὐδὲν τούτων χρῄζει παρὰ σοῦ, εἰ μὴ μόνον καρδίαν καθαράν, καὶ σῶμα ἀμόλυντον, ὑπωπιαζόμενον ὑπὸ νηστείας. Ἐὰν δὲ ἔρχωνταί τινες καὶ λέγωσί σοι, ὅτι μὴ νήστευε πυκνά· εἰ δὲ μή γε, ἀσθενεστέρα γενήσῃ, οὐ πιστεύσῃς αὐτοῖς, οὐδ' οὐ μὴ ὑπακούσῃς αὐτῶν· ὁ γὰρ ἐχθρὸς αὐτοὺς ὑποβάλλει. Μνήσθητι τὸ γεγραμμένον, ὁπότε οἱ τρεῖς παῖδες καὶ Δανιὴλ ᾐχμαλωτεύθησαν ὑπὸ Ναβουχοδονόσωρ βασιλέως Βαβυλῶνος, καὶ ἄλλα παιδάρια μετ' αὐτῶν, καὶ ἔταξεν αὐτοὺς ὁ βασιλεὺς ἐσθίειν ἀπὸ τῆς τραπέζης αὐτοῦ, καὶ πίνειν ἀπὸ τοῦ οἴνου αὐτοῦ· Δανιὴλ δὲ καὶ οἱ τρεῖς παῖδες, αὐτοὶ οὐκ ἠθέλησαν ἀλισχησθῆναι ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως, ἀλλὰ λέγουσι τῷ εὐνούχῳ τῷ παραλαβόντι αὐτούς· «Δὸς ἡμῖν ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ φαγόμεθα.[2]» Καὶ λέγει αὐτοῖς ὁ εὐνοῦχος· Φοβοῦμαι ἐγὼ τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν, μήποτε ὀφθῶσι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ ἐνώπιον τοῦ βασιλέως παρὰ πάντα τὰ παιδάρια τὰ ἐσθίοντα ἐκ τῆς τραπέζης τοῦ βασιλέως, καὶ καταδικάσῃ με. Εἶπον δὲ αὐτῷ· Πείρασον τοὺς δούλους σου ἡμέρας ὡσεὶ δέκα, καὶ δὸς ἡμῖν· Καὶ ἔδωκεν αὐτοῖς ὄσπρια φαγεῖν, καὶ ὕδωρ πιεῖν· καὶ εἰσήγαγεν αὐτοὺς ἐνώπιον τοῦ βασιλέως, καὶ ὤφθησαν αἱ ἰδέαι αὐτῶν ἐκλεκταὶ παρὰ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως.

7. Ὁρᾷς τί ποιεῖ ἡ νηστεία, καὶ νόσους θεραπεύει, καὶ ῥεύματα σωματικὰ ξηραίνει, καὶ δαίμονας ἐκβάλλει, καὶ λογισμοὺς πονηροὺς ἀποδιώκει, καὶ τὸν νοῦν λαμπρότερον ποιεῖ, καὶ καρδίαν καθαράν, καὶ σῶμα ἡγιασμένον, καὶ τῷ θρόνῳ τοῦ Θεοῦ παρίστησι τὸν ἄνθρωπον. Καὶ ἵνα μὴ νομίσῃς ὅτι ταῦτα ἁπλῶς λέγονται, ἔχεις μαρτυρίαν ἐν τοῖς Εὐαγγελίοις παρὰ τοῦ Σωτῆρος εἰρημένην· «Ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. Κύριε, δεῖξον ἡμῖν ποίῳ τρόπῳ τὰ ἀκάθαρτα πνεύματα φυγαδεύονται.» Εἶπε δὲ ὁ Κύριος· «Τοῦτο τὸ γένος οὐκ ἐκβάλλεται εἰ μὴ ἐν προσευχαῖς καὶ νηστείαις.[3]» Πᾶς οὖν ὑπὸ πνεύματος ἀκαθάρτου ὀχλούμενος, ἐὰν νοήσῃ, καὶ χρήσηται τῷ

1. Ματθ. 20, 26-27. 2. Πρβλ. Δαν. 1, 12. 3. Πρβλ. Ματθ. 17, 18-20.

φαρμάκῳ τούτῳ, λέγω δὴ τῇ νηστείᾳ, εὐθὺς τὸ πνεῦμα τὸ πονηρὸν στενοχωρούμενον ἀναχωρεῖ, φοβούμενον τὴν νηστείαν. Πάνυ γὰρ τέρπονται οἱ δαίμονες τῇ κραιπάλῃ, καὶ τῇ μέθῃ, καὶ τῇ ἀναπαύσει τοῦ σώματος. Μεγάλη δύναμις νηστεία, καὶ μεγάλα κατορθώματα γίνεται δι' αὐτῆς. Ἐπεὶ πόθεν καὶ οἱ ἄνθρωποι μεγάλας δυνάμεις ἐπιτελοῦσι, καὶ σημεῖα δι' αὐτῶν γίνεται, καὶ ἰάματα τοῖς κάμνουσι δι' αὐτῶν δωρεῖται ὁ Θεός, εἰ μὴ πάντως δι' ἀσκήσεως καὶ ταπεινοφροσύνης, καὶ πολιτείας ἀγαθῆς; νηστεία γὰρ ἀγγέλων βίος ἐστί, καὶ ὁ χρώμενος αὐτῇ ἀγγελικὴν τάξιν ἔχει. Καὶ μὴ νομίσῃς, ἀγαπητέ, ὅτι οὕτως ἁπλῶς ἐστιν ἡ νηστεία· οὐ γὰρ ὁ νηστεύων ἀπὸ βρωμάτων μόνον, ἐκεῖνος κατώρθωσεν· ἀλλ' ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, τούτῳ λογίζεται ἡ νηστεία. Ἐὰν γὰρ νηστεύσῃς, καὶ μὴ τηρήσῃς τὸ στόμα σου λαλῆσαι λόγον πονηρόν, ἢ ὀξυχολίαν, ἢ ψεῦδος, ἢ ἐπιορκίαν, ἢ καταλαλήσῃς κατὰ τοῦ πλησίον σου, ἐὰν ταῦτα ἐξέλθῃ ἐκ τοῦ στόματος τοῦ νηστεύοντος, οὐδὲν ὠφέλησεν· ἀλλὰ καὶ ὅλον τὸν κόπον αὐτοῦ ἀπώλεσε. Σὺ οὖν, δούλη τοῦ Χριστοῦ, καὶ πάντες, ὅσοι θέλουσι σωθῆναι, ἐὰν νηστεύσῃς, ἅγνισον σεαυτὴν ἀπὸ πάσης φιλαργυρίας· ὅτι ὁ ἀγαπῶν ἀργύριον οὐ δύναται τὸν Θεὸν ἀγαπᾶν. «Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία.[1]»

8. Τὴν κενοδοξίαν καὶ ἀλαζονείαν ἰσχυρῶς φεῦγε. Ἐὰν ὑποβάλλῃ σοι ὁ λογισμός, ὅτι μεγάλη γέγονας καὶ καλή, προβεβηκυῖα τῇ ἀρετῇ, μὴ πιστεύσῃς αὐτῷ· ὁ ἐχθρὸς γάρ ἐστιν ὁ ἐμποδίζων καὶ κενοδοξίαν ὑποβάλλων. Οὐκ ἀνέξῃ οὖν τοῦ λογισμοῦ ἐπαινοῦντός σε. Ἐὰν δὲ ὑποβάλλῃ σοι ὁ λογισμὸς λέγων, ὅτι, Μὴ θέλε κοπιᾶν οὕτω δυσκόλως, δύνασαι σωθῆναι· οὐκ ἀκούσεις αὐτοῦ· ὁ ἐχθρὸς γάρ ἐστιν ὁ ὑποβάλλων χαύνωσιν καὶ ὀλιγωρίαν, ἵνα σε καταβάλῃ ἀπὸ τῆς ἐναρέτου σου πολιτείας. Πολλὰ γάρ ἐστι μηχανήματα ἐκ τοῦ ἐχθροῦ γινόμενα τοῖς δούλοις τοῦ Θεοῦ. Ὑποβάλλει γὰρ τοῖς ἀνθρώποις, ἄρχεται καὶ ἐπαινεῖν λόγοις, πρὸς τὸ ὑψωθῆναι τὴν καρδίαν αὐτῶν. Σὺ δὲ μὴ καταδέξῃ ἔπαινον ἀνθρώπων. Ἐὰν δέ τίς σοι εἴπῃ, Μακαρία εἶ· λέγε αὐτῷ· Ἐὰν ἐξέλθω ἐκ τοῦ σώματος τούτου καλῶς τελειώσασα, τότε μακαρισθήσομαι. Ἄρτι γὰρ οὐ πιστεύω ἐμαυτῇ, ὅτι μακαρία εἰμί. Οἱ γὰρ ἄνθρωποι, ὡς ἄνεμος, οὕτω μεταβαλλόμεθα. Πολλάκις δὲ ὑποβάλλει σοι ἐξουθενεῖν τοὺς ἐσθίοντας· μὴ πιστεύσῃς αὐτῷ· ἀλλότριος γάρ ἐστι· πάντων γὰρ ἐλαχιστοτέραν σεαυτὴν λογίζου, ἵνα πολλοὺς προάξῃς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ παρὰ Θεῷ ὑψωθήσῃ. Ὑποβάλλει δὲ ὁ ἐχθρὸς καὶ ἄσκησιν μεγάλην, ἵνα τὸ σῶμα ἀσθενὲς καὶ ἀχρήσιμον ποιήσῃ. Σοῦ οὖν ἡ νηστεία μέτρον ἐχέτω. Νήστευσον οὖν ὅλον τὸν ἐνιαυτὸν χωρὶς πάσης ἀνάγκης· ὥρᾳ δὲ ἐνάτῃ τῆς ἡμέρας, ἐν ὕμνοις καὶ προσευχαῖς διατελέσασα, μετελάμβανε τῶν ἄρτων σου ἐν λαχάνῳ ἀναπεποιημένῳ ἐλαίῳ. Πάντα ἁγνὰ ὅσα ἄψυχα.

---

1. Α' Τιμ. 6, 10.

9. Σὺ δέ, ὦ παρθένε, μηθεὶς καταμανθανέτω τὴν ἄσκησίν σου, μηδὲ αὐτῶν ἰδίων σου συγγενῶν· ἀλλ' εἴ τι ποιεῖς, ἐν κρυπτῷ ποίει· καὶ ὁ Πατήρ σου ὁ οὐράνιος, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Ἐὰν δὲ φανερώσῃς σου τὸν βίον, κενοδοξία σοι τίκτεται, καὶ ζημιοῖ· ἐὰν δὲ εὕρῃς ψυχὴν ὁμοσύμφωνον πονοῦσαν τῷ Θεῷ, ὡς καὶ σύ, ταύτῃ μόνῃ ἀποκάλυψον ἐν μυστηρίῳ· ἐκεῖ οὐκ ἔστι κενοδοξία. Ἐλάλησας γάρ, ἵνα σωθῇ ψυχή· πολὺν μισθὸν λήψῃ, ἐὰν σωθῇ διὰ σοῦ ψυχή. Τοῖς ἔχουσι πόθον ἀκούειν λάλει τὰ συμφέροντα. Ἐὰν δὲ ἀκούῃ καὶ μὴ ποιῇ, μηδὲν λάλει. Λέγει γὰρ ὁ Κύριος· «Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί· μηδὲ βάλλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων.[1]» Κύνας γὰρ καὶ χοίρους ἀποκαλεῖ ὁ Χριστὸς τοὺς ἐν ἀτίμῳ βίῳ διάγοντας· μαργαρῖται γὰρ τίμιοί εἰσιν οἱ τοῦ Θεοῦ λόγοι, τοῖς ἀξίοις μόνοις διδόμενοι.

10. Ὢ μακαρία ψυχὴ ἡ ἀκούσασα τούτους τοὺς λόγους τοὺς γεγραμμένους ἐν τῷ βιβλίῳ τούτῳ, καὶ ποιοῦσα! Μαρτύρομαι παντὶ ἀνθρώπῳ, ἀκούοντι τὰ ῥήματα ταῦτα καὶ ποιοῦντι, ὅτι τὸ ὄνομα αὐτοῦ γραφήσεται ἐν τῇ βίβλῳ τῆς ζωῆς, καὶ ἐν τῷ τρίτῳ τάγματι τῶν ἀγγέλων εὑρεθήσεται. Ἐάν οὖν προσεύχῃ ἢ ψάλλῃς, ἢ ἀναγινώσκῃς, κατ' ἰδίαν κάθου· μηδεὶς ἀκουέτω, εἰ μὴ σὺ μόνη. Καὶ ἐὰν ἔχῃς ὁμοψύχους μίαν ἢ δύο παρθένους· λέγει γὰρ ὁ Χριστός· «Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν [2]», ἀπόθου τὸ γυναικεῖον φρόνημα, καὶ λάβε θάρσος καὶ ἀνδρείαν. Ἐν γὰρ τῇ βασιλείᾳ τῶν οὐρανῶν, οὐκ ἔστιν ἄρρεν καὶ θῆλυ, ἀλλὰ πᾶσαι αἱ ἀρεστήσασαι γυναῖκες ἀνδρῶν τάξιν λαμβάνουσιν. Ἐπιλάθου τὰ νεωτερικὰ σχήματα, ἵνα λάβῃς τιμὴν τῆς καλῆς χήρας. Λέγει γὰρ ὁ ἅγιος Παῦλος· «Τίμα χήρας, τὰς ὄντως χήρας. Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. Ἡ δὲ σπαταλῶσα τέθνηκε. Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή· εἰ ἐξενοδόχησεν, εἰ ἐτεκνοτρόφησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.[3]

11. Σὺ δέ, εἰ μὲν οὐ ποιεῖς τὰ νεωτερικὰ σχήματα, οὐκ ἀκούεις νεωτέρα, ἀλλὰ καὶ πρεσβῦτις ἀποκαλῇ, καὶ τιμὴν ἔχεις, ὡς πρεσβυτέρα. Ἡ ὑπόστασις τῶν ἱματίων σου μὴ ἤτω πολύτιμος· ὁ ἐπενδύτης σου μέλας, μὴ βεβαμμένος ἐν βαφῇ, ἀλλ' αὐτοφυὴς ἰδιόχροος, ἢ ὀνυχίζων· καὶ τὸ μαφόριον ἄκροσσον, ὡσαύτως τῆς αὐτῆς χρόας· καὶ χειρίδια ἐρεᾶ περικαλύπτοντα τοὺς βραχίονας ἕως τῶν δακτύλων τῶν χειρῶν, τὰς τρίχας τῆς κεφαλῆς περικεκομμένας, καὶ κεφαλοδέσμιον ἐρεοῦν περισφίγγον τὴν κεφαλήν, καὶ κουκούλιον, καὶ ἐπώ-

1. Ματθ. 7, 6. 2. Ματθ. 18, 20. 3. Α' Τιμ. 5, 3-13.

μιον ἄκροσσον. Ἐὰν δὲ συναντᾷς ἀνθρώπῳ, τὸ πρόσωπον κατακεκαλυμμένον ἔστω, κάτω νεῦον, καὶ οὐκ ἐπάρῃς ἀνθρώπῳ τὸ πρόσωπόν σου, εἰ μὴ μόνον τῷ Θεῷ σου. Ὅταν στῇς εἰς προσευχήν, τοὺς πόδας σου περικεκαλυμμένους ἔχε ἐν ὑποδήμασιν. Αὐτὸς γὰρ ὁ στολισμὸς ἱεροπρεπής ἐστιν. Οὐκ ἐκδύσῃ γυμνή· νυκτὸς δὲ καὶ ἡμέρας τὸ ἱμάτιόν σου ἔστω καλῦπτον τὴν σάρκα σου. Οὐ μὴ ἴδῃ ἄλλη γυνὴ τὸ σῶμά σου γυμνὸν ἄνευ πάσης ἀνάγκης· ἀλλ' οὐδὲ αὐτὴ κατανοήσεις ἀποκεκαλυμμένη τῷ σώματι. Ἐξ ὅτου γὰρ ἐτάξω τῷ Θεῷ ἐγκρατεύεσθαι, τὸ σῶμά σου ἡγιασμένον ἐστί, καὶ ναός ἐστι τοῦ Θεοῦ. Οὐ χρὴ οὖν τὸν ναὸν τοῦ Θεοῦ ἀποκαλύπτεσθαι ὑπό τινος. Οὐ πορεύσῃ εἰς βαλανεῖον ὑγιαίνουσα ἄνευ πάσης ἀνάγκης, οὐ μὴ βάψῃς ὅλον τὸ σῶμά σου εἰς ὕδωρ, ὅτι ἁγία εἶ Κυρίῳ τῷ Θεῷ· καὶ οὐ μιανεῖς τὴν σάρκα σου ἐν οὐδενὶ κοσμικῷ, ἀλλὰ μόνον τὸ πρόσωπόν σου νίψαι, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας. Ὅταν νίψῃς τὸ πρόσωπόν σου, οὐ νίψῃ ταῖς δύο χερσίν, οὐδὲ ἐκτρίψῃ τὰ μῆλα τῆς ὄψεώς σου, οὐδὲ μὴ βάλῃς πόαν, οὐδὲ νίτρον, οὐδὲ τὰ ὅμοια τούτοις· αἱ κοσμικαὶ γὰρ ταῦτα ποιοῦσιν· ἀλλ' ἐν ὕδατι καθαρῷ νίψῃ.

12. Οὐκ ἐπιχρίσῃ τὸ σῶμά σου μύρῳ πολυτελεῖ, οὐδὲ ἐπιβαλεῖς ἐπὶ τὰ ἱμάτιά σου ἀρώματα πολύτιμα. Ἐὰν δὲ τὸ σῶμά σου ἀσθενέστερον γένηται, χρῆσαι οἴνῳ ὀλίγῳ διὰ τὸν στόμαχον.[1] Ἐὰν δέ, ὃ μὴ γένοιτο! εἰς κάκωσιν ἐμπέσῃς, σεαυτῆς ἐπιμέλου, μὴ δῷς τόπον τοῖς ἀνθρώποις λέγειν, ὅτι ἐκ τῆς ἀσκήσεως αὐτῆς συνέβη αὐτῇ ἡ κάκωσις. Ἀλλὰ πρὶν ἤ τινα εἰπεῖν σοι, σὺ σεαυτῆς φρόντιζον, ἕως ἂν ταχὺ ἀναστῇς, καὶ πάλιν τὸν κανόνα σου ἑλκύσῃς. Ὅλον τὸν χρόνον τῆς ζωῆς σου ἐν νηστείαις, καὶ προσευχαῖς, καὶ ἐλεημοσύναις διατέλει. Μακάριος ὁ ἀκούων ταῦτα καὶ ποιῶν αὐτά. Νυκτὸς καὶ ἡμέρας μὴ ἀποστήτω ὁ λόγος τοῦ Θεοῦ ἐκ τοῦ στόματός σου. Ἤτω δὲ τὸ ἔργον σου διὰ παντὸς μελέτη τῶν θείων Γραφῶν. Ψαλτήριον ἔχε, καὶ τοὺς ψαλμοὺς μάνθανε. Ἀνατέλλων ὁ ἥλιος βλεπέτω τὸ βιβλίον ἐν ταῖς χερσί σου, καὶ μετὰ τρίτην ὥραν συνάξεις ἐπιτέλει, ὅτι ταύτῃ τῇ ὥρᾳ ἐπάγῃ τὸ ξύλον τοῦ σταυροῦ. Ἕκτῃ ὥρᾳ ὁμοίως ἐπιτέλει σου τὰς προσευχάς· μετὰ ψαλμῶν, καὶ κλαυθμοῦ, καὶ δεήσεως· ὅτι αὐτῇ τῇ ὥρᾳ ἐκρεμάσθη ὁ Υἱὸς τοῦ Θεοῦ ἐπὶ τοῦ σταυροῦ. Ἐνάτῃ ὥρᾳ πάλιν ἐν ὕμνοις καὶ δοξολογίαις, μετὰ δακρύων ἐξομολογουμένη τὰ παραπτώματά σου, τὸν Θεὸν ἱκέτευε, ὅτι ἐν αὐτῇ τῇ ὥρᾳ ὁ Κύριος κρεμάμενος ἐπὶ σταυροῦ ἀπέδωκε τὸ πνεῦμα. Καὶ μετὰ τὴν σύναξιν τῆς ἐνάτης ἔσθιε τὸν ἄρτον σου, εὐχαριστήσασα τῷ Θεῷ ἐπὶ τῆς τραπέζης σου οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν, «ὁ διδοὺς τροφὴν πάσῃ σαρκί·[2]» πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθόν[3], ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ'

1. Πρβλ. Α' Τιμ. 5, 23. 2. Ψαλμ. 135, 25. 3. Πρβλ. Β' Κορ. 9, 8.

οὗ σοι πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

13. Καὶ ὅταν καθεσθῇς ἐπὶ τῆς τραπέζης, καὶ ἔρχῃ κλᾶσαι τὸν ἄρτον, σφραγίσασα αὐτὸν τρίτον τὸ σημεῖον τοῦ σταυροῦ, οὕτως εὐχαριστοῦσα λέγε· Εὐχαριστοῦμέν σοι, Πάτερ ἡμῶν, ὑπὲρ τῆς ἁγίας ἀναστάσεώς σου· διὰ γὰρ Ἰησοῦ τοῦ Παιδός σου ἐγνώρισας ἡμῖν αὐτήν· καὶ καθὼς ὁ ἄρτος οὗτος διεσκορπισμένος ὑπῆρχεν ὁ ἐπάνω ταύτης τῆς τραπέζης, καὶ συναχθεὶς ἐγένετο ἕν· οὕτως ἐπισυναχθήτω σου ἡ Ἐκκλησία ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν βασιλείαν σου, ὅτι σού ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ ταύτην μὲν τὴν εὐχὴν ἐν τῷ κλᾶν τὸν ἄρτον, καὶ θέλειν ἐσθίειν, ὀφείλεις λέγειν· ἐν δὲ τῷ θεῖναι τοῦτον ἐν τῇ τραπέζῃ, καὶ καθεσθῆναι βούλει, τό, «Πάτερ ἡμῶν», λέγε ὁλόκληρον· τὴν δὲ προγεγραμμένην εὐχήν, τό, «Εὐλογητὸς ὁ Θεός», ἀριστήσαντες καὶ ἐγειρόμενοι ἐκ τῆς τραπέζης λέγομεν. Ἐὰν δὲ συμπαρῶσι μετὰ σοῦ δύο παρθένοι ἢ τρεῖς, εὐχαριστείτωσαν ἐπὶ τὸν προκείμενον ἄρτον, καὶ συνευχέσθωσαν. Ἐὰν δὲ εὑρεθῇ κατηχουμένη ἐν τῇ τραπέζῃ, μὴ συνευχέσθω μετὰ τῶν πιστῶν, οὐδὲ μὴ καθίσῃς φαγεῖν τὸν ψωμόν σου μετ' αὐτῆς, οὐδὲ πάλιν καθίσεις φαγεῖν τὸν ψωμόν σου μετὰ γυναικῶν ἀμελεστέρων καὶ γελοιαστριῶν ἄνευ ἀνάγκης· σὺ γὰρ ἁγία εἶ Κυρίῳ τῷ Θεῷ σου, καὶ τὸ βρῶμά σου καὶ τὸ πόμα σου ἡγιασμένον ἐστί· διὰ γὰρ τῶν προσευχῶν καὶ τῶν ἁγίων ῥημάτων ἁγιάζεται. Παρθένοι εὐλαβεῖς καὶ θεοσεβεῖς συμφάγωνταί σοι· οὐ συνδειπνήσεις μετὰ γυναικῶν ὑπερηφάνων, οὐδ' οὐ μὴ κτήσῃ φίλην γυναῖκα ἀλαζόνα. Λέγει γὰρ ἡ θεία Γραφή· «Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.[1]» Καθεζομένης πλουσίας μετὰ σοῦ ἐπὶ τῆς τραπέζης, ἐὰν ἴδῃς γυναῖκα πενιχράν, καλέσεις αὐτὴν εἰς τὸ φαγεῖν, καὶ οὐκ αἰσχυνθήσῃ εἰς τὴν πλουσίαν. Μὴ ἀγαπήσῃς τὴν δόξαν τῶν ἀνθρώπων ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ· ὁ γὰρ Θεὸς τῶν πτωχῶν καὶ τῶν ἐξουδενωμένων ἐστί.

14. Μακαρία ψυχὴ ἡ φυλάσσουσα ταῦτα. Οὐκ ἀγαθὸν νεωτέραν συναναστρέφεσθαι μετὰ νεωτέρας· εἰ δὲ μή γε, οὐδὲν καλὸν πράττουσι· μία γὰρ τῆς μιᾶς παρακούει, καὶ μία τῆς μιᾶς καταφρονεῖ. Ἀλλὰ νεωτέραν ὑπὸ πρεσβύτιδα εἶναι ἀγαθόν. Ἡ γὰρ πρεσβῦτις οὐ συγκαταβαίνει τοῖς θελήμασι τῆς νεωτέρας. Οὐαὶ παρθένῳ τῇ μὴ οὔσῃ ὑπὸ κανόνα· ἔστι γὰρ ὡς πλοῖον τὸν κυβερνῶντα μὴ ἔχον. Κεκλασμένων γὰρ τῶν αὐχένων, μὴ ἔχον τὸν ὁδηγόν, ῥίπτεται ὑπὸ τῶν κυμάτων τῇδε κἀκεῖσε, ἕως προσκρούσει πρὸς πέτραν, καὶ εὐθὺς ἀπόλλυται. Οὕτως ἐστὶ πᾶσα παρθένος μὴ ἔχουσα ὃν φοβεῖται. Μακαρία παρθένος ἡ οὖσα ὑπὸ κανόνα· ἔσται γὰρ ὡς ἄμπελος ἐν παραδείσῳ καρποφόρος· καὶ ἐλθὼν ὁ γεωργὸς αὐτῆς, διακαθαίρει τὰ κλήματα αὐτῆς καὶ ποτίζει,

1. Σοφ. Σειρ. 13, 1.

καὶ κνίζει τὰς σαπρὰς βοτάνας τὰς κύκλῳ αὐτῆς. Ἐκείνη δέ, ἔχουσα τὸν πονοῦντα, ἀποδίδωσι τίμιον τὸν καρπὸν αὐτῆς ἐν καιρῷ εὐθέτῳ. Φύλασσε δέ, καὶ ποίει καὶ τὰς δοξολογίας τὰς ἐπὶ τῆς τραπέζης, καὶ ἔσται σοι τὸ βρῶμα καὶ τὸ πόμα ἡγιασμένον. Ὅταν οὖν ἀναστῆς ἀπὸ τῆς τραπέζης πάλιν εὐχαριστοῦσα λέγε ἐπὶ τρίς· «Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.[1] Δόξα Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.» Καὶ μετὰ τὴν δοξολογίαν πάλιν τὴν εὐχὴν πλήρωσον, λέγουσα οὕτως· Ὁ Θεὸς ὁ παντοκράτωρ, καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, εὐχαριστοῦμεν καὶ αἰνοῦμέν σε, ὅτι κατηξίωσας ἡμῖν μεταλαβεῖν τῶν ἀγαθῶν τῶν σῶν, τῶν σαρκικῶν τροφῶν. Δεόμεθα καὶ παρακαλοῦμέν σε, Κύριε, ἵνα καὶ τὰς ἐπουρανίους τροφὰς ἡμῖν δωρήσῃ. Καὶ δὸς ἡμῖν τρέμειν καὶ φοβεῖσθαι τὸ φρικτὸν καὶ ἔντιμον ὄνομά σου, καὶ μὴ παρακούειν τῶν ἐντολῶν σου· τὸν νόμον σου, καὶ τὰ δικαιώματά σου ἐγκατάθου ἐν ταῖς καρδίαις ἡμῶν· ἁγίασον δὲ ἡμῶν τὸ πνεῦμα, καὶ τὴν ψυχήν, καὶ τὸ σῶμα, διὰ τοῦ ἠγαπημένου Παιδός σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, μεθ' οὗ σοι πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

15. Εἰσὶ γὰρ πλείονες τῶν κοσμικῶν, οἵτινές εἰσιν ἀνόητοι, καὶ ὡς τὰ ἄλογα ζῷα τρεφόμενοι. Ἀνιστάμενοι πρωῒ καὶ ζητοῦντες τίνα πλεονεκτήσουσι, τίνα καταδυναστεύσουσιν, ἵνα ἐμπλήσωσιν τὴν αἰσχρὰν αὐτῶν γαστέρα. Οὗτοι οὐκ οἴδασι τὸν Θεὸν δοξάζειν ἐπὶ τῆς τραπέζης. Ἐπὶ τούτων εἶπεν ὁ θεσπέσιος Παῦλος· «Οὗτοί εἰσιν οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.[2]» Οὗτοι χείρονες καὶ τῶν θηρίων καὶ τῶν κτηνῶν εἰσι· τὰ γὰρ κτήνη καὶ τὰ θηρία οἴδασι τὸν ποιήσαντα αὐτοὺς Θεὸν καὶ εὐλογοῦσιν αὐτόν· οἱ δὲ ἄνθρωποι, οἱ ἀπὸ τῶν χειρῶν αὐτοῦ πλασθέντες, καὶ εἰκόνα αὐτοῦ φοροῦντες οὐκ οἴδασι τὸν ποιήσαντα αὐτούς· ἀλλ' ὁμολογοῦσιν αὐτὸν μὲν ἐν τῷ στόματι αὐτῶν, τοῖς δὲ ἔργοις ἀρνοῦνται αὐτόν· «Σὺ πιστεύεις, ὅτι ἔστι Θεός, καλῶς ποιεῖς, καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίττουσιν· ἀλλ' ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.[3]» Τί γὰρ ὠφελεῖται ἄνθρωπος ὁμολογῶν, ὅτι ἕνι Θεός, τοῖς δὲ ἔργοις αὐτοῦ τοῖς πονηροῖς ἀρνεῖται αὐτόν; Πῶς ὁμολογεῖ δεσπότην ἔχειν, μὴ δουλεύων αὐτῷ; διὰ τοῦτο γὰρ ἀκούει τοῦ Κυρίου αὐτοῦ. Καὶ οἱ δοῦλοι οἴδασι τοὺς ἀγοράσαντας αὐτούς, καὶ τιμῶσιν αὐτούς, καὶ ἡμεῖς ὀφείλομεν τιμᾶν αὐτόν, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ. Αὐτὸς γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ Εὐαγγελίῳ ἐμαρτύρησε λέγων· «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν

1. Ψαλμ. 110, 4, 5. 2. Φιλιπ. 3, 18, 20. 3. Ἰακ. 2, 19, 20.

τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου, τοῦ ἐν οὐρανοῖς[1]» καὶ πάλιν· «Οὐ μὴ λήψῃ τὸ ὄνομα Κυρίου Θεοῦ σου ἐπὶ ματαίῳ.[2]» Καὶ πάλιν προσέταξεν ἡμῖν λέγων· «Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.[3]» Θέλεις δὲ γνῶναι, ὅτι τὰ θηρία καὶ τὰ κτήνη οἴδασι τὸν Θεόν, καὶ εὐλογοῦσιν αὐτόν; ἄκουε τοῦ ἁγίου Πνεύματος προστάττοντος αὐτοῖς ἐν ὕμνοις· «Εὐλογεῖτε, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.[4]» Εἰ μὴ ηὐλόγουν, οὐκ ἂν αὐτοῖς προσέταττεν. Οὐκ αὐτὰ δὲ μόνον εὐλογοῦσι τὸν Θεόν, ἀλλὰ καὶ πᾶσα ἡ κτίσις ἡ φαινομένη καὶ ὁρωμένη τὰ ἀμφότερα αὐτῶν ἀκαταπαύστως ὁμολογεῖ.

16. Καὶ σὺ οὖν, δούλη τοῦ Θεοῦ, εἴτε ἐγείρῃ, εἴτε καθέζῃ, εἴτε ἔργον τι ποιῇς, εἴτε ἐσθίῃς, εἴτε ἐπὶ τῆς κοίτης σου ἔρχῃ πρὸς ὕπνον, εἴτε ἀνισταμένη, μὴ ἀποστήτω ὁ ὕμνος τοῦ Θεοῦ ἀπὸ τῶν χειλέων σου. Μακάρια τὰ ὦτα τὰ δεχόμενα τοὺς λόγους τούτους. Ἐὰν δὲ εἰσέλθῃς τῇ δωδεκάτῃ ὥρᾳ, μειζοτέραν καὶ πυκνοτέραν ἐπιτελέσεις τὴν σύναξιν μετὰ τῶν ὁμοψύχων σου παρθένων. Ἐὰν δὲ μὴ ἔχῃς ὁμόψυχον, μόνη ἐπιτέλει, τοῦ Θεοῦ συνόντος καὶ ἀκούοντος. Καλὸν τὸ ἐκχέειν δάκρυον ἐνώπιον τοῦ Θεοῦ. Μνημόνευε τὴν δωδεκάτην ὥραν, ὅτι ἐν αὐτῇ καταβέβηκεν ὁ Κύριος ἡμῶν εἰς τὸν ᾅδην· καὶ ἰδὼν αὐτὸν ὁ ᾅδης ἔφριξε, καὶ ἐξέστη λέγων· Τίς ἐστιν οὗτος, ὁ ἐν ἐξουσίᾳ καὶ μεγάλῃ δυνάμει κατελθών; Τίς οὗτος, ὁ τὰς πύλας τοῦ ᾅδου τὰς χαλκᾶς συντρίβων, καὶ τοὺς μοχλοὺς τοὺς ἀδαμαντίνους συνθλάσας;[5] Τίς οὗτος, ὁ ἐξ οὐρανῶν κατελθὼν καὶ σταυρωθείς, καὶ ὑπ' ἐμοῦ τοῦ θανάτου μὴ κρατούμενος; Τίς οὗτος, ὁ λύων τὰ δεσμὰ τῶν ὑπ' ἐμοῦ κρατουμένων; Τίς οὗτος, ὁ τῷ ἰδίῳ θανάτῳ ἐμὲ τὸν θάνατον καταλύων;

17. Διὰ τοῦτο ὀφείλομεν ἑαυτοῖς προσέχειν ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ ἐν δάκρυσιν ἐν νυκτὶ παρακαλεῖν τὸν Κύριον. Μεγάλη γὰρ ἀρετή ἐστι τὸ δάκρυον, καὶ μέγα κατόρθωμα, καὶ μεγάλαι ἁμαρτίαι καὶ ἀνομίαι διὰ δακρύων ἀπαλείφονται. Μαρτυρεῖ δέ μοι τὸ ἅγιον Εὐαγγέλιον. Ὅτε γὰρ ὁ Σωτὴρ παρεδόθη τοῖς Ἰουδαίοις, ὁ Πέτρος μεθ' ὅρκου τρίτον αὐτὸν ἠρνήσατο πρὶν ἀλέκτορα φωνῆσαι. Ὁ δὲ Κύριος στραφεὶς ἐνέβλεψε τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ· «Πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς·[6] καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.[7]» Ὁρᾷς τὸ φάρμακον τῶν δακρύων· ἐθεάσω οἵαν ἀνομίαν ἐξήλειψε. Τί γὰρ χεῖρον τοῦ κακοῦ τούτου, ὅτι τρίτον μεθ' ὅρκου τὸν ἑαυτοῦ δεσπότην ἠρνήσατο, καὶ τὴν τηλικαύτην ἀνομίαν διὰ δακρύων ἐξήλειψεν. Ὁρᾷς ἡλίκην δύναμιν ἔχουσι τὰ δάκρυα· ἐκεῖνα γὰρ ἐγράφη εἰς τὴν ἡμετέραν νουθεσίαν, ἵνα ἡμεῖς ἐκείνοις ἐπακολουθήσαντες, ζωὴν αἰώνιον κληρονομήσω-

---

1. Ματθ. 7, 21. 2. Ἔξ. 20, 7. 3. Β' Τιμ. 2, 19. 4. Δαν. (Ὕμν. τριῶν παίδ. 58). 5. Πρβλ. Ψαλμ. 106, 16. 6. Ματθ. 26, 34. 7. Ματθ. 26, 75.

μεν. Οὐχ οἱ πολλοὶ ἔχουσι τὸ χάρισμα τῶν δακρύων, ἀλλ' ὅσοι τὸν νοῦν ἔχουσιν ἄνω, ὅσοι τῶν γηΐνων ἐπιλανθάνονται, ὅσοι τῆς σαρκὸς πρόνοιαν οὐ ποιοῦσιν, οἵτινες οὐκ ἐπίστανται ὅλως, εἰ εἴη κόσμος, οἵτινες ἐνέκρωσαν τὰ μέλη, τὰ ἐπὶ τῆς γῆς, τούτοις μόνοις δίδοται πένθος δακρύων. Καθαρὸν γὰρ ἔχοντες τὸν νοῦν, καὶ ὀξύδορκον τὸ βλέμμα τῆς διανοίας, ἔτι ὄντες ἐπὶ τῆς γῆς, βλέπουσι τὰς κολάσεις τὰς ἐν τῷ ᾅδῃ, καὶ τὰς βασάνους τὰς αἰωνίους, ἐν αἷς οἱ ἁμαρτωλοὶ κολάζονται, καὶ τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸ σκότος τὸ ἐξώτερον, καὶ τὸν κλαυθμόν, καὶ τὸν βρυγμὸν τῶν ὀδόντων. Βλέπουσι δὲ καὶ τὰ ἐπουράνια χαρίσματα, ἃ ἐχαρίσατο ὁ Θεὸς τοῖς ἁγίοις, καὶ τὰς δόξας, καὶ τοὺς στεφάνους, καὶ τὰς στολὰς τὰς ἁγίας, καὶ τὰ βασιλικὰ ἐνδύματα καὶ τὰ φωτεινὰ ταμιεῖα, καὶ τὰς τρυφὰς τὰς ἀνεκδιηγήτους, καὶ τὴν ζωὴν τὴν αἰώνιον. Καὶ τί ἔτι οὐ λέγω; Καὶ τὸ μεῖζον πάντων θαῦμα, ὅτι ὁ ἔχων καθαρὸν τὸν νοῦν καὶ αὐτὸν τὸν Θεὸν ἐν τοῖς ἔνδον ὀφθαλμοῖς καθορᾷ. Πῶς οὖν οὐ θέλει κλαῦσαι καὶ πενθῆσαι ὁ ταῦτα βλέπων; Κλαίει μὲν γὰρ καὶ ὀδύρεται, ὅπως ῥυσθῇ ἀπὸ τῶν δεινῶν κολάσεων· καὶ πάλιν κλαίει καὶ ἀξιοῖ δεόμενος, ὅπως ἀξιωθῇ τῶν ἐπουρανίων ἐκείνων ἀγαθῶν.

18. Διὰ τοῦτο ἐμίσησαν οἱ ἅγιοι τὸν κόσμον τοῦτον, εἰδότες ὁποῖα ἀγαθὰ μέλλουσι κληρονομῆσαι. Ὥστε οὖν ὁ ἔχων ἀνάπαυσιν ἐν τῷ κόσμῳ τούτῳ τὴν αἰώνιον ἀνάπαυσιν μὴ ἐλπιζέτω λαβεῖν. Ἡ βασιλεία γὰρ τῶν οὐρανῶν οὐκ ἔστι τῶν ἀναπαυομένων ἐνθάδε, ἀλλ' ἐκείνων ἐστὶ τῶν ἐν θλίψει πολλῇ καὶ στενοχωρίᾳ διαξάντων τὸν βίον τοῦτον. Οὐ γὰρ ἔλαβον αὐτὴν δωρεὰν οἱ λαβόντες, ἀλλὰ μετὰ μεγάλων μόχθων καὶ γενναίων ἱδρώτων αὐτὴν ἐκτήσαντο οἱ καταξιωθέντες. Οὐ μέλει αὐτοῖς, ὅσον ἐὰν κοπιάσωσιν ὧδε. Εἰσελθόντες γὰρ ἐκεῖ, ἐπιλανθάνονται τῶν πόνων καὶ τῶν ὀδυνῶν, ὅσα ἔπαθον ἐν τῷ ματαίῳ κόσμῳ τούτῳ, ἀπὸ τῆς πολλῆς καὶ ἀνεκδιηγήτου ἀναπαύσεως τῆς δεδομένης αὐτοῖς. Τί λέγεις, ἄνθρωπε; Ἰδοὺ δύο ὁδοὶ παρετέθησαν ἐνώπιόν σου, ἡ ζωὴ καὶ ὁ θάνατος· ὅπου ἐὰν θέλῃς πορεύου. Καὶ ἰδοὺ πῦρ καὶ ὕδωρ· ὅπου ἐὰν θέλῃς ἔκτεινον τὴν χεῖρά σου· ἐπὶ σοί ἐστιν, ἐὰν θέλῃς κτήσασθαι τὴν ζωήν, καὶ ἐπὶ σοί ἐστιν, ἐὰν θέλῃς κτήσασθαι τὸν θάνατον. Ὁ οὖν θάνατός ἐστιν ὁ κόσμος· ἡ δὲ ζωή ἐστιν ἡ δικαιοσύνη· μακρὰν οὖν ὁ κόσμος ἀπὸ τῆς δικαιοσύνης, καθ' ὅσον ὁ θάνατος ἀπὸ τῆς ζωῆς. Ἐὰν οὖν πορεύῃ ἐν τῷ κόσμῳ, ἐν τῷ θανάτῳ πορεύῃ καὶ ἐκτὸς τοῦ Θεοῦ γίνῃ, κατὰ τὴν θείαν Γραφήν. Ἐὰν δὲ ἐν τῇ δικαιοσύνῃ πορεύῃ, ἐν τῇ ζωῇ πεπόρευσαι, καὶ οὐ μὴ ἅψηταί σου θάνατος. Οὐκ ἔστι γὰρ παρὰ τοῖς δικαίοις θάνατος, ἀλλὰ μετάθεσις. Μετατίθεται γὰρ ὁ δίκαιος ἀνὴρ ἐκ τοῦ κόσμου τούτου εἰς τὴν αἰώνιον ἀνάπαυσιν· καὶ ὥσπερ τις ἀπὸ φυλακῆς ἐξέλθοι, οὕτω καὶ οἱ ἅγιοι ἐξέρχονται ἀπὸ τοῦ μοχθηροῦ βίου τούτου εἰς τὰ ἀγαθὰ τὰ ἡτοιμασμένα αὐτοῖς· «Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ

Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.[1]» Οἱ δὲ ἁμαρτωλοὶ καὶ ὧδε κακῶς μοχθοῦσι, καὶ ἐκεῖ πάλιν τὸ πῦρ αὐτοὺς ἀναμένει. Καὶ τοὺς τοιούτους διπλῶς δεῖ κλαῦσαι, ὅτι καὶ ὧδε ἐν στενοχωρίᾳ εἰσί, καὶ ἐκεῖ τὴν εὐρυχωρίαν οὐκ ἀπολαμβάνουσι. Διὰ τοῦτο εἴρηκεν ἡ θεία Γραφή· «Ὅπου ἐὰν στραφῇ ὁ ἀσεβής, ἀφανίζεται.[2]» Στενὰ γὰρ αὐτῷ πάντοθεν· καὶ ἐκεῖ ὀδύναι, καὶ ὧδε θλίψεις. Οὐκ ἔνι γὰρ ἄνθρωπος ὁ μὴ κοπιῶν ἐν τῷ μοχθηρῷ βίῳ τούτῳ· καὶ ὁ πτωχὸς καὶ ὁ πλούσιος, καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, καὶ ὁ ἁμαρτωλὸς καὶ ὁ δίκαιος, πάντες ὁμοίως κοπιῶσι, καὶ ἓν συνάντημα τοῖς πᾶσι συμβήσεται, καὶ τῷ ἁμαρτωλῷ καὶ τῷ δικαίῳ, ὧδε ἐν τῷ κόσμῳ τούτῳ.

19. Ἐκεῖ δὲ οὐκ ἔστιν οὕτως, ἀλλὰ ἄλλη καὶ ἄλλη τάξις. Ἄλλος γὰρ ὁ κόπος τοῦ δικαίου ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἄλλος ὁ τοῦ ἁμαρτωλοῦ. Ὁ μὲν γὰρ δίκαιος κοπιᾷ, οὐχ ἵνα πλήσῃ γαστέρα· οὐδὲ γὰρ ὅλως τῆς σαρκὸς πρόνοιαν ποιεῖται, οὐδὲ λογίζεται, ὅτι σάρκα φορεῖ· ἀλλὰ κοπιᾷ νυκτὸς καὶ ἡμέρας ζητῶν τὸν Θεόν, πολλὰ τοῦ ὕπνου μὴ χορταζόμενος, ἄρτου καὶ ὕδατος μὴ ἐμπιπλῶν τὴν ψυχήν, ἐπὶ ἐρήμοις πλανώμενος, ὑποπιάζων τὸ σῶμα ἐν κακοπαθείᾳ πολλῇ, ἕως οὗ ἀπολάβῃ τὸν ἀμαράντινον στέφανον τὸν ἀποκείμενον αὐτῷ. Ὁ δὲ ἁμαρτωλὸς κοπιᾷ καὶ μοχθεῖ οὐχ ἕνεκεν δικαιοσύνης, ἀλλ' ἕνεκεν τῆς ταλαιπώρου σαρκὸς ταύτης, ἕνεκεν τῆς αἰσχρᾶς γυναικός, ἄλλως καὶ ἄλλως μοχθῶν μὴ ἀρκούμενος τοῖς παροῦσιν, ἐν κακίᾳ καὶ φθόνῳ διατρίβων. Ἀλλὰ τούτων οὐδὲν ἐπίστανται οἱ ἄφρονες· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ ὕλη καὶ αἱ πολλαὶ φροντίδες τοῦ κόσμου, καὶ πλανῶνται, ἕως ἀποσταλῇ ἐπ' αὐτοὺς ὁ ἀπότομος στρατιώτης, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ οὐ μὴ λάβῃ δῶρα. Ἀχθήσονται γὰρ αἱ ψυχαὶ αὐτῶν μετὰ βίας ὑπὸ ἀγγέλων ἀνελεημόνων, καὶ λήψονται τὴν ἀπόφασιν αὐτῶν παρὰ τοῦ Θεοῦ. Κενοὶ γὰρ ὄντες, εἰς κενὰ καὶ ἐμόχθησαν ἐν τῷ κόσμῳ τούτῳ, τὰ τῆς γῆς εἰργάσαντες· διὰ τοῦτο καὶ αὐτοὶ εἰς ἀπώλειαν ἐχώρησαν. Οὐ γὰρ ἐμνήσθησαν τοῦ Θεοῦ ἐπὶ τῆς γῆς ὄντες, οὐδ' ἐμέλησεν αὐτοῖς μνησθῆναι τοῦ φόβου τοῦ Θεοῦ· διὰ τοῦτο οὐδὲ αὐτῷ μέλει περὶ αὐτῶν. Δίκαιος γὰρ ὁ Θεός, καὶ δικαία ἡ κρίσις αὐτοῦ.[3] Ὅταν γὰρ ἔλθῃ κρῖναι τὸν κόσμον, τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Μακαρία ἡ καρδία ἡ δεχομένη ταῦτα.

20. Μεσονύκτιον ἐγερθήσῃ, καὶ ὑμνήσεις Κύριον τὸν Θεόν σου. Ἐν αὐτῇ γὰρ τῇ ὥρᾳ ἀνέστη ὁ Κύριος ἡμῶν ἐκ νεκρῶν, καὶ ὕμνησε τὸν Πατέρα· διὰ τοῦτο αὐτῇ τῇ ὥρᾳ προσετάγη ἡμῖν ὑμνεῖν τὸν Θεόν. Ἀνισταμένη δὲ πρῶτον τοῦτον τὸν στίχον εἰπέ· «Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου·[4]» καὶ εὖξαι, καὶ ἄρξαι λέγειν τὸν πεντηκοστὸν ὅλον ψαλμόν, ἕως ἂν τελέσῃς. Καὶ ταῦτα ἔστωσάν σοι καθ' ἑκάστην ἡμέραν τεταγμέ-

---

1. Α' Κορ. 2, 9. 2. Παρμ. 12, 7. 3. Πρβλ. Ψαλμ. 118, 137. 4. Ψαλμ. 118, 62.

να. Τοσούτους δὲ ψαλμοὺς εἰπέ, ὅσους δύνῃ στήκουσα εἰπεῖν· καὶ κατὰ ψαλμὸν εὐχὴ καὶ γονυκλισία ἐπιτελείσθω, μετὰ δακρύων ἐξαγορεύουσα τῷ Κυρίῳ τὰς ἁμαρτίας σου, καὶ ἀξιοῦσα ἵνα ἀφεθῶσί σοι. Μετὰ δὲ τρεῖς ψαλμοὺς λέγε τό, Ἀλληλούϊα. Ἐὰν δὲ καὶ παρθένοι εἰσὶ μετὰ σοῦ, καὶ αὗται ψαλλέτωσαν, καὶ μία παρὰ μίαν τὴν εὐχὴν ἐπιτελεῖτε. Πρὸς ὄρθρον δὲ τὸν ψαλμὸν τοῦτον λέγετε· «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου·[1]» διάψαλμα δέ· «Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.[2]» Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.[3] Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε», καὶ τὰ ἑξῆς.

21. Τὴν δὲ ἀγάπην φυλάξωμεν, τὴν πάντων μείζονα. «Ἀγαπήσεις» γάρ, φησί, «Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ τὸν πλησίον σου, ὡς ἑαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.[4]» Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ αὐτὸς πρῶτος ἠγάπησε τὸν ἄνθρωπον, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν, ἵνα ἡμᾶς λυτρώσηται ἀπὸ πάσης ἀνομίας. Εἰ οὖν αὐτὸς ὁ Κύριος ἀπέθανε ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ ἀλλήλων τὰς ψυχὰς ἡμῶν θεῖναι. Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ ἔχων τὴν ἀγάπην τὸν Θεὸν ἔχει. Αὐτὸς γὰρ εἴρηκεν· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.[5]» Ὅσον γὰρ ἐὰν κοπιάσῃ ἄνθρωπος, καὶ μὴ ἔχῃ τὴν ἀγάπην εἰς τὸν πλησίον, εἰς μάτην ἐκοπίασεν. Οὕτω δὲ δείξεις τὴν ἀγάπην εἰς τὸν πλησίον, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ. Οὐ κρατήσεις κακίαν τινὸς εἰς τὴν καρδίαν σου· εἰ δὲ μή γε, οὐκ ἀνέρχεται ἡ εὐχή σου καθαρὰ πρὸς τὸν Θεόν· «Οὐκ ἐπιδύσεται γὰρ ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν.[6]» Πραότητα ἔχε, ὑπομονὴν ἔχε, μακροθυμίαν, νηπιότητα. Λέγει γὰρ ὁ Κύριος· «Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[7]»

22. Οὐ μὴ λυπηθήσῃ χαλεποῦ τινος συμβαίνοντός σοι, οὔτε ἐπὶ ζημίᾳ λυπηθήσῃ οὔτε ἐπὶ ὕβρει· «Ἡ λύπη γὰρ τοῦ κόσμου τούτου θάνατον κατεργάζεται.[8]» Ὑπὲρ τῶν ἁμαρτιῶν σου μόνον λυπηθήσῃ, ὑπὲρ ἄλλου δὲ πράγματος μικροῦ οὐ λυπηθήσῃ. Μὴ ὑψώσῃς τὴν φωνήν σου ὀργιζομένη πρός τινα· δούλην γὰρ Κυρίου οὐ δεῖ μάχεσθαι. Οὐκ ἐξελεύσεται κατάρα ἐκ τοῦ στόματός σου, οὐχ ὕβρις, οὐ κακολογία. Τὸ στόμα σου γὰρ ἡγιασμένον ἐστὶν ἐν τοῖς ὕμνοις καὶ δοξολογίαις τοῦ Θεοῦ. Οὐκ ἔστι καλὸν τὸ προέρχεσθαί σε χωρὶς μεγάλης ἀνάγκης. Τὴν ἡσυχίαν ἀγάπα ὅσον δύνασαι. Τῶν δούλων τοῦ Θεοῦ μὴ ἐπιλάθῃ, μηδὲ ἀπαλειφθήτωσαν ἐκ τῆς καρδίας σου. Ἐὰν ἅγιος ἔλθῃ

---

1. Ψαλμ. 62, 2. 2. Δαν. (Ὕμν. τριῶν παίδ. 34). 3. Λουκ. 2, 14. 4. Ματθ. 22, 37-40. 5. Ἰω. 13, 35. 6. Ἐφεσ. 4, 26. 7. Ματθ. 18, 3. 8. Β' Κορ. 7, 10.

εἰς τὴν οἰκίαν σου, οὕτως αὐτὸν πρόσδεξαι, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ· λέγει γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· «Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται.[1]» Ἐὰν εἰσέλθῃ ἀνὴρ δίκαιος εἰς τὸν οἶκόν σου, μετὰ φόβου καὶ τρόμου ἀπαντήσεις αὐτῷ, καὶ προσκυνήσεις ἐνώπιον τῶν ποδῶν αὐτοῦ ἐπὶ τὴν γῆν. Οὐ γὰρ αὐτὸν προσκυνήσεις, ἀλλὰ τὸν Θεὸν τὸν ἀποστείλαντα αὐτόν. Λήψῃ δὲ ὕδωρ καὶ νίψεις τοὺς πόδας αὐτοῦ, καὶ μετὰ πάσης εὐλαβείας, ἀκούσεις τῶν λόγων αὐτοῦ. Οὐ μὴ θαρρήσῃς ἐπὶ τῇ σωφροσύνῃ σου, ἵνα μὴ πέσῃς· ἀλλὰ φοβοῦ· ἐφ' ὅσον γὰρ φοβῇ, οὐδέποτε πίπτεις. Συμφέρει τῇ ἐγκρατευομένῃ καταμόνας τὸν ἑαυτῆς ἄρτον ἐσθίειν. Ἐὰν καθίσῃς μετὰ παρθένων ἐπὶ τραπέζης, πᾶν τὸ παραθέμενον ἔσθιε μετ' αὐτῶν. Ἐὰν γὰρ μὴ φάγῃς, εὑρίσκῃ ὡς κατακρίνουσα αὐτάς. Οὐκ ἀναγγελεῖς τὴν ἄσκησίν σου. Ἐὰν καὶ οἶνον πίνουσι, καὶ οὐ πίνῃς, δι' αὐτὰς πίε ὀλίγον. Ἐὰν δέ εἰσι μεγάλαι πρεσβύτιδες, καὶ ἀναγκάζωσί σε πιεῖν περισσόν, μὴ ἀκούσῃς αὐτῶν, ἀλλὰ λέγε αὐταῖς· Ὑμεῖς κατετρίψατε τὴν νεότητα ὑμῶν ἐν ἀσκήσει πολλῇ· ἐγὼ δὲ οὔπω ἔφθασα οὐδὲ εἰς πρῶτον βαθμὸν ὑμῶν. Περὶ δὲ τῆς φιλοξενίας καὶ τῆς ἐλεημοσύνης οὐ χρείαν ἔχεις νουθετεῖσθαι. Ἀπὸ σεαυτῆς γὰρ ποιήσεις.

23. Ἐν ἐκκλησίᾳ σιώπα, καὶ μηδὲν λάλει, ἀλλὰ τῇ ἀναγνώσει μόνον πρόσεχε. Ἐὰν ἐπαναβῇ εἰς τὴν καρδίαν σου λογισμός, ἵνα ποιήσῃς πρᾶγμά τι, μὴ προπετῶς αὐτὸ ποίει, ἵνα μὴ ἐμπαίξῃ σε ὁ ἐχθρός· ἀλλὰ μετὰ βουλῆς τῶν μειζοτέρων σου πάντα ποίει. Ὅταν ψάλλῃς, ἢ ὅταν προσεύχῃ, μὴ ἄφιε ξένους λογισμοὺς εἰσιέναι εἰς τὴν καρδίαν σου. Παρακαλῶ σε, ἀγαπητή, πρόσεχε καὶ ἄκουε τῶν ἐντολῶν τούτων τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ. Καὶ μὴ μόνον τοῖς ὀφθαλμοῖς τοῖς φαινομένοις κατανόει τὰ γεγραμμένα, ἀλλὰ καὶ τοῖς ἔνδοθεν. Καὶ πρόσεχε μιᾷ ἑκάστῃ ἐντολῇ, καὶ ποίει αὐτάς· Ἐὰν γὰρ φυλάξῃς ταῦτα, καταξιωθήσῃ τοῦ νυμφῶνος τοῦ βασιλικοῦ. Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ὅτι, Πῶς δύναμαι ποιῆσαι ταῦτα; Μὴ δειλίαν λάβῃ ὁ λογισμός σου· ἀλλ' ἂν μετὰ πάσης προθυμίας φυλάξῃς αὐτά, εὑρήσεις σύμμαχον τὸν Θεόν. Τοῖς φοβουμένοις γὰρ τὸν Θεὸν αἱ ἐντολαὶ τοῦ Θεοῦ βαρεῖαι οὐκ εἰσί. Πάσῃ ὥρᾳ μὴ λειψάτω ἔλαιον τῇ λαμπάδι σου, μή ποτε ἔλθῃ ὁ νυμφίος, καὶ εὕρῃ αὐτὴν σβεσθεῖσαν. Οὐκ οἶδας γὰρ πότε ἔρχεται, ἢ πρωτοΰπνιον, ἢ πρωΐ. Γενοῦ ἕτοιμος· ἵνα, ὅταν ἔλθῃ, μετὰ τῶν φρονίμων ἀπαντήσῃς αὐτῷ, ἔχουσα τὸ ἔλαιον ἐν τῇ λαμπάδι σου, τουτέστι τὰ ἔργα σου τὰ καλά. Πᾶσαν ὥραν μνημόνευε τῆς ἐξόδου σου· ἔχε καθ' ἡμέραν πρὸ ὀφθαλμῶν τὸν θάνατον· μνημόνευε τίνι σε δεῖ παραστῆναι.

24. Βαρύ ἐστιν ἄσκησις, καὶ δυσβάστακτον ἐγκράτεια· ἀλλ' οὐδέν ἐστι γλυκύτερον τοῦ ἐπουρανίου νυμφίου. Ὧδε κάμνομεν ὀλίγον, ἐκεῖ δὲ τὴν αἰώνιον ζωὴν ἀπολῃψόμεθα· λέγει γὰρ ὁ ἅγιος Παῦλος·

---

1. Πρβλ. Μάρκ. 9, 36.

«Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.[1]» Καλὸν ἀποφεύγειν τὸν ὄχλον καὶ ἀναχωρεῖν κατὰ μόνας. Μεγάλη ἀρετὴ ἐγκράτεια, μέγα καύχημά ἐστιν ἁγνεία, μεγάλα ἐγκώμια τῆς παρθενίας. Ὦ παρθενία, πλοῦτος ἀκατάληπτος! ὦ παρθενία, στέφανος ἀμαράντινος! ὦ παρθενία, ναὸς Θεοῦ, καὶ ἁγίου Πνεύματος οἰκητήριον! ὦ παρθενία, μαργαρῖτα τίμιε παρὰ πολλοῖς ἀφανής, ὀλίγοις δὲ μόνοις εὑρισκόμενος! Ὦ ἐγκράτεια φίλη Θεοῦ, καὶ παρὰ ἁγίοις ἐγκωμιαζομένη! ὦ ἐγκράτεια παρὰ πολλοῖς μισουμένη, τοῖς δὲ ἀξίοις σου γνωριζομένη! ὦ ἐγκράτεια, θάνατον καὶ ᾅδην ἀποφεύγουσα, καὶ ὑπὸ ἀθανασίας κατεχομένη! ὦ ἐγκράτεια, χαρὰ προφητῶν, καὶ ἀποστόλων καύχημα! ὦ ἐγκράτεια, ἀγγέλων βίος, καὶ ἁγίων ἀνθρώπων στέφανος! Μακάριος ὁ κατέχων σε, μακάριος ὁ προσκαρτερῶν σου τῇ ὑπομονῇ· ὅτι, ὀλίγον κοπιάσας, πολὺ χαρήσεται ἐν σοί. Μακάριος ὁ νηστεύσας ὅλον τὸν χρόνον τοῦτον, ὅτι ἐν τῇ ἄνω Ἱερουσαλὴμ κατοικήσει, καὶ μετὰ ἀγγέλων χορεύσει καὶ μετὰ ἁγίων προφητῶν καὶ ἀποστόλων ἀναπαύσεται.

25. Ταῦτα ἔγραψά σοι, ἀγαπητὴ ἀδελφή, χορεύτρια Χριστοῦ, πρὸς στηριγμὸν καὶ ὠφέλειαν τῆς ψυχῆς σου. Μὴ ἐκκλίνῃς οὖν ἀπὸ τῶν λόγων τούτων δεξιὰ ἢ ἀριστερά. Ὃς γὰρ ἐὰν ἀκούσῃ τοὺς λόγους τούτους, καὶ καταφρονήσῃ, κρῖμα μέγα αὐτῷ ἐστι. Σὺ δέ, τιμιωτάτη ἀδελφὴ ἡ κτωμένη τὸ βιβλίον τοῦτο, δῴη σοι ὁ Θεὸς ταῦτα φυλάττειν, ἐν τούτοις ἀναστρέφεσθαι, πεφωτισμένην τὴν διάνοιαν, καθαρὸν τὸν νοῦν, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας, ἵνα λάβῃς τὸν ἀμαράντινον στέφανον, ὃν ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

1. Ῥωμ. 8, 18.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΕΠΙΣΤΟΛΑΙ ΕΟΡΤΑΣΤΙΚΑΙ
ΑΠΟΣΠΑΣΜΑΤΑ *

Τοῦ αὐτοῦ ἐκ τῆς κβ' ἑορταστικῆς.

Ἵν' ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὁ τὸν ὑπὲρ πάντων ἀναδεξάμενος θάνατον, οὐκ ἐν γῇ τινι κάτω, ἀλλ' ἐν αὐτῷ τῷ ἀέρι τὰς χεῖρας ἥπλωσεν, ἵνα πάντων τῶν πανταχοῦ τὸ διὰ τοῦ σταυροῦ σωτήριον εἶναι δειχθῇ, τὸν μὲν ἐν τῷ ἀέρι ἐνεργοῦντα διάβολον καθελών, τὴν δὲ εἰς οὐρανὸν ἡμῖν ἄνοδον ἐγκαινίσῃ, καὶ ἐλευθέραν καταστήσῃ.

Τοῦ αὐτοῦ ἐκ τῆς κδ' ἑορταστικῆς.

Καὶ τότε μὲν ἐξιόντων καὶ περώντων αὐτῶν τὴν Αἴγυπτον, οἱ ἐχθροὶ θαλάττης ἐγένοντο θρύλημα· ἄρτι δὲ ἡμῶν ἀπὸ γῆς εἰς οὐρανὸν περώντων, αὐτὸς ὁ Σατανᾶς ὡς ἀστραπὴ λοιπὸν ἀπ' οὐρανοῦ καταπίπτει.[1]

Τοῦ αὐτοῦ ἐκ τῆς κη' ἑορταστικῆς.

Ἵν' αὐτὸς μὲν ὑπὲρ πάντων θυσία γένηται· ἡμεῖς δέ, ἐντρεφόμενοι τοῖς λόγοις τῆς ἀληθείας, καὶ ζώσης αὐτοῦ διδασκαλίας μεταλαμβάνοντες, δυνηθῶμεν μετὰ τῶν ἁγίων καὶ τὴν ἐπουράνιον ἀπολαβεῖν χαράν· ἐκεῖ γὰρ ἡμᾶς, ὡς ἐπὶ τὸ ἀνώγαιον τοὺς μαθητάς, ἐπὶ τὴν θείαν καὶ ἄφθαρτον ὄντως ἑστίασιν ὁ Λόγος καλεῖ μετ' αὐτῶν· ἐνταῦθα μὲν παθὼν ὑπὲρ ἡμῶν, ἐκεῖ δὲ τὰς οὐρανίους σκηνὰς ἑτοιμάζων τοῖς μάλιστα προθύμως ὑπακούσασι πρὸς τὴν κλῆσιν, καὶ ἀνενδότως καὶ κατὰ σκοπὸν ἀκολουθήσασιν εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἔνθα τοῖς ἐπὶ τὸ δεῖπνον ἐρχομένοις τε καὶ πρὸς τοὺς ἐμποδίζοντας ἀγωνιζομένοις ἀπόκειται καὶ στέφανος καὶ ἡ ἄφθαρτος εὐφροσύνη· εἰ γὰρ καὶ πολὺς ὡς πρὸς τοὺς ἀνθρώπους ὁ κάματος τῆς τοιαύτης ἐστὶν ὁδοῦ, ἀλλ' αὐτὸς ὁ Σωτὴρ καὶ ταύτην ἐλαφράν τε καὶ χρηστὴν κατεσκεύασεν.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Ἡμεῖς δέ, ἀδελφοί, οἱ τὸν ἀμπελῶνα παρὰ τοῦ Σωτῆρος παραλαμβάνοντες καὶ εἰς τὴν οὐράνιον εὐωχίαν κληθέντες ὡς ἤδη τῆς ἑορτῆς

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1176-1180 καὶ 1432-1444.

1. Πρβλ. Λουκ. 10, 18.

ἐγγιζούσης, λάβωμεν τὰ βάϊα τῶν φοινίκων, καὶ νικηταὶ τῆς ἁμαρτίας γενόμενοι, ὡς οἱ ἀπαντήσαντες τῷ Σωτῆρι τότε, οὕτω καὶ ἡμεῖς ἕτοιμοι γινώμεθα ταῖς πράξεσιν, ἵνα καὶ ἀπαντήσωμεν ἐρχομένῳ, καὶ συνεισελθόντες αὐτῷ τῆς ἀθανάτου μεταλάβωμεν τροφῆς, καὶ ἀιδίως λοιπὸν ζήσωμεν ἐν τοῖς οὐρανοῖς.

Τοῦ αὐτοῦ ἐκ τῆς κθ' ἑορταστικῆς.

Καὶ τὰ μὲν τῶν ἀνθρώπων παύεται· ἡ δὲ τοῦ Θεοῦ ἀγαθότης οὐ παύεται· ὅθεν καὶ ἀποθανόντας ἡμᾶς καὶ ἀσθενησάσης τῆς ἰδίας ἡμῶν φύσεως ἀνεγείρει, καὶ ἐκ γῆς γεγονότας εἰς οὐρανοὺς ἀνάγει.

Τοῦ αὐτοῦ ἐκ τῆς λθ' ἑορταστικῆς ἐπιστολῆς.

Ἀλλ' ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν ὡς νεκρῶν, περὶ δὲ ἡμῶν ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας Γραφάς· καὶ φοβοῦμαι μήπως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, ὀλίγοι τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος καὶ τῆς ἁγνότητος πλανηθῶσιν ἀπὸ τῆς πανουργίας τῶν ἀνθρώπων καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῶν ἀληθινῶν βιβλίων· παρακαλῶ ἀνέχεσθαι, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω, διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς Ἐκκλησίας. Μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης τῷ τόπῳ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτός· Ἐπειδήπερ τινὲς ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου· ἔδοξε κἀμοί, προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν, ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία· ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων· ὁ δὲ καθαρὸς διαμείνας χαίρῃ πάλιν ὑπομιμνησκόμενος.

Ἔστι τοίνυν τῆς μὲν Παλαιᾶς Διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύο· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται· τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον οὕτως· Πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευϊτικὸν καὶ μετὰ τοῦτο Ἀριθμοὶ καὶ λοιπὸν τὸ Δευτερονόμιον· ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Κριταί· καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ πάλιν ἑξῆς Βασιλειῶν τέσσαρα βιβλία· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται· τὸ δὲ τρίτον καὶ τέταρτον ὁμοίως εἰς ἕν· μετὰ δὲ ταῦτα Παραλειπομένων α' καὶ β', ὁμοίως εἰς ἓν βιβλίον ἀριθμούμενα· εἶτα Ἔσδρας α' καὶ β', ὁμοίως εἰς ἕν· μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν καὶ ἑξῆς Παροιμίαι· εἶτα Ἐκκλησιαστὴς καὶ Ἆσμα ᾀσμάτων· πρὸς τούτοις ἐστὶ καὶ Ἰώβ, καὶ λοιπὸν Προφῆται· οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶναι Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν

αὐτῷ Βαρούχ, Θρῆνοι, Ἐπιστολή, καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ καὶ Δανιήλ· ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται.

Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι γὰρ ταῦτα· Εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην· εἶτα μετὰ ταῦτα Πράξεις ἀποστόλων, καὶ ἐπιστολαὶ Καθολικαὶ καλούμεναι τῶν ἀποστόλων ἑπτά· οὕτως μέν, Ἰακώβου α', Πέτρου δὲ β', εἶτα Ἰωάννου γ', καὶ μετὰ ταύτας Ἰούδα α'· πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους· εἶτα πρὸς Κορινθίους δύο· καὶ μετὰ ταῦτα πρὸς Γαλάτας· καὶ ἑξῆς πρὸς Ἐφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολασσαεῖς· καὶ μετὰ ταύτας πρὸς Θεσσαλονικεῖς δύο· καὶ ἡ πρὸς Ἑβραίους· καὶ εὐθὺς πρὸς μὲν Τιμόθεον δύο· πρὸς δὲ Τίτον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις.

Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα τῶν ἐν τούτοις ἐμφορεῖσθαι λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τί. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων· «Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς·[1]» τοῖς δὲ Ἰουδαίοις παρῄνει· «Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.[2]» Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι δὴ τοῦτο γράφων ἀναγκαίως, ὡς ὅτι ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μέν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος καὶ Σοφία Σιρὰχ καὶ Ἐσθὴρ καὶ Ἰουδὴθ καὶ Τωβίας, καὶ διδαχὴ καλουμένη τῶν Ἀποστόλων, καὶ ὁ Ποιμήν. Καὶ ὅμως, ἀγαπητοί, κἀκείνων κανονιζομένων, καὶ τούτων ἀναγινωσκομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν ὅτε θέλουσιν αὐτά, χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵν', ὡς παλαιὰ προφέροντες πρόφασιν ἔχωσιν ἀπατᾶν ἐκ τούτου τοὺς ἀκεραίους.

Τοῦ αὐτοῦ ἐκ τῆς μ' ἑορταστικῆς.

«Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου.[3]» Ἐπὶ δεῖπνον τοίνυν τὸ μέγα καὶ οὐράνιον διὰ τοῦ Εὐαγγελίου κληθέντες εἰς τὸ ἀνώγαιον ἐκεῖνο τὸ σεσαρωμένον, καθαρίσωμεν ἑαυτούς, ὡς παρήγγειλεν ὁ Ἀπόστολος, «ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ·[4]» ἵν' ἔσωθεν καὶ ἔξω ἄσπιλοι τυγχάνοντες, ἔξωθεν μὲν περιβεβλημένοι σωφροσύνην καὶ

---

1. Ματθ. 22, 29. 2. Ἰω. 5, 39. 3. Λουκ. 22, 29-30. 4. Β' Κορ. 7,1.

δικαιοσύνην, ἔσωθεν δὲ τῷ πνεύματι ὀρθοτομοῦντες τὸν λόγον τῆς ἀληθείας, ἀκούσωμεν· «Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.[1]»

Τοῦ αὐτοῦ ἐκ τῆς μβ' ἑορταστικῆς.

Κεκλήμεθα γάρ, ἀδελφοί, καὶ νῦν συγκαλούμενοι ὑπὸ τῆς σοφίας καὶ κατὰ τὴν εὐαγγελικὴν παραβολὴν ἐπὶ τὸ δεῖπνον ἐκεῖνο τὸ μέγα τὸ ὑπερκόσμιον καὶ πάσῃ τῇ κτίσει διαρκοῦν, ἐπὶ τὸ Πάσχα δὴ λέγω, τὸν τυθέντα Χριστόν· «Τὸ γὰρ Πάσχα ἡμῶν ἐτύθη Χριστός.[2]» Καὶ μεθ' ἕτερα· «Οἱ μὲν οὖν οὕτω κεκοσμημένοι ἀκούσονται· Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.»

Τοῦ αὐτοῦ ἐκ τῆς μγ' ἑορταστικῆς.

Ἡμῶν δέ, ὧν ἐστι καὶ τὸ Πάσχα, ἡ κλῆσις ἄνωθέν ἐστι, καὶ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ἐστι, μετὰ Παύλου λέγοντος· «Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν[3]», ἔνθα καὶ ἀποβλέποντες, ἑορτάζομεν καλῶς. Καὶ πάλιν μεθ' ἕτερα. Ὑψηλὸς μὲν ὁ οὐρανὸς ἀληθῶς, καὶ ἀπέραντον τὸ τούτου διάστημα πρὸς ἡμᾶς· «ὁ γὰρ οὐρανός», φησί, «τοῦ οὐρανοῦ τῷ Κυρίῳ.[4]» Ἀλλ' οὐ διὰ τοῦτο ἀποκνητέον, οὐδὲ φοβητέον, ὡς ἀδύνατον οὖσαν τὴν πρὸς ἐκεῖνον ὁδόν· ἀλλὰ καὶ μᾶλλον προθυμητέον· οὐ γάρ, ὡς οἱ ἀπὸ ἀνατολῶν τότε κινήσαντες καὶ εὑρόντες πεδίον ἐν γῇ Σενααρ ἐπεχείρησαν, χρεία καὶ ἡμῖν ὀπτῆσαι πλίνθον ἐν πυρί, καὶ ζητεῖν ἄσφαλτον ἀντὶ πηλοῦ· συνεχύθησαν γὰρ ἐκείνων αἱ γλῶσσαι, καὶ κατελύθη τὸ ἔργον. Ἡμῖν δὲ ὁ Κύριος τὴν ὁδὸν ἐνεκαίνισε διὰ τοῦ ἰδίου αἵματος, καὶ εὔκολον αὐτὴν κατεσκεύαζε. Καὶ πάλιν· Οὐ γὰρ μόνον ἐν τῷ διαστήματι καὶ παρακλήσει παρεμυθήσατο, ἀλλ' ὅτι καὶ κεκλεισμένην ταύτην ποτὲ τὴν πύλην ἐλθὼν ἤνοιξε· κέκλεισται γὰρ ὄντως ἐξ ὅτου τὸν Ἀδὰμ ἐξέβαλον ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, καὶ ἔταξε τὰ χερουβεὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς· νῦν δὲ ἐκτεταμένην· καὶ πλείονι χάριτι καὶ φιλανθρωπίᾳ ἐμφανεὶς αὐτὸς ὁ καθήμενος ἐπὶ τῶν χερουβείμ, εἰσήγαγεν εἰς μὲν τὸν παράδεισον μεθ' ἑαυτοῦ τὸν ὁμολογήσαντα λῃστήν· εἰς δὲ τὸν οὐρανὸν ὁ αὐτὸς πρόδρομος ὑπὲρ ἡμῶν εἰσελθών, πᾶσιν ἀνεπέτασε τὰς θύρας. Καὶ πάλιν· Ὁ δὲ Παῦλος, κατὰ σκοπὸν διώκων εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἡρπάσθη δι' αὐτῆς ἕως τρίτου οὐρανοῦ, ἑωρακὼς τά τε ἄνω, λοιπὸν κατερχόμενος, κατηχεῖ καὶ ἡμᾶς εὐαγγελιζόμενος τὰ πρὸς Ἑβραίους γραφέντα· «Οὐ γὰρ προσεληλύθατε», λέγων, «ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρί, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων·[5] ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν

1. Ματθ. 25, 21. 2. Α' Κορ. 5, 7. 3. Ἑβρ. 13, 14. 4. Ψαλμ. 113, 24. 5. Ἑβρ. 12, 18.

ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[1]» Τίς οὐκ ἂν εὔξαιτο μετὰ τούτων ἔχειν τὴν ἄνω σύνοδον; τίς οὐκ ἀγαπήσει μετὰ τούτων ἀπογράφεσθαι; ἵνα μετ' αὐτῶν ἀκούσῃ· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κατακληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.[2]»

Τοῦ αὐτοῦ ἐκ τῆς με' ἑορταστικῆς.

Ἄρωμεν πάντες τὰς θυσίας ἑαυτῶν, τὴν πρὸς τοὺς πτωχοὺς κοινωνίαν ἐπιγινώσκοντες, καὶ εἰσπορευόμεθα εἰς τὰ ἅγια, ὡς γέγραπται [3], ἔνθα καὶ πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, αἰωνίαν λύτρωσιν εὑράμενος. Ἐκ τῆς αὐτῆς ἀ...Τοῦτο δὲ μέγα τεκμήριον τὸ ξένους ἡμᾶς ὄντας ἀκοῦσαι οἰκείους, καὶ ἀλλοτρίους ποτὲ ὄντας, γενέσθαι συμπολίτας τῶν ἁγίων, καὶ τέκνα χρηματίσαι τῆς ἄνω Ἱερουσαλήμ, ἧς τύπος ἦν, ἣν ᾠκοδόμησε Σολομών. Εἰ γὰρ κατὰ τὸν δειχθέντα ἐν τῷ ὄρει πάντα πεποίηκεν Μωσῆς [4], τύπος ἦν δηλονότι ἡ ἐν τῇ σκηνῇ λατρεία τῶν ἐν οὐρανοῖς μυστηρίων, εἰς ἃ θέλων καὶ ἡμᾶς εἰσελθεῖν ὁ Κύριος ὡδοποίησεν ἡμῖν τὴν ὁδὸν πρόσφατον [5] καὶ μένουσαν· ὡς δὲ πάντα τύπος ἦν τὰ πάλαι τῶν νέων, οὕτω τύπος τῆς ἄνω χαρᾶς καὶ ἡ νῦν ἐστιν ἑορτή, εἰς ἣν ἐρχόμενοι μετὰ ψαλμῶν καὶ ᾠδῶν πνευματικῶν ἀρχώμεθα τῶν νηστειῶν.

---

1. Ἑβρ. 12, 22. 2. Ματθ. 25, 34. 3. Πρβλ. Ἑβρ. 9, 12. 4. Πρβλ. Ἐξ. 25, 40. 5. Πρβλ. Ἑβρ. 10, 20.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΑΘΑΝΑΣΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΟΥΝ ΜΟΝΑΖΟΝΤΑ *

Πάντα μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ Θεοῦ ποιήματα· οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε Λόγος· «Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σῳζομένοις [1]», κατὰ τὸν Ἀπόστολον· ἐπειδὴ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τῇ γνώμῃ παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφούς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ, φέρε διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ Σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. Πάντα μὲν γὰρ καθαρὰ τοῖς καθαροῖς· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται.[2] Ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ, φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν καθαρότητος· ἔστι δὲ τὸ γιγνόμενον ἐνέδρα μᾶλλον ἢ δοκιμασία. Ἵνα γάρ, ὡς προεῖπον, ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης καὶ δόξῃ κρατεῖν, κατὰ τοῦτο τοιαῦτά τινα κινεῖ βομβύκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κενὰς δὲ ζητήσεις καὶ φλυαρίας, ἃς δεῖ παραιτεῖσθαι. Τί γάρ, εἰπέ μοι, ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἔκκρισις; ὡς εἴ τις ἐθέλοι ποιεῖσθαι ἔγκλημα καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας καὶ τὰ διὰ στόματος πτύσματα· ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα, τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅπερ τῷ ζῴῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. Ἔτι τε, εἰ τῶν τοῦ Θεοῦ χειρῶν ἔργον εἶναι πιστεύομεν τὸν ἄνθρωπον, κατὰ τὰς θείας Γραφάς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γίνεσθαι μεμολυσμένον; Καὶ εἰ γένος τοῦ Θεοῦ ὑπάρχομεν [3] κατὰ τὰς θείας τῶν ἀποστόλων Πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. Τότε γὰρ μόνον μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. Ὅτε δὲ φυσική τις ἔκκρισις ἀβουλήτως γίνεται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων, ὡς προείπομεν, καὶ τοῦτο ὑπομένομεν. Ἀλλ᾽ ἐπειδήπερ οἱ θέλοντες μόνον ἀντιλέγειν τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ Θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν εὐαγγελικόν· ὡς

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1169-1180.

1. Β΄ Κορ. 2, 15. 2. Πρβλ. Τίτ. 1, 15. 3. Πρβλ. Πράξ. 17, 28.

ὅτι Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα[1], ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν, οὐ γὰρ ἂν εἴποιμεν ζήτησιν, ἐλέγξομεν. Πρῶτον μὲν γὰρ τὰς Γραφὰς κατὰ τὰς ἰδίας ἀμαθίας ἀστήρικτοι ὄντες βιάζονται.[2] Ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον· Τίνων γὰρ πάλιν τούτοις ὁμοίως ἐνδυαστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς ὁ Κύριος λύων αὐτῶν τὴν ἄγνοιαν, ἢ γ' οὖν τὴν ἀπάτην δημοσιεύων, φησί, Μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει, καὶ πόθεν ἐξερχόμενα, τὰ ἀπὸ καρδίας. Ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. Συντομώτερον δὲ ὁ Ἀπόστολος αὐτὸ δεδιδαγμένος φησί· Βρῶμα δὲ ἡμᾶς οὐ παραστήσει τῷ Θεῷ.[3] Φαίη δ' ἄν τις καὶ νῦν εὐλόγως· Φυσική τις ἔκκρισις ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. Τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται· ὅτι τῷ ζῴῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστῳ μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν· οἷον κεφαλῆς περιττώματα, τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα, καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. Ποία τοίνυν ἐστὶ πρὸς Θεοῦ, ὦ πρεσβῦτα θεοφιλέστατε, ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶν δεσπότου θελήσαντος καὶ ποιήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους; Ἐπειδὴ δὲ δεῖ προσλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα, εἴποιεν γὰρ ἄν· Οὐκ οὖν οὐκ ἔστιν ἁμαρτία οὐδὲ ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ Δημιουργοῦ διαπέπλασται. Πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν φάσκοντες· Ποίαν λέγεις χρῆσιν, τὴν ἔννομον, ἣν καὶ ὁ Θεὸς ἐπέτρεψεν, «Αὐξάνεσθε, λέγων, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν·[4]» ἣν ὁ Ἀπόστολος ἀπεδέξατο εἰπών· «Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος·[5]» ἢ τὴν δημώδη μέν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; Ἐπεὶ καὶ τῶν ἄλλων, τῶν ἐν τῷ βίῳ γινομένων, εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας· οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμοις ἀναιρεῖν τοὺς ἀντιπάλους καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον. Οὕτω γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. Ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρὸν οὐκ ἔξεστι, κατά τι δὲ καὶ εὐκαίρως ἀφίεται καὶ συγκεχώρηται. Ὁ αὐτὸς τοίνυν λόγος καὶ περὶ τῆς μίξεως. Μακάριος ὃς ἐν νεότητι, ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιίαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται. Δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν

---

1. Πρβλ. Ματθ. 15, 18-20. 2. Πρβλ. Β' Πέτρ. 3, 16. 3. Α' Κορ. 8,8. 4. Γεν. 1, 28. 5. Ἑβρ. 13, 4.

κοσμικήν, τοῦτ' ἔστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει· τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. Λήψεται γάρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα. Εἰ δὲ τὴν ἁγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ὁδός, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν. Ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔσχε καὶ παρὰ τῶν θείων Γραφῶν πάλαι προλυθείσας. Ὑποστήριζε τοίνυν, ὦ Πάτερ, τὰς ὑπὸ σαυτὸν ἀγέλας, ἐκ τῶν ἀποστολικῶν παρακαλῶν, ἐκ τῶν εὐαγγελικῶν ψυχαγαγῶν, ἐκ τῶν ψαλμῶν συμβουλεύων· Ζῆσόν με, λέγων, κατὰ τὸ λόγιόν σου·[1] λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς καρδίας λατρεύειν αὐτῷ. Τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς Προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει. «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός·[2]» ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. Πάλιν Δαβίδ· «Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με·[3]» ἵνα, κἄν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις παρὰ σοῦ δύναμις στηρίξῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. Αὐτὸς τοίνυν, ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους· «Διδάξω ἀνόμους τὰς ὁδούς σου·[4]» καὶ θαρρῶν Κυρίῳ, ὅτι πείσεις ἀποσχέσθαι τῆς τοιαύτης κακίας, ψάλλε· «Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιτρέψουσι.» Γένοιτο δὲ τοὺς μὲν κακοήθως ζητοῦντας παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ δι' εὐήθειαν ἐνδυαστῶς ἔχοντας, ἡγεμονικῷ Πνεύματι κρατυνθῆναι· ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε, ἀρραγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΗΣ ΛΘ' ΕΟΡΤΑΣΤΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ

Ἀλλ' ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν ὡς νεκρῶν, περὶ δὲ ἡμῶν ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας Γραφάς, καὶ φοβοῦμαι μήπως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, ὀλίγοι τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος καὶ τῆς ἁγνότητος πλανηθῶσιν ἀπὸ τῆς πανουργίας τινῶν ἀνθρώπων[5], καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῶν ἀληθινῶν βιβλίων, παρακαλῶ ἀνέχεσθαι, εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω, διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς Ἐκκλησίας. Μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης τῷ τύπῳ τοῦ εὐαγγελιστοῦ Λουκᾶ[6], λέγων καὶ αὐτό. Ἐπειδήπερ τινὲς ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληρο-

---

1. Ψαλμ. 118, 107. 2. Ψαλμ. 50, 12. 3. Ψαλμ. 50, 14. 4. Ψαλμ. 50, 15. 5. Πρβλ. Β' Κορ. 11, 3. 6. Πρβλ. Λουκ. 1, 1.

φορήθημεν, καθὼς παρέδοσαν τοῖς Πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· ἔδοξε κἀμοί, προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν, ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία· ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων, ὁ δὲ καθαρὸς διαμείνας χαίρῃ πάλιν ὑπομιμνησκόμενος. Ἔστι τοίνυν τῆς μὲν Παλαιᾶς Διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύο· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται· τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον οὕτως· Πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευϊτικόν, καὶ μετὰ τοῦτο Ἀριθμοί, καὶ λοιπὸν τὸ Δευτερονόμιον. Ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ Κριταί· καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ πάλιν ἑξῆς Βασιλειῶν τέσσαρα βιβλία· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται, τὸ δὲ τρίτον καὶ τέταρτον ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα Παραλειπομένων α' καὶ β' ὁμοίως εἰς ἓν βιβλίον πάλιν ἀριθμούμενα· εἶτα Ἔσδρας α' καὶ β' ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα βίβλος Ψαλμῶν, καὶ ἑξῆς Παροιμίαι· εἶτα Ἐκκλησιαστής, καὶ Ἆσμα ᾀσμάτων. Πρὸς τούτοις ἐστὶ καὶ Ἰώβ, καὶ λοιπὸν προφῆται· οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι· εἶτα Ἡσαΐας, Ἱερεμίας καὶ σὺν αὐτῷ Βαρούχ, Θρῆνοι, Ἐπιστολὴ καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ καὶ Δανιήλ. Ἄχρι τούτων τὰ τῆς Παλαιᾶς Διαθήκης ἵσταται. Τὰ δὲ τῆς Καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι γὰρ ταῦτα· Εὐαγγέλια τέσσαρα· κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην. Εἶτα μετὰ ταῦτα Πράξεις ἀποστόλων, καὶ Ἐπιστολαὶ Καθολικαὶ καλούμεναι τῶν ἀποστόλων ἑπτά· οὕτω μὲν Ἰακώβου α', Πέτρου δὲ β', εἶτα Ἰωάννου γ', καὶ μετὰ ταύτας Ἰούδα α'. Πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους· εἶτα πρὸς Κορινθίους δύο· καὶ μετὰ ταῦτα πρὸς Γαλάτας· καὶ ἑξῆς πρὸς Ἐφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολασσαεῖς· καὶ μετὰ ταύτας πρὸς Θεσσαλονικεῖς δύο, καὶ ἡ πρὸς Ἑβραίους· καὶ εὐθὺς πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα τῶν ἐν τούτοις ἐμφορεῖσθαι λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων· «Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς·[1]» τοῖς δὲ Ἰουδαίοις παρῄνει· «Ἐρευνᾶτε τὰς Γραφάς· ὅτι αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.[2]» Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο γράφων ἀναγκαίως, ὡς ὅτι ἐστὶ καὶ ἕτερα βιβλία τούτων ἔξωθεν· οὐ κανονιζόμενα μέν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερ-

---

1. Ματθ. 22, 29. 2. Ἰω. 5, 39.

χομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος, καὶ Σοφία Σιράχ, καὶ 'Εσθήρ, καὶ 'Ιουδίθ, καὶ Τωβίας, καὶ Διδαχὴ καλουμένη τῶν ἀποστόλων, καὶ ὁ Ποιμήν. Καὶ ὅμως, ἀγαπητοί, κἀκείνων κανονιζομένων καὶ τούτων ἀναγινωσκομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν ὅτε θέλουσιν αὐτά, χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵν' ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾶν ἐκ τούτου τοὺς ἀκεραίους.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΡΟΥΦΙΝΙΑΝΟΝ *

Κυρίῳ υἱῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ῥουφινιανῷ, Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

Σὺ μὲν τὰ υἱῷ ἠγαπημένῳ πρέποντα πρὸς Πατέρα γράφεις· ἐγγίσαντα γοῦν σε διὰ τοῦ γράμματος περιεπτυξάμην, πάντων ἐμοὶ ποθεινότατε Ῥουφινιανέ· κἀγὼ δέ, ὡς υἱῷ δυνάμενος γράφειν ἔν τε τοῖς προοιμίοις καὶ μέσοις καὶ τελευταίοις, ἐπέσχον, ἵνα μὴ ἐκ γραμμάτων ἡ σύστασις καὶ ἡ μαρτυρία γνωρίζηται. Σὺ γὰρ ἐμοὶ ἐπιστολή, κατὰ τὸ γεγραμμένον ἐπιγινωσκομένη καὶ ἀναγινωσκομένη ἐν καρδίᾳ.[1] Οὕτω τοίνυν πίστευε διακείμενος, καὶ πίστευε. Προσαγορεύω σε καὶ προτρέπω γράφειν· οὐ γὰρ ὀλίγως, ἀλλὰ μεγάλως εὐφραίνεις τοῦτο ποιῶν. Ἐπειδὴ δὲ φιλοκάλως καὶ ἐκκλησιαστικῶς, τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ, ἠρώτησας περὶ τῶν δι᾽ ἀνάγκην ὑποσυρέντων μέν, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ, καὶ ἠθέλησας γράψαι με τὰ δόξαντα περὶ αὐτῶν ἐν ταῖς συνόδοις καὶ πανταχοῦ, γίνωσκε, Κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μέν, πευσαμένης τῆς γινομένης βίας, γέγονε σύνοδος, παρόντων ἀπὸ τῶν ἔξω μερῶν ἐπισκόπων· γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς· οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Σπανίᾳ καὶ Γαλλίᾳ· καὶ ἤρεσεν ὅπερ ὧδε καὶ πανταχοῦ, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς τόπον κλήρου· τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, παρασυρεῖσι δὲ δι᾽ ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου· μάλιστα ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο, καὶ ἔδοξε τοῦτό πως οἰκονομικῶς γενέσθαι. Διεβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι εἰς ἀσέβειαν· ἵνα δὲ μὴ κατασταθέντες τινὲς ἀσεβέστατοι διαφθείρωσι τὰ Ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ καὶ βαστάσαι τὸ βάρος, ἢ λαοὺς ἀπολέσθαι. Τοῦτο δὲ λέγοντες ἔδοξαν ἡμῖν πιθανῶς λέγειν· διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν τοῦ Μωϋσέως ἀδελφὸν ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει· ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ἐπιστρέψας εἰς Αἴγυπτον ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ· καὶ γὰρ ἦν τὸ φαινόμενον εὔλογον· ὅτι μένοντες ἐν τῇ ἐρήμῳ δύνανται παύσασθαι τῆς ἀσεβείας· εἰσελθόντες δὲ εἰς Αἴγυπτον, ἐπετρίβοντο καὶ ηὔξανον ἐν ἑαυτοῖς τὴν ἀσέβειαν. Τούτων τοίνυν ἕνεκα συγγνωστὸν τὸ πρὸς τὸν κλῆρον γέγονε· τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1180-1181.

1. Πρβλ. Β᾽ Κορ. 3, 2.

ποθοῦσι συγγνώμη δίδοται. Ταῦτα καὶ τῇ σῇ εὐσεβείᾳ δηλῶ, θαρρῶν, ὅτι καὶ τὰ δόξαντα ἀποδέξεταί σου ἡ θεοσέβεια, καὶ οὐ καταγνώσεται ἐκεχειρίας τῶν συνελθόντων οὕτως. Καταξίωσον δὲ αὐτὰ ἀναγνῶναι τῷ ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σέ, ἵνα, καὶ αὐτοὶ γινώσκοντες, μὴ μέμφωνται οὕτω σὲ διακείμενον περὶ τοὺς τοιούτους. Ἀπρεπὲς γὰρ ἦν ἐμὲ γράφειν, δυναμένης τῆς σῆς εὐλαβείας καὶ τὴν ἡμῶν περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λείποντα ἀποπληρῶσαι. Χάρις τῷ Κυρίῳ τῷ πληρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. Οἱ μὲν οὖν μετανοοῦντες φανερῶς ἀναθεματιζέτωσαν ὀνομάζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοδοξίαν. Αὐτοὶ γὰρ λοιπὸν βλασφημοῦντες, αὐτὸν κτίσμα ἀπεγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται. Ὁμολογείτωσαν δὲ τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην σύνοδον προκρίνειν ταύτης τῆς συνόδου. Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΚΑΙ ΑΝΤΙΟΧΟΝ ΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ *

Ἀθανάσιος Ἰωάννῃ καὶ Ἀντιόχῳ, τοῖς ἀγαπητοῖς υἱοῖς καὶ συμπρεσβυτέροις, ἐν Κυρίῳ χαίρειν.

1. Ἐχάρην δεξάμενος ὑμῶν καὶ νῦν ἐπιστολήν, ὅτι μάλιστα ἀπὸ Ἱεροσολύμων ἐγράψατε· καὶ χάριν ὑμῖν ἔχω, ὅτι ἐδηλώσατε περὶ τῶν ἀδελφῶν, τῶν ἐκεῖ συναγομένων, καὶ περὶ τῶν βουλομένων προφάσει ζητημάτων ταράττειν τοὺς ἀκεραίους. Ἀλλὰ περὶ μὲν τούτων παραγγελλέτω ὁ Ἀπόστολος, Μὴ προσέχειν τοῖς λογομαχοῦσι, καὶ μηδὲν ἕτερον ζητοῦσιν ἢ λέγειν τι καινὸν καὶ ἀκούειν. Ὑμεῖς δέ, ἔχοντες τὸν θεμέλιον ἀσφαλῆ, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός, ὁ Κύριος ἡμῶν, καὶ τὴν τῶν Πατέρων περὶ τῆς ἀληθείας ὁμολογίαν, τοὺς πλέον τι ταύτης ἢ ἔλαττον λαλεῖν θέλοντας ἀποστρέφεσθε, καὶ μᾶλλον τῆς τῶν ἀδελφῶν ὠφελείας γίνεσθε, εἰς τὸ φοβεῖσθαι τὸν Θεόν, καὶ τὰς ἐντολὰς τηρεῖν· ἵνα καὶ ἐκ τῆς διδασκαλίας τῶν Πατέρων, καὶ ἐκ τῆς τῶν ἐντολῶν τηρήσεως δυνηθῶσιν εὐάρεστοι τῷ Κυρίῳ φανῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Πάνυ δὲ τεθαύμακα τὴν θρασύτητα τῶν τολμώντων λαλεῖν κατὰ τοῦ ἀγαπητοῦ ἡμῶν, τοῦ ἀληθῶς Θεοῦ δούλου Βασιλείου τοῦ ἐπισκόπου. Ἐκ γὰρ τῆς τοιαύτης φλυαρίας ἐλέγχεσθαι δυνήσονται, ὡς οὐδὲ τῶν Πατέρων ἀγαπῶντες τὴν ὁμολογίαν. Προσαγορεύετε τοὺς ἀδελφούς. Προσαγορεύουσιν ὑμᾶς οἱ σὺν ἐμοί. Ἐρρῶσθαι ὑμᾶς ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι υἱοί.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1165-1168.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΠΑΛΛΑΔΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΕΠΙΣΤΟΛΗ*

Ἀγαπητῷ υἱῷ Παλλαδίῳ πρεσβυτέρῳ Ἀθανάσιος ὁ ἐπίσκοπος, ἐν Κυρίῳ χαίρειν.

1. Καὶ τὴν παρὰ τοῦ μόνου γραφεῖσαν ἐπιστολὴν δεξάμενος, ἐχάρην, μάλιστα ὅτι συνήθως ἔπνεες ὀρθοδοξίας. Καὶ τὴν αἰτίαν δὲ ἣν μετὰ τοῦ ἀγαπητοῦ ἡμῶν Ἰνοκεντίου διάγεις, οὐ πρῶτον νῦν, ἀλλ' ἔκπαλαι μαθών, ἀπεδεξάμην σου τὴν εὐλάβειαν. Οὕτω τοίνυν πράττων, γράφε καὶ γνώριζε ἡμῖν, πῶς ἐκεῖ οἱ ἀδελφοί, καὶ πῶς οἱ ἐχθροὶ τῆς ἀληθείας περὶ ἡμῶν διανοοῦνται. Ἐπειδὴ δὲ καὶ περὶ τῶν μοναζόντων τῶν ἐν Καισαρείᾳ ἐδήλωσας, ἔμαθον δὲ παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν Διανίου, ὡς λυπουμένων καὶ ἀνθισταμένων αὐτῶν τῷ ἀγαπητῷ ἡμῶν Βασιλείῳ τῷ ἐπισκόπῳ, σὲ μὲν ἀπεδεξάμην δηλώσαντα, αὐτοῖς δὲ τὰ πρέποντα δεδήλωκα· ἵν' ὡς τέκνα ὑπακούωσι πατρί, καὶ μὴ ἀντιλέγωσιν, οἷς αὐτὸς δοκιμάζει. Εἰ μὲν γὰρ ὕποπτος ἦν περὶ τὴν ἀλήθειαν, καλῶς ἐμάχοντο· εἰ δὲ τεθαρρήκασι, τεθαρρήκαμεν δὲ καὶ πάντες ἡμεῖς, ὡς καύχημα τῆς Ἐκκλησίας ἐστίν, ἀγωνιζόμενος μᾶλλον ὑπὲρ τῆς ἀληθείας καὶ διδάσκων τοὺς δεομένους· οὐ χρὴ πρὸς τὸν τοιοῦτον μάχεσθαι, ἀλλὰ καὶ μᾶλλον ἀποδέχεσθαι τὴν ἀγαθὴν αὐτοῦ συνείδησιν. Ἐξ ὧν γὰρ διηγήσατο ὁ ἀγαπητὸς Διάνιος, μάτην φαίνονται λυπούμενοι. Αὐτὸς μὲν γάρ, ὡς τεθάρρηκα, τοῖς ἀσθενοῦσιν ἀσθενὴς γίνεται, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ·[1] οἱ δὲ ἀγαπητοὶ ἡμῶν, ἀποβλέποντες εἰς τὸν σκοπὸν τῆς ἀληθείας αὐτοῦ, καὶ τὴν οἰκονομίαν, δοξαζέτωσαν τὸν Κύριον, τὸν δεδωκότα τῇ Καππαδοκίᾳ τοιοῦτον ἐπίσκοπον, οἷον καὶ ἑκάστη χώρα ἔχειν εὔχεται. Καὶ σὺ οὖν, ἀγαπητέ, θέλησον αὐτοῖς δηλῶσαι, ἵνα, ὡς ἔγραψα, πεισθῶσι. Τοῦτο γὰρ καὶ αὐτοὺς συνίστησιν εὐγνώμονας πρὸς πατέρα· τοῦτο καὶ τὴν εἰρήνην ταῖς Ἐκκλησίαις διαφυλάξει. Ἐρρῶσθαί σε ἐν Κυρίῳ εὔχομαι, ἀγαπητὲ υἱέ.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1168-1169.

1. Α' Κορ. 9, 22.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΣΕΡΑΠΙΩΝΑ ΘΜΟΥΕΩΣ ΕΠΙΣΚΟΠΟΝ *

Κατὰ τῶν βλασφημούντων καὶ λεγόντων κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

1. Τὰ γράμματα τῆς σῆς ἱερᾶς διαθέσεως ἀπεδόθη μοι ἐν τῇ ἐρήμῳ. Καὶ εἰ καὶ πικρός τις ἦν καθ' ἡμῶν διωγμὸς ἐπικείμενος καὶ πολλὴ ἔρευνα τῶν ζητούντων ἡμᾶς ἀνελεῖν, ἀλλ' «ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως[1]», παρεκάλεσεν ἡμᾶς καὶ ἐν τοῖς γράμμασί σου. Ἀναμιμνησκόμενος γὰρ τῆς σῆς διαθέσεως καὶ πάντων τῶν γνησίων, ἔδοξα τούτους σὺν ἐμοὶ τότε παρεῖναι. Ἐπιπολὺ μὲν οὖν ἔχαιρον κατέχων τὰ γράμματα· ὡς δὲ τούτοις ἐνέτυχον, ἠρξάμην πάλιν ἀθυμεῖν διὰ τοὺς ἅπαξ μελετήσαντας μάχεσθαι πρὸς τὴν ἀλήθειαν. Ἔγραφες γάρ, ἀγαπητὲ καὶ ἀληθῶς ποθεινότατε, λυπούμενος καὶ αὐτός, ὡς ἐξελθόντων μέν τινων ἀπὸ τῶν Ἀρειανῶν διὰ τὴν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ βλασφημίαν, φρονούντων δὲ κατὰ τοῦ ἁγίου Πνεύματος, καὶ λεγόντων αὐτὸ μὴ μόνον κτίσμα, ἀλλὰ καὶ τῶν λειτουργικῶν πνευμάτων[2] ἓν αὐτὸ εἶναι καὶ βαθμῷ μόνον αὐτὸ διαφέρειν τῶν ἀγγέλων. Τοῦτο δέ ἐστι πρὸς μὲν τοὺς Ἀρειανοὺς προσποιητὸς μάχη· ἀληθὴς δὲ ἀντιλογία πρὸς τὴν εὐσεβῆ πίστιν. Ὥσπερ γὰρ ἐκεῖνοι, ἀρνούμενοι τὸν Υἱόν, ἀρνοῦνται καὶ τὸν Πατέρα, οὕτω καὶ οὗτοι δυσφημοῦντες εἰς τὸ Πνεῦμα τὸ ἅγιον, δυσφημοῦσι καὶ εἰς τὸν Υἱόν. Καὶ ἀμφότερα τὰ μέρη διείλοντο τὴν πρὸς τὴν ἀλήθειαν ἀντίστασιν, ἵν' οἱ μὲν κατὰ τοῦ Λόγου, οἱ δὲ κατὰ τοῦ Πνεύματος φρονοῦντες, τὴν αὐτὴν ἔχωσιν εἰς τὴν ἁγίαν Τριάδα βλασφημίαν. Ταῦτ' οὖν συνορῶν καὶ πολλὰ λογιζόμενος, ἐν ἀθυμίᾳ γέγονα, ὅτι πάλιν εὗρε παίζειν ὁ διάβολος ἐν τοῖς ὑποκρινομένοις τὴν μανίαν αὐτοῦ· καὶ κρίνας μὴν ἤμην σιωπᾶν ἐν τοιούτῳ καιρῷ· διὰ δὲ τὴν προτροπὴν τῆς σῆς ὁσιότητος, ἕνεκά τε τῆς ἐκείνων ἀλλοδοξίας καὶ σατανικῆς προπετείας, δι' ὀλίγων ἔγραψα τὴν ἐπιστολήν, μόλις καὶ ταῦτα δυνηθείς,

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 530-676.

1. Β' Κορ. 1, 3. 2. Πρβλ. Ἑβρ. 1, 14.

ἵνα μόνον καὶ σύ, πρόφασιν ἐκ τούτων λαβών, κατὰ τὴν προσοῦσάν σοι σύνεσιν τὰ λείποντα προσθῇς, καὶ πλήρης ὁ κατὰ τῆς δυσσεβοῦς αἱρέσεως ἔλεγχος γένηται.

2. Τῶν μὲν οὖν Ἀρειανῶν οὐκ ἀλλότριον καὶ τοῦτο ἐνθύμημα. Ἅπαξ γὰρ ἀρνούμενοι τὸν τοῦ Θεοῦ Λόγον εἰκότως τὰ αὐτὰ καὶ κατὰ τοῦ Πνεύματος αὐτοῦ δυσφημοῦσι. Διὸ καὶ οὐ χρὴ πλέον τι πρὸς αὐτοὺς εἰπεῖν· ἀρκεῖ γὰρ τὰ πρὸ τούτων εἰρημένα κατ' αὐτῶν. Πρὸς δὲ τοὺς περὶ τοῦ Πνεύματος ἀπατηθέντας, τρόπῳ τινί, ὡς ἂν αὐτοὶ φαῖεν, προσήκει διερευνῶντας εἰπεῖν. Τούτων γὰρ καὶ θαυμάσειεν ἄν τις τὴν ἄνοιαν, ὅτι τὸν Υἱὸν τοῦ Θεοῦ μὴ θέλοντες κτίσμα εἶναι, καὶ καλῶς γε κατὰ τοῦτο φρονοῦντες, πῶς τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα κἂν ἀκοῦσαι ἠνέσχοντο; Καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Λόγου ἑνότητα, οὐ θέλουσιν εἶναι τῶν γενητῶν αὐτὸν τὸν Υἱόν, ἀλλ' ὅπερ ἐστὶν ἀληθῶς, δημιουργὸν αὐτὸν εἶναι τῶν ποιημάτων φρονοῦσι· διὰ τί τὸ Πνεῦμα τὸ ἅγιον τὸ τὴν αὐτὴν ἔχον ἑνότητα πρὸς τὸν Υἱόν, ἣν αὐτὸς ἔχει πρὸς τὸν Πατέρα, κτίσμα λέγουσι, καὶ ἠγνόησαν, ὅτι, ὥσπερ μὴ διαιροῦντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, σῴζουσι τὸ ἕνα Θεὸν εἶναι, οὕτω, διαιροῦντες ἀπὸ τοῦ Λόγου τὸ Πνεῦμα, οὐκέτι μίαν τὴν ἐν Τριάδι θεότητα σῴζουσι, σχίζοντες αὐτὴν καὶ ἐπιμίσγοντες αὐτῇ ἀλλοτρίαν καὶ ἑτεροειδῆ φύσιν, καὶ τοῖς κτίσμασι συνεξισοῦντες αὐτήν; Τοῦτο δὲ πάλιν οὐκέτι ἓν εἶναι δείκνυσι τὴν Τριάδα, ἀλλὰ ἐκ δύο καὶ διαφόρων φύσεων συγκειμένην αὐτήν, διὰ τὸ ἑτεροούσιον τοῦ Πνεύματος, ὡς αὐτοὶ ἑαυτοῖς ἀνεπλάσαντο. Ποία οὖν αὕτη θεολογία ἐκ δημιουργοῦ καὶ κτίσματος συγκειμένη; Ἢ γὰρ οὐ Τριάς ἐστιν, ἀλλὰ δυάς, καὶ λοιπὸν ἡ κτίσις, ἤ, εἰ Τριάς ἐστιν, ὥσπερ οὖν καί ἐστι, πῶς τοῖς μετὰ τὴν Τριάδα κτίσμασι συντάττουσι τὸ τῆς Τριάδος Πνεῦμα; Τοῦτο γάρ ἐστι πάλιν διαιρεῖν καὶ διαλύειν τὴν Τριάδα. Οὐκοῦν, κακῶς φρονοῦντες περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐδὲ περὶ τοῦ Υἱοῦ καλῶς φρονοῦσιν. Εἰ γὰρ ἐφρόνουν ὀρθῶς περὶ τοῦ Λόγου, ἐφρόνουν ὑγιῶς καὶ περὶ τοῦ Πνεύματος, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον ὄν, παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. Οὕτω δὲ πλανώμενοι, οὐδὲ περὶ τοῦ Πατρὸς ὑγιῆ τὴν πίστιν ἔχουσιν. Οἱ γὰρ ἀντικείμενοι τῷ Πνεύματι[1], ὡς εἶπεν ὁ μέγας μάρτυς Στέφανος, οὗτοι καὶ τὸν Υἱὸν ἀρνοῦνται. Τὸν δὲ Υἱὸν ἀρνούμενοι, οὐδὲ τὸν Πατέρα ἔχουσι.[2]

3. Πόθεν τοίνυν ὑμῖν, ὦ οὗτοι, τῆς τοσαύτης τόλμης ἡ πρόφασις, ὥστε μὴ φοβηθῆναι τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι;[3]» Οἱ μὲν γὰρ Ἀρειανοί, καίτοι τὴν ἔνσαρκον παρουσίαν τοῦ Λόγου καὶ τὰ δι' αὐτὴν εἰρημένα μὴ νοήσαν-

1. Πρβλ. Πράξ. 7, 51. 2. Πρβλ. Α' Ἰω. 2, 23. 3. Ματθ. 12, 32. Μάρκ. 3, 29.

τες, ὅμως ἐξ αὐτῶν πρόφασιν λαβόντες εἰς τὴν ἑαυτῶν αἵρεσιν, καὶ οὕτως ἠλέγχθησαν θεομάχοι καὶ ὡς ἀληθῶς ἀπὸ γῆς κενολογοῦντες.[1] Ὑμεῖς δὲ πόθεν ἠπατήθητε; παρὰ τίνων ἀκούσαντες, ἢ τίς ὁ τρόπος τῆς τοιαύτης ὑμῶν πλάνης; Ἀνέγνωμεν, φασίν, ἐν τῷ προφήτῃ Ἀμώς, λέγοντος τοῦ Θεοῦ, «Ὅτι Ἰδοὺ ἐγὼ στερεῶν βροντήν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ· ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.[2]» Καὶ ἔνθεν ἐπείσθημεν τοῖς Ἀρειανοῖς λέγουσι κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Εἶτα τὸ μὲν παρὰ τῷ Ἀμὼς ἀνέγνωτε· τὸ δὲ ἐν ταῖς Παροιμίαις λεγόμενον, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ[3]», οὐκ ἀνέγνωτε, ἢ ἀνέγνωτε; Καὶ τοῦτο μέν, ὡς ἔχει ἀληθείας, ἑρμηνεύετε, ἵνα μὴ εἴπητε κτίσμα τὸν Λόγον· τὸ δὲ ἐν τῷ προφήτῃ οὐχ ἑρμηνεύετε, ἀλλὰ ἁπλῶς ἀκούοντες «πνεῦμα», ἐνομίσατε λέγεσθαι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον; Καίτοι ἐν μέν, ταῖς Παροιμίαις φανερῶς ἡ Σοφία λέγουσά ἐστι τό, «ἔκτισέ με·» καὶ ὅμως καλῶς γε ποιοῦντες, ἑρμηνεύετε τὸ ῥητόν, ἵνα μὴ τὴν δημιουργὸν Σοφίαν ἐν τοῖς κτίσμασι συναριθμῆτε. Τὸ δὲ ἐν τῷ προφήτῃ ῥητὸν οὐκ ἔχει γνώρισμα περὶ τοῦ ἁγίου Πνεύματος, ἀλλ' ἁπλῶς εἴρηται περὶ πνεύματος. Πῶς οὖν, καίτοι πλείστης οὔσης διαφορᾶς ἐν ταῖς Γραφαῖς περὶ πνευμάτων, καὶ δυναμένου τοῦ ῥητοῦ τὴν ἰδίαν διάνοιαν ἔχειν ὀρθήν, ὑμεῖς, ὡς φιλονεικοῦντες ἢ ὡς ὑπὸ δήγματος τοῦ Ἀρειανοῦ ὄφεως βλαβέντες, τὸ Πνεῦμα τὸ ἅγιον εἰρῆσθαι παρὰ τοῦ Ἀμὼς νομίζετε, ἵνα μόνον τοῦ φρονεῖν κτίσμα μὴ ἐπιλάθησθε;

4. Εἴπατε γοῦν εἴ που τῆς θείας Γραφῆς εὑρίσκετε τὸ Πνεῦμα τὸ ἅγιον ἁπλῶς εἰρημένον πνεῦμα, χωρὶς προσθήκης τοῦ λέγεσθαι ἢ τοῦ Θεοῦ, ἢ τοῦ Πατρός, ἢ ὅτι ἐμοῦ, αὐτοῦ τοῦ Χριστοῦ καὶ τοῦ Υἱοῦ, ἢ παρ' ἐμοῦ, ὅ ἐστι παρὰ τοῦ Θεοῦ, ἢ μετὰ τοῦ ἄρθρου, ἵνα μὴ ἁπλῶς λέγηται πνεῦμα, ἀλλὰ τὸ Πνεῦμα· ἢ αὐτὸ τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, ἢ Παράκλητον, ἢ ἀληθείας, ὅ ἐστι τοῦ Υἱοῦ, τοῦ λέγοντος, «Ἐγώ εἰμι ἡ ἀλήθεια·[4]» ἵνα, ἀκούσαντες ἁπλῶς «πνεῦμα», ὑπονοήσητε εἶναι τὸ Πνεῦμα τὸ ἅγιον; Ἐξηρήσθωσαν δὲ τοῦ Λόγου νῦν οἵτινες ἤδη λαβόντες, πάλιν ὀνομάζονται, καὶ ὅσοι, προμαθόντες περὶ τοῦ ἁγίου Πνεύματος, ὕστερον ὡς ἐν ἐπαναλήψει καὶ ὑπομνήσει, καὶ μόνον λεγομένου «τοῦ πνεύματος», οὐκ ἀγνοοῦσι περὶ τίνος ἀκούουσι· καὶ μάλιστα, ὅτι καὶ οὕτω μετὰ τοῦ ἄρθρου λέγεται. Καὶ ὅλως ἄνευ τοῦ ἄρθρου, ἢ τῆς προειρημένης προσθήκης, οὐκ ἂν εἴη σημαινόμενον τὸ Πνεῦμα τὸ ἅγιον· οἷά ἐστιν ἃ γράφει Παῦλος τοῖς Γαλάταις· «Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; [5]» Ποῖον δὲ ἦσαν λαβόντες ἢ τὸ Πνεῦμα

1. Πρβλ. Ἰω. 3, 31. 2. Ἀμ. 4, 13. 3. Παρμ. 8, 22. 4. Ἰω. 14, 6. 5. Γαλ. 3, 2.

τὸ ἅγιον, τὸ διδόμενον τοῖς πιστεύουσι καὶ ἀναγεννωμένοις διὰ λουτροῦ παλιγγενεσίας; Καὶ Θεσσαλονικεῦσι δὲ γράφων· «Τὸ Πνεῦμα μὴ σβέννυτε·[1]» εἰδόσι καὶ αὐτοῖς ὅπερ ἔλαβον ἔλεγεν, ἵνα μὴ σβέσωσιν ἐξ ἀμελείας τὴν ἐν αὐτοῖς ἀναφθεῖσαν τοῦ Πνεύματος χάριν. Ἐν δὲ τοῖς Εὐαγγελίοις περὶ τοῦ Σωτῆρος ἀνθρωπίνως διὰ τὴν σάρκα ἣν προσέλαβεν, ἐὰν λέγωσιν οἱ εὐαγγελισταί, «Ἰησοῦς δέ, πλήρης Πνεύματος ὤν, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου·[2]» καὶ τό, «Τότε ὁ Ἰησοῦς ἠνήχθη ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον·[3]» τὸν αὐτὸν ἔχει νοῦν. Προείρητο γὰρ ὑπὸ τοῦ Λουκᾶ· «Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, καὶ Ἰησοῦ βαπτισθέντος, καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει, ὡσεὶ περιστεράν, ἐπ' αὐτόν.[4]» Καὶ δῆλον ἦν, ὅτι, λεγομένου τοῦ Πνεύματος, τὸ Πνεῦμα τὸ ἅγιον ἦν σημαινόμενον. Οὕτω μὲν οὖν παρ' οἷς ἐστι τὸ Πνεῦμα τὸ ἅγιον κἂν μόνον τὸ Πνεῦμα λέγηται χωρὶς τῆς ἐπ' αὐτῷ προσθήκης, οὐκ ἀμφίβολον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον σημαίνεται, ἔχον μάλιστα τὸ ἄρθρον.

5. Ὑμεῖς δὲ εἴπατε τὸ προταθὲν ὑμῖν, εἰ εὑρήκατέ που τῆς θείας Γραφῆς τὸ Πνεῦμα τὸ ἅγιον λεγόμενον ἁπλῶς Πνεῦμα, χωρὶς τῆς προειρημένης ἐπ' αὐτῷ προσθήκης, καὶ πλὴν τῆς παρατηρήσεως ἧς γε ἐμνημονεύσαμεν. Ἀλλ' οὐκ ἂν εἴποιτε· οὐ γὰρ εὑρήσετε γεγραμμένον. Ἀλλ' ἐν μὲν τῇ Γενέσει γέγραπται, «Καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος·[5]» καὶ μετ' ὀλίγα· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας·[6]» ἐν δὲ τοῖς Ἀριθμοῖς λέγει Μωϋσῆς πρὸς τὸν τοῦ Ναυῆ, «Μὴ ζηλοῖς σὺ ἐμέ· καὶ τίς ἂν δῷ τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ' αὐτούς[7]», Καὶ ἐν τοῖς Κριταῖς ἐπὶ μὲν Γοθονιήλ· «Καὶ ἐγένετο ἐπ' αὐτὸν Πνεῦμα Κυρίου, καὶ ἔκρινε τὸν Ἰσραήλ.[8]» Καὶ πάλιν· «Καὶ ἐγένετο ἐπὶ Ἰεφθάε Πνεῦμα Κυρίου.[9]» Περὶ δὲ Σαμψών· «Ἡδρύνθη, φησί, τὸ παιδάριον καὶ ηὐλόγησεν αὐτὸ Κύριος.[10]» Καί, «Ἤρξατο Πνεῦμα Κυρίου συνεκπορεύεσθαι αὐτῷ.[11]» Καί, «Ἥλατο ἐπ' αὐτὸν Πνεῦμα Κυρίου.[12]» Καὶ ὁ μὲν Δαβὶδ ψάλλει· «Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.[13]» Καὶ πάλιν ἐν τῷ ἑκατοστῷ τετταρακοστῷ δευτέρῳ ψαλμῷ· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.[14]» Ἐν δὲ τῷ Ἡσαΐᾳ γέγραπται· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με.[15]» Ἐλέγετο δὲ πρὸ τούτου· «Οὐαί, τέκνα ἀποστάται. Τάδε λέγει Κύριος· Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ Πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ'

1. Α' Θεσσ. 5, 19. 2. Λουκ. 4, 1. 3. Ματθ. 4, 1. 4. Λουκ. 3, 21-22. 5. Γεν. 1, 2. 6. Γεν. 6, 3. 7. Ἀριθ. 11, 29. 8. Κριτ. 3, 10. 9. Κριτ. 11, 29. 10. Κριτ. 13, 24. 11. Κριτ. 13, 25. 12. Κριτ. 15, 14. 13. Ψαλμ. 50, 13. 14. Ψαλμ. 142, 10-11. 15. Ἡσ. 61, 1.

ἁμαρτίαις·[1]» καὶ πάλιν· «Ἀκούσατε ταῦτα· Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην· καὶ νῦν Κύριος ἀπέστειλέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ.[2]» Μετ' ὀλίγα δὲ οὕτω φησί· «Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπε Κύριος, τὸ Πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί·[3]» καὶ αὖθις ἐν τοῖς ἑξῆς ἐπιφέρει λέγων· «Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτούς, καὶ φείδεσθαι αὐτῶν· αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος· αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν.[4]» Ἰεζεχιὴλ δὲ οὕτω λέγει· «Καὶ ἀνέλαβέ με Πνεῦμα, καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων εἰς τὴν αἰχμαλωσίαν, ἐν ὁράσει, ἐν Πνεύματι Θεοῦ.[5]» Ἐν δὲ τῷ Δανιήλ· «Ἐξήγειρεν ὁ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ· Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης.[6]» Καὶ ὁ μὲν Μιχαίας φησίν· «Οἶκος Ἰακὼβ παρώξυνε Πνεῦμα Κυρίου.[7]» Καὶ διὰ τοῦ Ἰωὴλ ὁ Θεός φησι· «Καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.[8]» Καὶ διὰ τοῦ Ζαχαρίου δὲ πάλιν, Θεοῦ φωνή ἐστι λέγοντος· «Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς δούλοις μου, τοῖς προφήταις.[9]» Ὅτε καὶ αἰτιώμενος ὁ προφήτης τὸν λαόν, μετ' ὀλίγα ἔλεγε· «Καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου, καὶ τοὺς λόγους οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν.[10]» Καὶ ταῦτα μὲν ἐκ τῶν Παλαιῶν ἀναλέξαντες, εἰρήκαμεν ὀλίγα.

6. Ἐρωτήσατε δὲ καὶ ὑμεῖς περὶ τῶν ἐν τοῖς Εὐαγγελίοις, καὶ ὧν ἔγραψαν οἱ ἀπόστολοι, καὶ ἀκούσεσθε πῶς κἀκεῖ, πλείστης οὔσης διαφορᾶς πνευμάτων, κατ' ἐξαίρετον τὸ Πνεῦμα τὸ ἅγιον οὐχ ἁπλῶς Πνεῦμα, ἀλλὰ μετὰ προσθήκης, ἧς εἴπομεν, ὀνομάζεται. Ὁ μὲν οὖν Κύριος ἡνίκα, καθὰ προεῖπον, ἀνθρωπίνως ἐβαπτίζετο, δι' ἣν ἐφόρει σάρκα, λέγεται καταβεβηκέναι ἐπ' αὐτὸν τὸν Πνεῦμα τὸ ἅγιον·[11] τοῦτο διδοὺς μὲν τοῖς μαθηταῖς, ἔλεγε· «Λάβετε Πνεῦμα ἅγιον·[12]» ἐδίδασκε δὲ αὐτούς· «Ὁ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα.[13]» Καὶ μετ' ὀλίγα περὶ τοῦ αὐτοῦ ἔλεγεν· «Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ·[14]» καὶ πάλιν· «Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν·[15]» καὶ μετ' ὀλίγα· «Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐγὼ ἐκβάλ-

---

1. Ἠσ. 30, 1. 2. Ἠσ. 48, 16. 3. Ἠσ. 49, 21. 4. Ἠσ. 63, 9-10. 5. Ἰεζ. 11, 24. 6. Δαν. (Σωσ. 45-46). 7. Μιχ. 2, 7. 8. Ἰωὴλ 3, 1. 9. Ζαχ. 1, 6. 10. Ζαχ. 7, 12. 11. Πρβλ. Ἰω. 1, 32. 12. Ἰω. 20, 22. 13. Ἰω. 14, 26. 14. Ἰω. 15, 26. 15. Ματθ. 10, 20.

λω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.[1]» Καὶ τὴν μὲν πᾶσαν θεολογίαν καὶ τὴν ἡμῶν τελείωσιν, ἐν ᾗ συνῆπτεν ἡμᾶς ἑαυτῷ καὶ δι' ἑαυτοῦ τῷ Πατρί, ἐν τούτῳ συμπληρῶν, παρήγγειλε τοῖς μαθηταῖς· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος·[2]» ἐπαγγειλάμενος δὲ αὐτοῖς αὐτὸ πέμψειν, «παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι·[3]» καὶ μεθ' ἡμέρας ὀλίγας, «Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν πάντες ὁμοῦ ἐπὶ τὸ αὐτό· καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν· καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς.[4]» Ἔνθεν οὖν καὶ διὰ μὲν τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων ἐδίδοτο τοῖς ἀναγεννωμένοις τὸ Πνεῦμα τὸ ἅγιον·[5] Ἄγαβος δέ τις προεφήτευσεν ἐν τούτῳ λέγων· «Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον·[6]» ὁ δὲ Παῦλος· «Ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος·[7]» τοῦ τε εὐνούχου βαπτισθέντος, «Ἥρπασε Πνεῦμα Κυρίου τὸν Φίλιππον.[8]» Καὶ Πέτρος ἔγραψε· «Κομιζόμενοι τὸ τέλος τῆς πίστεως, σωτηρίαν ψυχῶν· περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον ἐδηλοῦτο ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας.[9]» Καὶ ὁ μὲν Ἰωάννης ἐπέστειλεν· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν·[10]» ὁ δὲ Παῦλος γράφει Ῥωμαίοις μέν· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.[11]» Κορινθίοις δέ· «Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ Πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν·[12]» καὶ μετ' ὀλίγα· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε,

---

1. Λουκ. 11, 20. 2. Ματθ. 28, 19. 3. Πράξ. 1, 4. 4. Πρ. 2, 1-4. 5. Πρβλ. Πράξ. 8,17. 6. Πράξ. 21,11. 7. Πράξ. 20,28. 8. Πράξ. 8,39. 9. Α' Πέτρ. 1, 9-11. 10. Α' Ἰω. 4, 13. 11. Ῥωμ. 8, 9-11. 12. Α' Κορ. 2, 10-12.

καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;[1]» Καὶ πάλιν· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι Θεοῦ ἡμῶν·[2]» καὶ πάλιν· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται·[3]» καὶ πάλιν· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.[4]» Ὅρα δὲ πῶς καὶ Γαλάταις ἐπιστέλλει λέγων· «Ἵνα ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν, διὰ τῆς πίστεως·[5]» καὶ πάλιν· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ. Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός. Εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.[6]» Τοῖς δὲ Ἐφεσίοις οὕτως ἔλεγε· «Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.[7]» Καὶ πάλιν· «Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης.[8]» Πρὸς δὲ Φιλιππησίους ἐπαρρησιάζετο γράφων· «Τί γάρ; πλὴν ὅτι παντὶ τρόπῳ εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι·[9]» καὶ πάλιν· «Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ Πνεύματι Θεοῦ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ.[10]» Καὶ Θεσσαλονικεῦσι δὲ διαμαρτυρεῖται· «Τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν διδόντα τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ὑμᾶς·[11]» καὶ πρὸς Ἑβραίους δὲ οὕτω· «Δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν·[12]» καὶ πάλιν· «Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς Διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας;[13]» Καὶ πάλιν· «Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαρίσει τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων;[14]» καὶ πρὸς Θεσσαλονικεῖς δέ· «Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος Ἰησοῦς ἀνελεῖ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ.[15]»

7. Ἰδοὺ πῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐν πάσῃ τῇ θείᾳ Γραφῇ γνωρί-

1. Α' Κορ. 3, 16. 2. Α' Κορ. 6, 11. 3. Α' Κορ. 12, 11. 4. Β' Κορ. 3, 17. 5. Γαλ. 3, 14. 6. Γαλ. 4, 6-7. 7. Ἐφεσ. 4, 30. 8. Ἐφεσ. 4, 3. 9. Φιλιπ. 1, 18-20. 10. Φιλιπ. 3, 3. 11. Α' Θεσσ. 4, 8. 12. Ἑβρ. 9, 8. 13. Ἑβρ. 10, 20. 14. Ἑβρ. 9, 13-14. 15. Β' Θεσσ. 2, 8.

ζεται. Τί τοίνυν ὑμεῖς τοιοῦτον ἐν τῷ προφήτῃ ἐθεωρήσατε; Οὐδὲ γὰρ οὐδὲ κἂν τὸ ἄρθρον ἔχει τὸ παρὰ τοῦ προφήτου λεγόμενον νῦν «πνεῦμα», ἵνα κἂν πρόφασιν ἔχητε. Ἀλλ' ἁπλῶς ἐτολμήσατε τρόπους ἑαυτοῖς ἐπινοεῖν, καὶ εἰπεῖν τὸ λεγόμενον κτίζεσθαι πνεῦμα, αὐτὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, καίτοι δυνάμενοι μαθεῖν καὶ παρὰ φιλολόγων ἀνδρῶν περὶ διαφορᾶς πνευμάτων. Λέγεται γὰρ καὶ ἀνθρώπου πνεῦμα, ὡς ψάλλει Δαβίδ· «Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἤσχαλλε τὸ πνεῦμά μου.[1]» Ὁ δὲ Βαροὺχ ἐπευχόμενός φησι· «Ψυχὴ ἐν στενοῖς καὶ πνεῦμα ἀκηδιῶν κέκραγε πρὸς σέ.[2]» Καὶ ἐν μὲν τῇ ᾠδῇ τῶν τριῶν παίδων· «Εὐλογεῖτε, πνεύματα» καὶ «ψυχαὶ δικαίων, τὸν Κύριον.[3]» Ὁ δὲ Ἀπόστολος γράφει· «Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι·[4]» καὶ πάλιν· «Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ Πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.[5]» Ἐν δὲ τῇ πρὸς Θεσσαλονικεῖς ἐπιστολῇ ἐπευχόμενος λέγει· «Ὁλόκληρον ὑμῶν τὸ Πνεῦμα, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.[6]» Λέγεται δὲ καὶ ἀνέμων πνεύματα οὕτως ἐν μὲν τῇ γενέσει· «Καὶ ἐπήγαγεν ὁ Θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ·[7]» ἐπὶ δὲ τοῦ Ἰωνᾶ· «Καὶ Κύριος ἐξήγειρε πνεῦμα ἐπὶ τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ· καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι.[8]» Καὶ ἐν μὲν τῷ ἑκατοστῷ ἕκτῳ ψαλμῷ γέγραπται· «Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς.[9]» Ἐν δὲ τῷ ἑκατοστῷ τεσσαρακοστῷ ὀγδόῳ ψαλμῷ· «Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι, πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·[10]» καὶ ἐν τῷ Ἰεζεκιὴλ ἐπὶ τοῦ θρήνου Σόρ· «Ἐν καρδίᾳ θαλάσσης, ἐν ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάται σου· τὸ πνεῦμα τοῦ νότου συνέτριψέ σε.[11]»

8. Ἐντυγχάνοντες δὲ καὶ ὑμεῖς ταῖς ἁγίαις Γραφαῖς, εὑρήσετε λεγόμενον πνεῦμα καὶ τὸν ἐν αὐτοῖς τοῖς θείοις λόγοις νοῦν, γράφοντος τοῦ Παύλου· «Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. Τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.[12]» Τὸ μὲν γὰρ ῥητὸν γράμματι κεχάρακται· ὁ δὲ νοῦς ὁ ἐν αὐτῷ πνεῦμα λέγεται. Οὕτως καὶ «ὁ νόμος πνευματικός ἐστιν[13]», ἵν' ὡς πάλιν εἴρηκε, μὴ δουλεύωμεν ἐν παλαιότητι γράμματος, ἀλλ' ἐν καινότητι πνεύματος.[14] Καὶ αὐτὸς μὲν εὐχαριστῶν ἔλεγεν· «Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας· οὐδὲν νῦν ἄρα κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ὁ γὰρ

1. Ψαλμ. 76, 7. 2. Βαρ. 3, 1. 3. Δαν. (Ὕμνος τριῶν παίδ. 63). 4. Ῥωμ. 8, 16-17. 5. Α' Κορ. 2, 11. 6. Α' Θεσσ. 5, 23. 7. Γεν. 8, 1. 8. Ἰων. 1, 4. 9. Ψαλμ. 106, 25. 10. Ψαλμ. 148, 7-8. 11. Ἰεζ. 27, 25-26. 12. Β' Κορ. 3, 6. 13. Ῥωμ. 7, 14. 14. Πρβλ. Ῥωμ. 7, 6.

νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας·[1]» ὁ δὲ Φίλιππος, τὸν εὐνοῦχον ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα θέλων ἐπιστρέφειν, ἔλεγεν· «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;[2]» τοιοῦτον ἐσχηκὼς μαρτυρεῖται καὶ ὁ Χάλεβ ἐν τοῖς Ἀριθμοῖς, τοῦ Θεοῦ λέγοντος· «Ὁ δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη ἕτερον πνεῦμα ἐν αὐτῷ, καὶ ἐπηκολούθησέ μοι· εἰσάξω αὐτὸν εἰς τὴν γῆν, εἰς ἣν εἰσῆλθεν ἐκεῖ.[3]» Ἄλλῃ γὰρ διανοίᾳ παρὰ τὴν ἐκείνων αὐτὸς λαλήσας, εὐάρεστος τῷ Θεῷ γέγονε. Τοιαύτην ἔχειν προέτρεψεν ὁ Θεὸς τὸν λαὸν καρδίαν διὰ Ἰεζεκιὴλ λέγων· «Ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν.[4]» Τούτων τοίνυν οὕτως ὄντων, καὶ τοσαύτης διαφορᾶς περὶ τῶν πνευμάτων δεικνυμένης, βελτίους ἂν ἦτε, εἰ, περὶ κτιζομένου πνεύματος ἀκούοντες, περὶ ἑνὸς τῶν προειρημένων ἐφρονεῖτε, οἷον ἦν περὶ οὗ ἐν Ἡσαΐᾳ, γέγραπται· «Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ.[5]» Τοιοῦτον δὲ ἦν καί, «Ὁ ἐξήγειρε Κύριος πνεῦμα ἐπὶ τὴν θάλασσαν[6]» διὰ τὸν Ἰωνᾶν. Ἀκολουθεῖ γὰρ τῇ βροντῇ καὶ τὰ τῶν ἀνέμων πνεύματα, ὡς ἐπὶ τοῦ ὑετοῦ τοῦ κατὰ τὸν Ἀχαάβ, ὡς γέγραπται· «Καὶ ἐγένετο ὧδε, καὶ ἕως ὧδε, καὶ ὁ οὐρανὸς συνεσκότασε νεφέλαις καὶ πνεύματι.[7]»

9. Ἀλλ' ἐπείπερ Χριστοῦ, φησί, μνημονεύει τὸ Λόγιον, ἀκολούθως καὶ τὸ λεγόμενον πνεῦμα οὐδὲν ἕτερον ἢ τὸ Πνεῦμα τὸ ἅγιον χρὴ νοεῖν. Εἶτα τὸ μὲν συνονομάζεσθαι τῷ Χριστῷ τὸ Πνεῦμα τὸ ἅγιον ἐθεωρήσατε· τὸ δὲ διαιρεῖν αὐτὸ τῇ φύσει, καὶ ἀποξενίζειν ἀπὸ τοῦ Υἱοῦ ποῦ κατενοήσατε, ὅτι τὸ μὲν Χριστὸν λέγετε μὴ εἶναι κτίσμα, τὸ δὲ ἅγιον Πνεῦμα κτίσμα λέγετε; Καὶ ἄτοπόν ἐστι τὰ ἀνόμοια τῇ φύσει συνονομάζειν, καὶ συνδοξάζειν. Ποία γὰρ κοινωνία, ἢ ποία ὁμοιότης τῷ κτίσματι πρὸς τὸν κτίστην; Ἐπεὶ ὥρα ὑμᾶς καὶ τῷ Υἱῷ συναριθμεῖν καὶ συνάπτειν τὰ δι' αὐτοῦ γενόμενα κτίσματα. Ἤρκει μὲν οὖν περὶ πνεύματος ἀνέμων νοεῖν τὸ γεγραμμένον, ὥσπερ εἴρηται· ἐπειδὴ δὲ προφασίζεσθε τὴν ἐν τῷ ῥητῷ περὶ τοῦ Χριστοῦ μνήμην, ἀναγκαῖον ἰδεῖν ἀκριβῶς τὸ λεγόμενον, μὴ ἄρα καὶ περὶ τοῦ λεγομένου κτίζεσθαι πνεύματος[8] οἰκειοτέραν εὕρωμεν τὴν διάνοιαν. Τί τοίνυν ἐστὶ τὸ ἀπαγγέλλειν εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ἢ τὸ γίνεσθαι αὐτὸν ἄνθρωπον, καὶ ἴσον εἶναι τοῦτο τῷ φάναι· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ·[9]» καὶ τὰ ἄλλα, ὅσα περὶ τῆς ἐπιδημίας αὐτοῦ γέγραπται; τῆς δὲ ἐνσάρκου παρουσίας ἀπαγγελλομένης περὶ τοῦ Λόγου, ποῖον χρὴ πνεῦμα κτιζόμενον νοεῖν, εἰ μὴ τὸ ἀνακτιζόμενον τῶν ἀνθρώ-

---

1. Ῥωμ. 7, 25-8, 2. 2. Πράξ. 8, 30. 3. Ἀριθ. 14, 24. 4. Ἰεζ. 18, 31. 5. Ἡσ. 7, 2. 6. Ἰων. 1, 4. 7. Γ' Βασ. 18, 45. 8. Πρβλ. Ἀμ. 4, 13. 9. Ἡσ. 7, 14.

πων καὶ ἀνακαινιζόμενον πνεῦμα; Τοῦτο γὰρ καὶ διὰ Ἰεζεκιὴλ ἐπεγγείλατο ὁ Θεὸς λέγων· «Καὶ δώσω ὑμῖν καρδίαν καινήν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν· καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην· καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν.[1]» Πότε δὴ τοῦτο πεπλήρωται, εἰ μὴ ὅτε παραγενόμενος ὁ Κύριος ἀνεκαίνισε τὰ πάντα τῇ χάριτι; Ἰδοὺ γὰρ καὶ ἐν τῷ ῥητῷ τούτῳ ἡ διαφορὰ τῶν πνευμάτων δείκνυται· καὶ τὸ μὲν πνεῦμα τὸ ἡμῶν ἀνακαινιζόμενον, ἀλλ' ἑαυτοῦ φησιν αὐτὸ εἶναι ὁ Θεός, ἐν ᾧ καὶ τὰ ἡμῶν ἀνακαινίζεται· ὡς καὶ ὁ ψάλλων ἐν τῷ ἑκατοστῷ καὶ τρίτῳ ψαλμῷ λέγει· «Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[2]» Εἰ δὲ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἀνακαινιζόμεθα, οὐκ ἄρα τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ νῦν λεγόμενον πνεῦμα κτίζεσθαι, ἀλλὰ τὸ ἡμέτερον. Καὶ εἴπερ, διὰ τὸ πάντα γενέσθαι διὰ τοῦ Λόγου, φρονεῖτε καλῶς μὴ εἶναι κτίσμα τὸν Υἱόν, πῶς οὐ βλάσφημόν ἐστι λέγειν κτίσμα ὑμᾶς τὸ Πνεῦμα, ἐν ᾧ τὰ πάντα ὁ Πατὴρ διὰ τοῦ Λόγου τελειοῖ καὶ ἀνακαινίζει; Καὶ εἰ, διὰ τὸ γεγράφθαι ἁπλῶς πνεῦμα κτίζεσθαι, ἀνεπλάσαντο ἑαυτοῖς εἶναι τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, πεισθῆναι λοιπὸν ὀφείλουσιν, ὅτι μὴ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ κτιζόμενον, ἀλλὰ τὸ ἡμέτερόν ἐστι τὸ ἐν αὐτῷ ἀνακαινιζόμενον· περὶ οὗ καὶ ὁ Δαβὶδ ηὔχετο ψάλλων· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.[3]» Ὧδε μὲν γὰρ λέγεται κτίζειν· πρότερον δὲ ἔπλασεν, ὁ Ζαχαρίας φησίν· «Ἐκτείνων τὸν οὐρανόν, καὶ θεμελιῶν τὴν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ·[4]» ὃ γὰρ πρότερον ἔπλασε, τοῦτο πεπτωκός, ἀνέκτισε, γενόμενος αὐτὸς ἐν τῷ κτίσματι, ὅτε ὁ Λόγος σὰρξ ἐγένετο, «ἵνα», ὡς ὁ Ἀπόστολος εἶπε, «τοὺς δύο κτίσῃ εἰς ἕναν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.[5]» Οὐ γὰρ ὡς ἑτέρου δημιουργηθέντος παρὰ τὸν ἐξ ἀρχῆς κατ' εἰκόνα γενόμενον ἄνθρωπον ἔλεγεν· ἀλλὰ τὸν ἐν Χριστῷ κτισθέντα καὶ ἀνακαινισθέντα νοῦν συνεβούλευεν ἀναλαβεῖν· ὅπερ καὶ διὰ Ἰεζεκιὴλ πάλιν δηλοῦται, λέγοντος αὐτοῦ· «Ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν· καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; Διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει Ἀδωναῒ Κύριος.[6]»

10. Οὐκοῦν τοῦ κτιζομένου πνεύματος τοιαύτην ἔχοντος τὴν διάνοιαν, πρεπόντως ἂν νοηθείη καὶ ἡ στερεουμένη βροντὴ ὁ πιστὸς λόγος, καὶ ἀσάλευτος τοῦ πνεύματος ὁ νόμος. Τούτου γὰρ ὑπηρέτας εἶναι θέλων τὸν Ἰακὼβ καὶ τὸν Ἰωάννην, ἐκάλεσεν ὁ Κύριος Βοανεργές, ὅ ἐστιν, υἱοὶ βροντῆς·[7] ὅ γ' οὖν Ἰωάννης ἀληθῶς ἀπ' οὐρανοῦ

---

1. Ἰεζ. 36, 26-27. 2. Ψαλμ. 103, 29-30. 3. Ψαλμ. 50, 12. 4. Ζαχ. 12, 1. 5. Ἐφεσ. 2, 15. 4, 24. 6. Ἰεζ. 18, 31-32. 7. Μάρκ. 3, 17.

βοᾷ· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.[1]» Πρότερον μὲν γὰρ σκιὰν εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν· ὅτε δὲ ὁ Χριστὸς ἀπηγγέλθη τοῖς ἀνθρώποις καὶ παρεγένετο λέγων· «Αὐτὸς ὁ λαλῶν πάρειμι·[2] τότε, ὡς εἶπεν ὁ Παῦλος, «ἡ τούτου φωνὴ τὴν γῆν ἐσάλευσεν, ἐπαγγειλαμένου πρότερον· Ἔτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τὸ δὲ ἔτι ἅπαξ δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν, δι᾽ ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ.[3]» Ἣν δὲ λέγει βασιλείαν οὗτος ἀσάλευτον, ταύτην στερεωθεῖσαν ψάλλει Δαβίδ· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.[4]» Τὸ ἄρα παρὰ τῷ προφήτῃ ῥητὸν τὴν ἐπιδημίαν τοῦ Σωτῆρος σημαίνει, ἐν ᾗ καὶ ἡμεῖς ἀνεκαινίσθημεν καὶ ὁ νόμος τοῦ πνεύματος ἀσάλευτος διαμένει. Ἀλλ᾽ οἱ τῷ ὄντι τροπικοί, συνθέμενοι τοῖς Ἀρειανοῖς, καὶ μερισάμενοι μετ᾽ αὐτῶν τὴν εἰς τὴν θεότητα βλασφημίαν, ἵνα ἐκεῖνοι μὲν τὸν Υἱόν, οὗτοι δὲ τὸ Πνεῦμα κτίσμα λέγωσιν, ἐτόλμησαν, ὡς αὐτοί φασι, τρόπους πάλιν ἑαυτοῖς ἐφευρεῖν καὶ παρεξηγεῖσθαι καὶ τὸ τοῦ Ἀποστόλου ῥητόν, ὃ καλῶς μὲν αὐτὸς ἔγραφε Τιμοθέῳ λέγων· «Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.[5]» Ἐκεῖνοι δὲ φάσκουσιν, ἐπειδὴ τὸν Θεὸν καὶ τὸν Χριστὸν ὠνόμασεν, εἶτα τοὺς ἀγγέλους, ἀνάγκη τοῖς ἀγγέλοις συναριθμεῖσθαι τὸ Πνεῦμα, τῆς τε αὐτῶν εἶναι συστοιχίας καὶ αὐτό, καὶ ἄγγελον εἶναι μείζονα τῶν ἄλλων. Πρῶτον μὲν οὖν τῆς ἀσεβείας ἐστὶν Οὐαλεντίνου τοῦτο τὸ εὕρημα· καὶ οὐκ ἔλαβον οὗτοι τὰ ἐκείνου φθεγγόμενοι. Ἐκεῖνος γὰρ ἔφησεν, ὅτι, πεμφθέντος τοῦ Παρακλήτου, συναπεστάλησαν αὐτῷ οἱ ἡλικιῶται αὐτοῦ ἄγγελοι· ἔπειτα δὲ τὸ Πνεῦμα κατάγοντες εἰς τοὺς ἀγγέλους εἰς τὴν Τριάδα συντάσσοντες. Εἰ γὰρ μετὰ Πατέρα καὶ Υἱὸν κατ᾽ αὐτοὺς οἱ ἄγγελοι, δηλονότι τῆς Τριάδος εἰσὶν οἱ ἄγγελοι, καὶ οὐκ ἔτι «λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενοι[6]», οὐδὲ ἁγιαζόμενοι, ἀλλ᾽ αὐτοὶ μᾶλλον ἁγιάζοντες ἄλλους ἂν εἶεν.

11. Τί οὖν ἡ τοσαύτη τούτων ἀπόνοια; Ποῦ τῶν Γραφῶν πάλιν εὗρον ἄγγελον τὸ Πνεῦμα λεγόμενον; Τὰ αὐτὰ δέ μοι τοῖς προειρημένοις εἰπεῖν ἀνάγκη. Παράκλητος ἐλέχθη καὶ πνεῦμα υἱοθεσίας, καὶ πνεῦμα ἁγιασμοῦ, καὶ πνεῦμα Θεοῦ, καὶ Πνεῦμα Χριστοῦ ἐλέχθη· οὐδαμοῦ δὲ ἄγγελος, οὐδὲ ἀρχάγγελος, οὐδὲ πνεῦμα διακονίας, οἷοί εἰσιν οἱ ἄγγελοι· ἀλλὰ μᾶλλον σὺν τῷ Υἱῷ καὶ αὐτὸ διακονεῖται παρὰ τοῦ Γαβριὴλ λέγοντος τῇ Μαρίᾳ· «Πνεῦμα ἅγιον ἐπελεύσεται

1. Ἰω. 1, 1. 2. Πρβλ. Ἰω. 4, 26. 3. Ἑβρ. 12, 26-28. Πρβλ. Ἀγγ. 2, 7. 4. Ψαλμ. 92, 1. 5. Α´ Τιμ. 5, 21. 6. Ἑβρ. 1, 14.

ἐπὶ σέ· καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι[1]» Τῶν δὲ Γραφῶν μὴ λεγουσῶν ἄγγελον τὸ Πνεῦμα, ποία τούτοις ἀπολογία γένοιτ' ἂν τῆς τοσαύτης ἀλογίστου τόλμης; ὅπου γε καὶ ὁ τὴν τοιαύτην αὐτοῖς κακόνοιαν ἐπισπείρας Οὐαλεντῖνος τὸ μὲν Παράκλητον, τοὺς δὲ ἀγγέλους ὠνόμασεν· εἰ καὶ ἐν τῷ ἴσῳ χρόνῳ, ἡλικιώτην τοῖς ἀγγέλοις συντάσσει καὶ αὐτὸς τὸ Πνεῦμα ὁ ἀφρονέστατος. Ἀλλ' ἰδού, φασίν, ἐν τῷ προφήτῃ Ζαχαρίᾳ γέγραπται· «Τάδε λέγει ὁ ἄγγελος, ὁ λαλῶν ἐν ἐμοί.[2]» Καὶ δῆλόν ἐστιν, ὅτι ἄγγελον εἶναι τὸ Πνεῦμα σημαίνει τὸν ἐν αὐτῷ λαλοῦντα. Τοῦτο δὲ οὐκ ἂν εἶπον, εἰ τῇ ἀναγνώσει προσέχοντες ἦσαν. Αὐτὸς γὰρ ὁ Ζαχαρίας, ἡνίκα τὴν ὀπτασίαν περὶ τῆς λυχνίας ἑώρακε, φησί· «Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπεν· Οὐ γινώσκεις τί ἐστι ταῦτα; Καὶ εἶπον· Οὐχὶ Κύριε. Καὶ ἀπεκρίθη, καὶ εἶπε πρός με λέγων· Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ.[3]» Εὔδηλον οὖν, ὡς ὁ λαλῶν ἄγγελος τῷ προφήτῃ οὐκ ἦν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' αὐτὸς μὲν ἄγγελος, τὸ δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι τοῦ παντοκράτορος· καὶ διακονεῖται μὲν παρ' ἀγγέλου, ἀδιαίρετον δὲ τῆς θεότητός ἐστι, καὶ ἴδιον τοῦ λόγου. Ἐπεὶ εἰ τὸ ἀποστολικὸν προφασίζονται ῥητόν, διὰ τὸ εἰρῆσθαι μετὰ τὸν Χριστὸν τοὺς ἐκλεκτοὺς ἀγγέλους, εἰπάτωσαν τίς ἐκ πάντων τούτων ἐστὶν ὁ τῇ Τριάδι συντασσόμενος; Οὐ γὰρ δὴ πάντες εἷς εἰσι τῷ ἀριθμῷ· ἢ τίς αὐτῶν ἐστιν ὁ κατελθὼν εἰς τὸν Ἰορδάνην ἐν εἴδει περιστερᾶς; Χίλιαι γὰρ χιλιάδες εἰσὶ καὶ μύριαι μυριάδες οἱ λειτουργοῦντες.[4] Ἢ διὰ τί, ἀνοιγομένων τῶν οὐρανῶν, οὐκ εἴρηται, Καὶ κατῆλθεν ἐκ τῶν ἐκλεκτῶν ἀγγέλων, ἀλλά, τὸ Πνεῦμα τὸ ἅγιον; Ἢ διὰ τί αὐτὸς ὁ Κύριος περὶ μὲν τῆς συντελείας διαλεγόμενος τοῖς μαθηταῖς, διαστέλλων μὲν ἔλεγεν· «Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ;[5]» Καὶ πρὸ τούτων εἴρητο· «Οἱ ἄγγελοι διηκόνουν αὐτῷ.[6]» Καὶ πάλιν αὐτὸς λέγει· «Ἐξελεύσονται οἱ ἄγγελοι.[7]» Τοῖς δὲ μαθηταῖς διδοὺς ἔλεγε· «Λάβετε Πνεῦμα ἅγιον·[8]» ἀποστέλλων τε αὐτοὺς ἔλεγε· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.[9]» Οὐ γὰρ ἄγγελον συνέτασσε τῇ θεότητι, οὐδὲ ἐν κτίσματι συνῆπτεν ἡμᾶς ἑαυτῷ τε καὶ τῷ Πατρί, ἀλλ' ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ὅπερ αὐτὸς ἐπαγγελλόμενος οὐκ εἴρηκεν ἄγγελον ἀποστέλλειν, ἀλλὰ «τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται[10]», καὶ ἐκ τοῦ αὐτοῦ λαμβάνει καὶ δίδοται.[11]

12. Καὶ Μωσῆς γ' οὖν, γινώσκων τοὺς μὲν ἀγγέλους κτίσματα, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἡνωμένον τῷ Υἱῷ καὶ τῷ Πατρί, λέγοντος

---

1. Λουκ. 1, 35. 2. Ζαχ. 4, 1. 3. Ζαχ. 4, 5-6. 4. Πρβλ. Δαν. 7, 10. 5. Ματθ. 13, 41. 6. Ματθ. 4, 11. 7. Ματθ. 13, 49. 8. Ἰω. 20, 22. 9. Ματθ. 28, 19. 10. Ἰω. 15, 26. 11. Πρβλ. Ἰω. 16, 14.

αὐτῷ τοῦ Θεοῦ· «Πορεύου, ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν, ἣν ὤμοσα τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακὼβ λέγων· Τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ συναποστελῶ πρὸ προσώπου σου τὸν ἄγγελόν μου, καὶ ἐκβαλεῖ τὸν Χαναναῖον·[1]» παραιτεῖται λέγων· «Εἰ μὴ αὐτὸς συμπορεύῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν.[2]» Οὐκ ἐβούλετο γὰρ κτίσμα προηγεῖσθαι τοῦ λαοῦ, ἵνα μὴ μάθωσι λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν. Ἀμέλει, τὸν ἄγγελον παραιτησάμενος, παρεκάλει αὐτὸν τὸν Θεὸν καθηγεῖσθαι αὐτῶν. Τοῦ δὲ Θεοῦ ἐπαγγειλαμένου καὶ εἰπόντος πρὸς αὐτόν· «Καὶ τοῦτόν σου τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας·[3]» γέγραπται ἐν τῷ Ἡσαΐᾳ· «Ὁ ἀναβιβάσας ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων· ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, ὁ ἀναγαγὼν τῇ δεξιᾷ Μωσῆν;[4]» καὶ μετ' ὀλίγα φησί· «Κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς. Οὕτως ἤγαγες τὸν λαόν σου ποιῆσαι σεαυτῷ ὄνομα δόξης·[5]» τίς ἐκ τούτων οὐ συνορᾷ τὴν ἀλήθειαν; Τοῦ γὰρ Θεοῦ ἐπαγγειλαμένου καθηγεῖσθαι, ἰδοὺ οὐκ ἔτι ἄγγελον ἐπαγγέλλεται πέμπειν, ἀλλὰ τὸ Πνεῦμα αὐτοῦ, ὅ ἐστιν ὑπὲρ τοὺς ἀγγέλους, καὶ αὐτὸ καθηγούμενόν ἐστι τοῦ λαοῦ. Καὶ δείκνυται, ὅτι οὐ τῶν κτισμάτων, οὐδὲ ἄγγελός ἐστι τὸ Πνεῦμα, ἀλλὰ ἄνω τῆς κτίσεώς ἐστιν, ἡνωμένον τῇ θεότητι τοῦ Πατρός· Αὐτὸς γὰρ ὁ Θεὸς διὰ τοῦ Λόγου ἐν Πνεύματι καθηγεῖτο τοῦ λαοῦ· ὅθεν καὶ διὰ πάσης τῆς Γραφῆς φησιν· «Ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου·[6] μάρτυρες ὑμεῖς ἐστε, εἰ Θεὸς ἦν ἀλλότριος ἐν ὑμῖν πλὴν ἐμοῦ.[7]» Καὶ οἱ ἅγιοι δὲ προσφωνοῦσι τῷ Θεῷ· «Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου·[8]» καί, «Ὡδήγησεν αὐτοὺς Κύριος ἐπ' ἐλπίδι καὶ οὐκ ἐδειλίασαν.[9]» Τούτῳ καὶ τὸν ὕμνον ἀνατιθέασι λέγοντες· «Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.[10]» Ὁ δὲ μέγας Μωσῆς συνεχῶς διηγεῖται· «Κύριος ὁ Θεὸς ὁ προπορευόμενος πρὸ προσώπου ὑμῶν.[11]» Τὸ ἄρα τοῦ Θεοῦ Πνεῦμα οὐκ ἂν εἴη ἄγγελος, οὐδὲ κτίσμα, ἀλλ' ἴδιον τῆς θεότητος αὐτοῦ. Τοῦ γὰρ Πνεύματος ὄντος ἐν τῷ λαῷ, ὁ Θεὸς δι' Υἱοῦ ἐν Πνεύματι ἦν ἐν αὐτοῖς.

13. Ἀλλ' ἔστω ταῦτα, φασὶ καὶ αὐτοί· διὰ τί οὖν ὁ Ἀπόστολος μετὰ τὸν Χριστὸν οὐκ ὠνόμασε τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοὺς ἐκλεκτοὺς ἀγγέλους; Τὸ αὐτὸ δ' ἄν τις αὐτοὺς ἐρωτήσειε· Διὰ τί μὴ ἀρχαγγέλους, μηδὲ χερουβίμ, μηδὲ σεραφίμ, μηδὲ κυριότητας, μηδὲ θρόνους, μηδὲ ἕτερόν τι, ἀλλ' ἐκλεκτοὺς μόνους ἀγγέλους ὠνόμασεν ὁ Παῦλος; Ἆρ' οὖν, ἐπεὶ μὴ οὕτως ὠνόμασεν, οἱ ἄγγελοι

1. Ἔξ. 33, 1-2. 2. Ἔξ. 33, 15. 3. Ἔξ. 33, 17. 4. Ἡσ. 63, 11-12. 5. Ἡσ. 63, 14. 6. Λευιτ. 11, 45. 7. Πρβλ. Δευτ. 32, 39. Πρβλ. Ἡσ. 45, 21. Πρβλ. Ὠσ. 13, 4. 8. Ψαλμ. 76, 21. 9. Ψαλμ. 77, 53. 10. Ψαλμ. 135, 16. 11. Δευτ. 1, 30.

ἀρχάγγελοί εἰσιν, ἢ μόνοι ἄγγελοί εἰσι, καὶ οὔτε σεραφίμ, ἢ χερουβίμ, οὐκ ἀρχάγγελοι, οὐδὲ κυριότητες, οὐ θρόνοι, οὐκ ἀρχαί, οὐχ ἕτερόν τι ἐστίν; Ἀλλὰ τοῦτό ἐστιν ἀνάγκην μὲν ἐπιβάλλειν τῷ Ἀποστόλῳ, διὰ τί μὴ οὕτως, ἀλλ' οὕτως ἔγραψεν, ἀγνοεῖν δὲ τὰς θείας Γραφάς, καὶ διὰ τοῦτο πλανᾶσθαι περὶ τὴν ἀλήθειαν. Ἰδοὺ γὰρ παρὰ μὲν τῷ Ἡσαΐᾳ γέγραπται· «Προσαγάγετε πρός μέ, καὶ ἀκούσατε ταῦτα· Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην· καὶ νῦν Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ·[1]» παρὰ δὲ τῷ Ἀγγαίῳ· «Καὶ νῦν κατίσχυε Ζοροβάβελ, λέγει Κύριος, καὶ κατίσχυε Ἰησοῦ ὁ τοῦ Ἰωσεδέκ, ὁ ἱερεὺς ὁ μέγας, λέγει Κύριος. Καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος· καὶ ποιεῖτε, διότι μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν.[2]» Καὶ παρ' ἀμφοτέροις τοῖς προφήταις περὶ μόνου τοῦ Κυρίου καὶ τοῦ Πνεύματος μνήμη γέγονε. Τί τοίνυν καὶ περὶ τούτου φήσουσιν; Εἰ γάρ, ἐπειδὴ τοῦ Χριστοῦ μνημονεύσας ὁ Παῦλος περὶ μὲν τοῦ Πνεύματος ἐσιώπησε, τῶν δὲ ἐκλεκτῶν ἀγγέλων ἐμνημόνευσε, διὰ τοῦτο ἐν ἀγγέλοις τὸ Πνεῦμα συντάττουσιν· ὥρα, καὶ τοῖς προφητικοῖς τούτοις ἐντυγχάνοντας, τολμηρότερον αὐτοὺς διαλογίζεσθαι καὶ περὶ τοῦ σεσιωπημένου. Ἄν τε γὰρ τὸν Κύριον εἶναι, φήσουσιν εἶναι τὸν Υἱόν, τί ἂν εἴποιεν περὶ τοῦ Πατρός; ἄν τε τὸν Πατέρα εἴπωσι, τί ἂν εἴποιεν περὶ τοῦ Υἱοῦ; Τὴν γὰρ ἀκολουθοῦσαν κατ' ἐκείνους δυσφημίαν μηδὲ λογίσασθαί τινα γένοιτο· ἀνάγκη γὰρ αὐτοὺς εἰπεῖν, ἢ ὅτι οὐκ ἔστιν, ἢ τοῖς ποιήμασι συναριθμεῖν τὸ σεσιωπημένον.

14. Τί δ' ἂν εἴποιεν, ἐὰν ἀκούσωσι καὶ τοῦ Κυρίου λέγοντος· «Κριτής τις ἔν τινι χώρᾳ, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος.[3]» Ἆρα, ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασεν ἄνθρωπον, ὁ Υἱός ἐστιν οὗτος ὁ ἄνθρωπος, ὃν οὐκ ἐνετράπη ὁ ἄδικος κριτής; Ἢ ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασε τὸν ἄνθρωπον, τρίτος ἐστὶν ὁ Υἱὸς μετὰ τὸν ἄνθρωπον, καὶ τέταρτον τὸ Πνεῦμα τὸ ἅγιον; Τί δὲ ἄρα, ἐὰν καὶ τοῦ Ἀποστόλου ἐν τῇ αὐτῇ ἐπιστολῇ πάλιν λέγοντος ἀκούσωσι· «Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωογονοῦντος τὰ πάντα, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου, τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον;[4]» Ἆρα οὖν, ἐπειδὴ σεσιώπηκε νῦν περὶ ἀγγέλων καὶ Πνεύματος, ἀμφιβάλλουσι περὶ Πνεύματος, εἰ ἔστι, καὶ περὶ ἀγγέλων, εἴ εἰσι; Ναὶ ἀμφιβάλλουσιν ἕως τοιαῦτα δυσφημεῖν περὶ τοῦ Πνεύματος μεμελετήκασιν. Ἐὰν δὲ ἀκούσωσι τῆς Γραφῆς λεγούσης ἐν τῇ Ἐξόδῳ, «Ἐφοβήθη δὲ ὁ λαὸς τὸν Κύριον, καὶ ἐπίστευσαν τῷ Θεῷ, καὶ Μωσῇ, τῷ θεράποντι αὐτοῦ[5]», ἆρα συναριθμήσουσι τῷ Θεῷ τὸν Μωσῆν, καὶ μετὰ τὸν Θεὸν οὐ νοήσουσι τὸν Υἱόν, ἀλλὰ μόνον τὸν Μωσῆν; Τί δέ,

---

1. Ἡσ. 48, 16. 2. Ἀγγ. 2, 4-5. 3. Λουκ. 18, 2. 4. Α' Τιμ. 6,13-14. 5. Ἔξ. 14, 31.

ἐὰν ἀκούσωσι καὶ τοῦ πατριάρχου Ἰακὼβ εὐλογοῦντος τὸν Ἰωσὴφ καὶ λέγοντος· «Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης· ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν εὐλογῆσαι τὰ παιδία ταῦτα;[1]» Ἆρα, ἐπειδὴ μετὰ τὸν Θεὸν ὠνόμασεν ἄγγελον, πρῶτός ἐστιν ὁ ἄγγελος τοῦ Υἱοῦ, ἢ ἀγγέλοις συναριθμεῖται ὁ Υἱός; Ναί, πάλιν οὕτω νοήσουσι, διεφθαρμένην ἔχοντες τὴν καρδίαν. Ἀλλ' οὐχ ἡ ἀποστολικὴ πίστις ἐστὶ τοιαύτη, οὐδ' ὅλως Χριστιανὸς ἀνάσχοιτο ἂν τούτων. Ἡ γὰρ ἁγία καὶ μακαρία Τριάς, ἀδιαίρετος καὶ ἡνωμένη πρὸς ἑαυτήν ἐστι· καὶ λεγομένου τοῦ Πατρός, πρόσεστι καὶ ὁ τούτου Λόγος καὶ τὸ ἐν τῷ Υἱῷ Πνεῦμα. Ἐὰν δὲ καὶ ὁ Υἱὸς ὀνομάζηται, ἐν τῷ Υἱῷ ἐστιν ὁ Πατήρ, καὶ τὸ Πνεῦμα οὐκ ἔστιν ἐκτὸς τοῦ Λόγου. Μία γάρ ἐστιν ἐκ τοῦ Πατρὸς χάρις δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ πληρουμένη· καὶ μία θεότης ἐστί, καὶ εἷς Θεός ἐστιν ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. Οὕτω γὰρ καὶ ὁ Παῦλος, εἰρηκώς, «Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ[2]», ἐγίνωσκεν, ὅτι οὐ διῃρεῖτο τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἀλλ' ἐν Χριστῷ ἦν καὶ αὐτό, ὥσπερ ὁ Υἱὸς ἐν τῷ Πατρί· τοὺς δὲ ἐκλεκτοὺς ἀγγέλους συνεπήγαγεν εἰκότως, ἵνα, ἐπειδὴ διαμαρτυρία ἦν τῷ μαθητῇ λεγομένη, γινώσκων, ὡς τὰ μὲν λεγόμενα παρὰ Θεοῦ διὰ Χριστοῦ ἐν Πνεύματι λελάληται, οἱ δὲ ἄγγελοι διακονοῦσι τὰ παρ' ἡμῶν, ἐπισκοποῦντες τὰς ἑκάστου πράξεις, φυλάξῃ τὰς τοῦ διδασκάλου παραινέσεις, ὡς ἔχων τοὺς ἐφορῶντας τῶν λεγομένων μάρτυρας. Ἢ τάχα καὶ διὰ τοὺς διὰ παντὸς θεωροῦντας τὸ πρόσωπον τοῦ Πατρός, τοῦ ἐν τοῖς οὐρανοῖς, διαμαρτύρεται νῦν ἀγγέλους, ἕνεκά γε τῶν ἐν τῇ Ἐκκλησίᾳ μικρῶν, ἵνα, γινώσκων ὁ μαθητὴς τοὺς κηδεμόνας τῶν λαῶν, μὴ ἀμελήσῃ τῶν παραινέσεων τοῦ Ἀποστόλου.

15. Τῶν μὲν οὖν θείων λογίων τοιοῦτος ὁ νοῦς ἐμοὶ φαίνεται, διελέγχων τὴν τῶν ἀλόγων κατὰ τοῦ Πνεύματος δυσφημίαν· αὐτοὶ δὲ τὴν φιλονεικίαν ἔμμονον ἔχοντες πρὸς τὴν ἀλήθειαν, ὡς γράφεις, οὐκέτι μὲν ἀπὸ τῶν Γραφῶν (οὐχ εὑρίσκουσι γάρ), ἀπὸ δὲ τοῦ περισσεύματος τῆς καρδίας τῆς ἰδίας ἐρευγόμενοι, πάλιν φάσκουσιν· Εἰ μὴ κτίσμα ἐστί, μηδὲ τῶν ἀγγέλων εἷς ἐστιν, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· οὐκοῦν Υἱός ἐστι καὶ αὐτό, καὶ δύο ἀδελφοί εἰσιν αὐτό τε καὶ ὁ Λόγος. Καὶ εἰ ἀδελφός ἐστι, πῶς μονογενὴς ὁ Λόγος, ἢ πῶς οὐκ ἴσοι, ἀλλ' ὁ μὲν μετὰ τὸν Πατέρα, τὸ δὲ μετὰ τὸν Υἱὸν ὀνομάζεται; Πῶς δέ, εἰ ἐκ τοῦ Πατρός ἐστιν, οὐ λέγεται καὶ αὐτὸ γεγεννῆσθαι, ἢ ὅτι Υἱός ἐστιν, ἀλλ' ἁπλῶς Πνεῦμα ἅγιον; Εἰ δὲ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα, οὐκοῦν πάππος ἐστὶν ὁ Πατὴρ τοῦ Πνεύματος. Τοιαῦτα παίζουσιν οἱ ἄτιμοι, περιεργαζόμενοι καὶ θέλοντες ἐρευνᾶν τὰ βάθη τοῦ Θεοῦ, ἃ μηδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ δυσφημούμενον ὑπ' αὐτῶν. Ἔδει μὲν οὖν μηκέτι τούτοις ἀποκρίνασθαι, κατὰ δὲ τὴν ἀποστολικὴν

1. Γεν. 48, 15-16. 2. Β' Τιμ. 4, 1.

παραγγελίαν, μετὰ τὴν ἐκ τῶν προειρημένων νουθεσίαν ὡς αἱρετικοὺς αὐτοὺς παραιτεῖσθαι[1], ἢ ἄξια ὧν ἐρωτῶσιν ἐρωτᾶν αὐτούς, καὶ ἀπαιτεῖν παρ᾽ αὐτῶν ἀπόκρισιν, οἵαν αὐτοὶ παρ᾽ ἡμῶν ἀπαιτοῦσιν, Εἰπάτωσαν τοίνυν· εἰ ὁ Πατὴρ ἐκ πατρός ἐστι, καὶ εἰ ἄλλος σὺν αὐτῷ γεγέννηται, καί εἰσιν ἀδελφοὶ ἐξ ἑνός, καὶ τί ὄνομα αὐτοῖς, καὶ τίς ὁ τούτων Πατὴρ καὶ πάππος, κἀκείνων οἱ πρόγονοι; Ἀλλ᾽ οὐκ εἶναι φήσουσι. Πῶς οὖν Πατήρ, λεγέτωσαν, αὐτὸς μὴ γενόμενος ἐκ Πατρός; Ἢ πῶς ἠδυνήθη Υἱὸν ἔχειν, μὴ πρότερον αὐτὸς Υἱὸς γεννηθείς; Οἶδα, ὅτι ἀσεβὴς ἡ ἐρώτησις· ἀλλὰ τοιαῦτα παίζοντας αὐτοὺς παίζειν δίκαιον, ἵνα κἂν ἐκ τῆς τοιαύτης ἀτοπίας καὶ ἀσεβοῦς ἐρωτήσεως αἰσθάνεσθαι τῆς ἰδίας ἀφροσύνης δύνωνται. Οὐκ ἔστι γὰρ ταῦτα, μὴ γένοιτο! οὐδ᾽ οὕτως ἐρωτᾶν περὶ τῆς θεότητος πρέπει. Οὐκ ἔστι γὰρ ὡς ἄνθρωπος ὁ Θεός, ἵνα καὶ ἀνθρώπινα περὶ αὐτοῦ τις τολμήσῃ ἐρωτᾶν.

16. Σιωπᾶν μὲν οὖν, ὡς προεῖπον, ἐπὶ τούτοις, καὶ μὴ προσποιεῖσθαι τοὺς τοιούτους ἔδει· ἵνα δὲ μὴ ἡ ἡμῶν σιωπὴ πρόφασιν ἀναισχυντίας αὐτοῖς ἐμποιήσῃ, ἀκουέτωσαν· Ὥσπερ οὐκ ἔστιν ἐπὶ τοῦ Πατρὸς εἰπεῖν πατέρα, οὕτως οὐκ ἔστιν ἐπὶ τοῦ Υἱοῦ εἰπεῖν ἀδελφόν. Τοῦ μὲν γὰρ Πατρός, ὡς γέγραπται ἔμπροσθεν, ἄλλος Θεὸς οὐ γέγονεν· Υἱὸς δὲ οὐκ ἔστιν ἄλλος· μονογενὴς γάρ ἐστι· διὸ καὶ μόνος καὶ εἷς ὁ Πατήρ, μόνου καὶ ἑνὸς Υἱοῦ Πατήρ ἐστι· καὶ ἐπὶ μόνης τῆς θεότητος τὸ Πατὴρ καὶ τὸ Υἱὸς ἕστηκεν ἀεὶ καὶ ἔστι. Τῶν μὲν γὰρ ἀνθρώπων εἰ πατὴρ λέγεταί τις, ἀλλ᾽ ἑτέρου γέγονεν υἱός· καὶ εἰ υἱὸς λέγεται, ἀλλ᾽ ἑτέρου γέγονε πατήρ· ὥστε ἐπ᾽ ἀνθρώπων μὴ σῴζεσθαι κυρίως τὸ πατρὸς καὶ υἱοῦ ὄνομα. Ἀβραὰμ γοῦν, υἱὸς ὢν τοῦ Θάρρου, πατὴρ γέγονε τοῦ Ἰσαάκ· καὶ Ἰσαάκ, υἱὸς ὢν τοῦ Ἀβραάμ, πατὴρ γέγονε τοῦ Ἰακώβ· καὶ τοῦτον τὸν τρόπον ἡ φύσις τῶν ἀνθρώπων ἔχει· μέρη γάρ εἰσιν ἀλλήλων· καὶ ἕκαστος γεννώμενος ἔχει τοῦ πατρὸς μέρος, ἵνα καὶ αὐτὸς ἑτέρου γένηται πατήρ. Ἐπὶ δὲ τῆς θεότητος οὐκ ἔστιν οὕτως. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεός, οὐδὲ μεριζομένην ἔχει φύσιν· διὸ οὐδὲ γεννᾷ Υἱὸν μεριζόμενος, ἵνα καὶ αὐτὸς γένηται Πατὴρ ἑτέρου, ἐπεὶ μηδ᾽ αὐτός ἐστιν ἐκ Πατρός· οὔτε ὁ Υἱὸς δὲ μέρος ἐστὶ τοῦ Πατρός· διὸ καὶ οὐδὲ γεννᾷ, ὥσπερ γεγέννηται αὐτός, ἀλλὰ ὅλος ἐστὶν ὅλου εἰκὼν καὶ ἀπαύγασμα· καὶ ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως ἐστὶ Πατήρ· καὶ ὁ Υἱός, κυρίως Υἱός ἐστιν· καὶ ἐπὶ τούτων ἕστηκε τὸ Πατὴρ ἀεὶ Πατήρ, καὶ τὸ Υἱὸς ἀεὶ Υἱός. Καὶ ὥσπερ οὐκ ἂν εἴη ποτὲ ὁ Πατὴρ Υἱός, οὕτως οὐκ ἄν ποτε γένοιτο ὁ Υἱὸς Πατήρ. Καὶ ὥσπερ οὐ παύσεταί ποτε ὁ Πατὴρ μόνος ὢν Πατήρ, οὕτως οὐ παύσεταί ποτε ὁ Υἱὸς μόνος ὢν Υἱός. Μανία ἄρα κἂν ὅλως ἐνθυμεῖσθαι καὶ λέγειν ἐπὶ μὲν Υἱοῦ ἀδελφόν, ἐπὶ δὲ Πατρὸς τὸ πάππου ὄνομα. Οὐδὲ γὰρ ὠνομάσθη ἐν ταῖς Γραφαῖς υἱὸς τὸ Πνεῦμα, ἵνα μὴ ἀδελφὸς νομισθῇ· οὐδὲ υἱὸς τοῦ Υἱοῦ, ἵνα μὴ πάππος νοοῖτο ὁ Πατήρ· ἀλλ᾽

1. Πρβλ. Τίτ. 3, 10.

ὁ Υἱός, τοῦ Πατρὸς υἱός, καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς πνεῦμα εἴρηται· καὶ οὕτως τῆς ἁγίας Τριάδος μία ἡ θεότης καὶ πίστις ἐστίν.

17. Οὐκοῦν καὶ κατὰ τοῦτο μανία τὸ λέγειν αὐτὸ κτίσμα. Εἰ γὰρ κτίσμα ἦν, οὐ συνετάσσετο τῇ Τριάδι. Ὅλη γὰρ εἷς Θεός ἐστι. Καὶ ἀρκεῖ γινώσκειν, ὅτι μὴ κτίσμα ἐστὶ τὸ Πνεῦμα, μηδὲ τοῖς ποιήμασι συναριθμεῖται· οὐ γὰρ ἀλλότριον ἐπιμίγνυται τῇ Τριάδι, ἀλλ' ἀδιαίρετός ἐστι καὶ ὁμοία ἑαυτῇ. Ἀρκεῖ ταῦτα τοῖς πιστοῖς· μέχρι τούτων ἐν ἀνθρώποις ἡ γνῶσις φθάνει· ἕως τούτων τὰ χερουβὶμ καλύπτει ταῖς πτέρυξιν. Ὁ δὲ περιττὰ τούτων ζητῶν καὶ θέλων ἐρευνᾶν παρακούει τοῦ λέγοντος· «Μὴ σοφίζου περισσά, ἵνα μὴ ἐκπλαγῇς.[1]» Τὰ γὰρ πίστει παραδοθέντα, ταῦτα οὐκ ἐν ἀνθρωπίνῃ σοφίᾳ, ἀλλ' ἐν ἀκοῇ πίστεως διανοεῖσθαι πρέπει. Ποῖος γὰρ λόγος ἐπαξίως διερμηνεῦσαι δυνήσεται τὰ ὑπὲρ τὴν γενητὴν ὄντα φύσιν; Ἢ ποία τις ὅλως ἀκοὴ συνιέναι δύναται, ἃ μὴ ἔξεστιν ἀνθρώποις μήτε ἀκούειν, μήτε λαλεῖν; Περὶ μὲν οὖν ὧν ἤκουσεν ὁ Παῦλος, οὕτως εἴρηκε· περὶ δὲ αὐτοῦ τοῦ Θεοῦ· «Ὡς ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τίς γὰρ ἔγνω νοῦν Κυρίου; Ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;[2]» Ὁ γοῦν Ἀβραάμ, οὔτε περιειργάσατο, οὐδὲ ἀνέκρινε τὸν λαλοῦντα, ἀλλ' «ἐπίστευσε καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην·[3]» οὕτω Μωσῆς πιστὸς ἐκλήθη θεράπων.[4] Εἰ δὲ οἱ τὰ Ἀρείου φρονοῦντες, ἐπεὶ εἰς τὴν κακότεχνον αὐτῶν ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐ δύνανται νοεῖν οὐδὲ πιστεύειν περὶ τῆς ἀδιαιρέτου, καὶ ἁγίας Τριάδος, μὴ διὰ τοῦτο καὶ τὴν ἀλήθειαν παρεξηγείσθωσαν, μηδὲ ἅπερ αὐτοὶ μὴ δύνανται νοεῖν, ταῦτα λεγέτωσαν μηδὲ εἶναι δύνασθαι. Πρᾶγμα γὰρ πάσχουσιν ἀτοπώτατον· ὅτι, μὴ δυνάμενοι νοεῖν, πῶς ἀδιαίρετός ἐστιν ἡ ἁγία Τριάς, ποιοῦσιν οἱ μὲν Ἀρειανοὶ ἓν τὸν Υἱὸν μετὰ τῆς κτίσεως· οἱ δὲ τροπικοὶ τὸ Πνεῦμα καὶ αὐτοὶ τοῖς κτίσμασι συναριθμοῦσιν. Ἔδει δὲ αὐτοὺς ἢ καθόλου μὴ νοοῦντας σιωπᾶν, καὶ μὴ συντάσσειν, μήτε ἐκείνους τὸν Υἱόν, μήτε τούτους τὸ Πνεῦμα τοῖς κτίσμασιν· ἢ τὸ γεγραμμένον ἐπιγινώσκειν, καὶ τῷ Πατρὶ συνάπτειν τὸν Υἱόν, καὶ τὸ Πνεῦμα μὴ διαιρεῖν ἀπὸ τοῦ Υἱοῦ, ἵνα τὸ ἀδιαίρετον καὶ ὁμοφυὲς ἀληθῶς τῆς ἁγίας Τριάδος διαμείνῃ. Ταῦτα μαθόντας αὐτοὺς ἔδει μὴ τολμᾶν, μηδ' ἀμφιβάλλοντας ἐρωτᾶν, πῶς ταῦτα γένοιτο, ἵνα, κἂν ὁ ἐρωτώμενος ἀπορῇ λέγειν, μὴ ἐπινοῶσιν αὐτοὶ κακονοίας ἑαυτοῖς. Ἔστι μὲν γὰρ πᾶσι τοῖς γενητοῖς, μάλιστα δὲ ἡμῖν τοῖς ἀνθρώποις ἀδύνατον ἐπαξίως εἰπεῖν περὶ τῶν ἀπορρήτων. Τολμηρότερον δὲ πάλιν, μὴ δυναμένους λέγειν, ἐπινοεῖν ἐπὶ τούτων καινοτέρας λέξεις παρὰ τὰς τῶν Γραφῶν. Ἄλλως τε καὶ μανιώδης ἡ τοιαύτη ἐπιχείρησις τοῦ τε ἐρωτῶντος καὶ τοῦ κἂν ὅλως ἐνθυμουμένου ἀποκρίνασθαι. Οὐδὲ γὰρ οὐδὲ περὶ τῶν γενητῶν οὕτω τις ἐρωτῶν νομισθείη νοῦν ἔχειν ὀρθόν.

---

1. Ἐκκλ. 7, 16. 2. Ῥωμ. 11, 33-34. 3. Ῥωμ. 4, 3. 4. Πρβλ. Ἑβρ. 3, 5.

18. Ἢ τολμησάτωσαν ἀποκρίνασθαι οἱ πάντα λέγοντες εὐχερῶς, πῶς ὁ οὐρανὸς συνέστη, καὶ ἐκ ποίας ὕλης, καὶ τίς ἡ τούτου μίξις, ἢ πῶς ὁ ἥλιος, καὶ ἕκαστος τῶν ἀστέρων; Τί δὲ θαυμαστὸν ἐκ τῶν ὑπερκειμένων, αὐτῶν ἐλέγχειν τὴν ἀφροσύνην, ὅπου γε οὐδὲ πῶς τῶν ὧδε κάτω ξύλων ἡ φύσις, καὶ τῶν ὑδάτων τὰ συστήματα, πῶς τε τῶν ζῴων ἡ πλάσις καὶ ἡ σύστασις, γινώσκεται, Ἀλλ' οὐκ ἂν εἴποιεν, ὅπου γε καὶ Σολομών, ὁ περισσότερον πάντων σοφίας μετασχών, ὁρῶν ἀδύνατον ἀνθρώποις περὶ τούτων εὑρεῖν, ἔλεγε· «Καί γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν, ὅπως μὴ εὕρῃ ἄνθρωπος τὸ ποίημα, ὃ ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς καὶ μέχρι τέλους.[1]» Ἆρ' οὖν, ἐπεὶ μὴ δύνανται εὑρεῖν, οὐδὲ εἶναι αὐτὰ ὁμολογοῦσι; Ναὶ ὁμολογήσουσιν ἐφθαρμένην ἔχοντες τὴν διάνοιαν. Οὐκοῦν εἰκότως ἄν τις αὐτοῖς εἴποι· Ὦ ἀνόητοι καὶ πάντα τολμηροί, διὰ τί μὴ μᾶλλον ἐπὶ τῆς ἁγίας Τριάδος παύεσθε περιεργαζόμενοι, καὶ μόνον πιστεύετε, ὅτι ἔστιν· ἔχοντες εἰς τοῦτο διδάσκαλον τὸν Ἀπόστολον λέγοντα· «Πιστεῦσαι γὰρ δεῖ πρῶτον Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται;[2]» Οὐ γάρ, πῶς ἐστιν, εἴρηκεν, ἀλλὰ μόνον, «ὅτι ἔστιν.» Εἰ δὲ μηδὲ οὕτω καταδύονται, εἰπάτωσαν πῶς ἐστιν ὁ Πατήρ, ἵν' οὕτω μάθωσι, πῶς ἐστι καὶ ὁ τούτου Λόγος. Ἀλλ' ἄτοπον, φήσουσι, περὶ τοῦ Πατρὸς οὕτως ἐρωτᾶν. Ἄτοπον οὖν ἀκουέτωσαν καὶ περὶ τοῦ Λόγου αὐτοῦ οὕτως ἐρωτᾶν.

19. Περιττῆς τοιγαροῦν καὶ πλέον μανίας οὔσης τῆς τοιαύτης ἐπιχειρήσεως, μηκέτι τοιαῦτά τις ἐρωτάτω, ἢ μόνον τὰ ἐν ταῖς Γραφαῖς μανθανέτω. Αὐτάρκη γὰρ καὶ ἱκανὰ τὰ ἐν ταύταις κείμενα περὶ τούτου παραδείγματα. Πηγὴ τοίνυν καὶ φῶς λέγεται ὁ Πατήρ· «Ἐμὲ» γάρ, φησίν, «ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος.[3]» Καὶ πάλιν ἐν τῷ Βαρούχ· «Τί ἐστιν, Ἰσραήλ, ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ;[4] ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας·[5]» καὶ κατὰ τὸν Ἰωάννην· «Ὁ Θεὸς ἡμῶν φῶς ἐστι.[6]» Λέγεται δὲ καὶ ὁ Υἱὸς ὡς μὲν πρὸς τὴν πηγὴν ποταμός· «Ὁ ποταμὸς» γὰρ «τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων·[7]» πρὸς δὲ τὸ φῶς ἀπαύγασμα, λέγοντος τοῦ Παύλου· «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.[8]» Τοῦ τοίνυν Πατρὸς φωτὸς ὄντος, τοῦ δὲ Υἱοῦ ἀπαυγάσματος αὐτοῦ (τὰ αὐτὰ γὰρ περὶ τούτων μάλιστα οὐκ ὀκνητέον λέγειν πολλάκις), ἔξεστιν ὁρᾶν καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα, ἐν ᾧ φωτιζόμεθα· «Ἵνα» γάρ, φησί, «δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας.[9]» Τῷ δὲ Πνεύματι φωτιζομένων ἡμῶν, ὁ Χριστός ἐστιν ὁ ἐν αὐτῷ φωτίζων· «Ἦν» γάρ, φησί, «τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κό-

1. Ἐκκλ. 3, 11. 2. Ἑβρ. 11, 6. 3. Ἰερ. 2, 13. 4. Βαρ. 3, 10. 5. Βαρ. 3, 12. 6. Α' Ἰω. 1, 5. 7. Ψαλμ. 64, 10. 8. Ἑβρ. 1, 3. 9. Ἐφεσ. 1, 17-18.

σμον.[1]» Πάλιν τε τοῦ Πατρὸς ὄντος πηγῆς, τοῦ δὲ Υἱοῦ ποταμοῦ λεγομένου, πίνειν λεγόμεθα τὸ Πνεῦμα· γέγραπται γάρ, ὅτι «Ἡμεῖς πάντες ἓν Πνεῦμα ἐποτίσθημεν.[2]» Τὸ δὲ Πνεῦμα ποτιζόμενοι, τὸν Χριστὸν πίνομεν· «Ἔπινον» γὰρ «ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.[3]» Καὶ πάλιν τοῦ Χριστοῦ ὄντος ἀληθινοῦ Υἱοῦ, ἡμεῖς τὸ Πνεῦμα λαμβάνοντες, υἱοποιούμεθα· «Οὐ γὰρ ἐλάβετε», φησί, «Πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας.[4]» Υἱοποιούμενοι δὲ τῷ Πνεύματι, δῆλον, ὅτι ἐν τῷ Χριστῷ χρηματίζομεν τέκνα Θεοῦ. «Ὅσοι» γὰρ «ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.[5]» Εἶτα τοῦ Πατρός, ὡς ὁ Παῦλος εἶπε, μόνου σοφοῦ ὄντος, ὁ Υἱός ἐστιν ἡ σοφία αὐτοῦ· «Χριστὸς» γὰρ «Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.[6]» Τοῦ δὲ Υἱοῦ ὄντος, ὁ τῆς σοφίας, ἡμεῖς Πνεῦμα σοφίας λαμβάνοντες, τὸν Υἱὸν ἔχομεν, καὶ ἐν αὐτῷ σοφοὶ γινόμεθα. Οὕτω γὰρ καὶ γέγραπται ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ πέμπτῳ ψαλμῷ· «Κύριος λύει πεπεδημένους· Κύριος σοφοῖ τυφλούς.[7]» Καὶ τοῦ Πνεύματος δὲ διδομένου εἰς ἡμᾶς («Λάβετε γὰρ Πνεῦμα ἅγιον[8]», ἔλεγεν ὁ Σωτήρ), ὁ Θεὸς ἐν ἡμῖν ἐστιν· οὕτω γὰρ ὁ Ἰωάννης ἔγραψεν· «Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν.[9]» Τοῦ δὲ Θεοῦ ὄντος ἐν ἡμῖν, ἔστι καὶ ὁ Υἱὸς ἐν ἡμῖν, λέγοντος αὐτοῦ τοῦ Υἱοῦ· «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.[10]» Ἔπειτα ζωῆς οὔσης τοῦ Υἱοῦ, «Ἐγὼ» γάρ, φησίν, «εἰμὶ ἡ ζωή[11]», ζωοποιεῖσθαι λεγόμεθα ἐν τῷ Πνεύματι· «Ὁ» γὰρ «ἐγείρας», φησί, «Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.[12]» Ζωοποιουμένων δὲ ἡμῶν ἐν τῷ Πνεύματι, ζῆν αὐτὸς ὁ Χριστὸς ἐν ἡμῖν λέγεται. «Χριστῷ» γάρ, φησί, «συνεσταύρωμαι. Ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός.[13]» Καὶ πάλιν ὥσπερ ὁ Υἱός, ἅπερ ἐποίει ἔργα, ἔλεγε τὸν Πατέρα ἐργάζεσθαι· «Ὁ Πατὴρ» γάρ, φησίν, «ὁ μένων ἐν ἐμοί, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.[14]» Οὕτως, ἅπερ ἐν δυνάμει Πνεύματος εἰργάζετο ὁ Παῦλος, ἔλεγε τοῦ Χριστοῦ εἶναι τὰ ἔργα· «Οὐ γὰρ τολμήσω τί λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν ἐν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος ἁγίου.[15]»

20. Τοιαύτης δὲ συστοιχίας καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ Τριάδι οὔσης, τίς ἂν διέλοι ἢ τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, ἢ τὸ Πνεῦμα ἀπὸ τοῦ

---

1. Ἰω. 1, 9. 2. Α' Κορ. 12, 13. 3. Α' Κορ. 10, 4. 4. Ῥωμ. 8, 15. 5. Ἰω. 1, 12. 6. Α' Κορ. 1, 24. 7. Ψαλμ. 145, 7-8. 8. Ἰω. 20, 22. 9. Α' Ἰω. 4, 12-13. 10. Ἰω. 14, 23. 11. Ἰω. 14, 6. 12. Ῥωμ. 8, 11. 13. Γαλ. 2, 19-20. 14. Ἰω. 14, 10-12. 15. Ῥωμ. 15, 18-19.

Υἱοῦ, ἢ αὐτοῦ τοῦ Πατρός; ἢ τίς οὕτω τολμηρός, ὡς εἰπεῖν ἀνόμοιον καὶ ἑτεροφυῆ τὴν Τριάδα πρὸς ἑαυτήν, ἢ ἀλλοτριοούσιον τοῦ Πατρὸς τὸν Υἱόν, ἢ ξένον τὸ Πνεῦμα τοῦ Υἱοῦ; Πῶς δὲ ταῦτά ἐστιν; ἄν τις πάλιν ἐρωτήσειε ζητῶν· πῶς τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, λέγεται ὁ Υἱὸς εἶναι ἐν ἡμῖν, τοῦ τε Υἱοῦ ὄντος ἐν ἡμῖν, λέγεται ὁ Πατὴρ εἶναι ἐν ἡμῖν; ἢ πῶς ὅλως Τριάδος οὔσης, ἐν ἑνὶ σημαίνεται ἡ Τριάς; ἢ πῶς τοῦ ἑνὸς ὄντος ἐν ἡμῖν, ἡ Τριὰς ἐν ἡμῖν λέγεται; διελέτω πρῶτον αὐτὸς τὸ ἀπαύγασμα τοῦ φωτὸς ἢ τὴν σοφίαν τοῦ σοφοῦ· ἢ εἰπάτω, πῶς ἐστι ταῦτα. Εἰ δὲ μὴ τοῦτο δύναται, πολλῷ πλέον περὶ Θεοῦ τοιαῦτα ζητεῖν μαινομένων ἐστὶ τὸ τόλμημα· ἡ γὰρ θεότης οὐκ ἐν ἀποδείξει λόγων, ὥσπερ εἴρηται, παραδίδοται, ἀλλ' ἐν πίστει καὶ εὐσεβεῖ λογισμῷ μετ' εὐλαβείας. Εἰ γὰρ καὶ τὰ περὶ τοῦ σωτηριώδους σταυροῦ, «οὐκ ἐν σοφίᾳ λόγων [1], ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως [2]», ἐκήρυττεν ὁ Παῦλος, «καὶ ἀρρήτων δὲ ῥημάτων ἤκουσεν» ἐν τῷ παραδείσῳ, «ἃ μὴ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· [3]» περὶ αὐτῆς τῆς ἁγίας Τριάδος τίς ἐξειπεῖν δύναται; Ὅμως δ' οὖν τὴν τοιαύτην ἀπορίαν δυνήσεταί τις θεραπεύειν προηγουμένως μὲν τῇ πίστει, ἔπειτα δὲ καὶ ἐκ τῶν προειρημένων, φημὶ δή, τῆς εἰκόνος καὶ τοῦ ἀπαυγάσματος, καὶ πηγῆς, καὶ ποταμοῦ, καὶ ὑποστάσεως, καὶ χαρακτῆρος. Ὥσπερ γὰρ ἐν ἰδίᾳ εἰκόνι ἐστὶν ὁ Υἱὸς ἐν τῷ Πνεύματι, οὕτω καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Καὶ γὰρ τὸ ἀδύνατον τῆς διὰ λόγων ἑρμηνείας, καὶ τοῦ καταλαβεῖν τὰ τοιαῦτα παραμυθουμένη ἡ θεία Γραφή, τοιαῦτα καὶ τὰ παραδείγματα δέδωκεν ἡμῖν, ἵν' οὕτω διὰ τὴν ἀπιστίαν τῶν τολμηρῶν λέγειν ἁπλούστερον, καὶ λέγειν ἀκινδύνως καὶ μετὰ συγγνώμης νοεῖν ἐξῇ, καὶ πιστεύειν ἕνα εἶναι τὸν ἁγιασμόν, τὸν ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ γινόμενον. Καὶ γὰρ ὥσπερ μονογενὴς ὁ Υἱός ἐστιν, οὕτω καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἕν ἐστι καὶ οὐ πολλά, οὐδὲ ἐκ πολλῶν ἕν, ἀλλὰ μόνον αὐτὸ Πνεῦμα. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζῶσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεάν, ἥτις ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς ὁμολογουμένου ἐκλάμπει, καὶ ἀποστέλλεται, καὶ δίδοται. Ἀμέλει ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται. «Οὕτω» γάρ, φησίν, «ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέστειλεν.[4]» Ὁ δὲ Υἱὸς τὸ Πνεῦμα ἀποστέλλει· «Ἐὰν» γάρ, φησίν, «ἐγὼ ἀπέλθω, ἀποστελῶ τὸν Παράκλητον.[5]» Καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει, λέγων· «Πάτερ, ἐγώ σε ἐδόξασα· [6]» τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν· «Ἐκεῖνος» γάρ, φησίν, «ἐμὲ δοξάσει.[7]» Καὶ ὁ μὲν Υἱός φησιν· «Ἃ ἤκουσα παρὰ τοῦ Πατρός, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον· [8]» τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει·

1. Α' Κορ. 1, 17. 2. Α' Κορ. 2, 4. 3. Β' Κορ. 12, 4. 4. Ἰω. 3, 16. 5. Ἰω. 16, 7. 6. Ἰω. 17, 4. 7. Ἰω. 16, 14. 8. Ἰω. 8, 26.

«Ἐκ τοῦ ἐμοῦ» γὰρ «λήψεται καὶ ἀναγγελεῖ ὑμῖν[1]», φησί. Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· «Τὸ δὲ Πνεῦμα τὸ ἅγιον», φησὶν ὁ Υἱός, «ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου.[2]»

21. Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱόν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ ἐξ ἀνάγκης φρονήσει; Εἰ γάρ ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα, ἀκόλουθον ἂν εἴη λέγειν αὐτοὺς καὶ τὸν Λόγον τοῦ Πατρὸς εἶναι κτίσμα. Τοιαῦτα γὰρ οἱ Ἀρειανοὶ φαντασθέντες, εἰς τὸν κατὰ Καϊάφαν Ἰουδαϊσμὸν πεπτώκασιν. Εἰ δὲ τὰ Ἀρείου μὴ προσποιοῦνται φρονεῖν οἱ περὶ τοῦ Πνεύματος τοιαῦτα λέγοντες, φευγέτωσαν καὶ τὰ ἐκείνου ῥήματα, καὶ μὴ ἀσεβείτωσαν εἰς τὸ Πνεῦμα. Ὥσπερ γὰρ ὁ Υἱός, ὁ ἐν τῷ Πατρὶ ὤν, ἐν ᾧ καὶ ὁ Πατήρ ἐστιν, οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιος τῆς τοῦ Πατρὸς οὐσίας(τοῦτο γὰρ καὶ ὑμεῖς προσποιεῖσθε λέγειν)· οὕτως καὶ τὸ Πνεῦμα τὸ ἐν τῷ Υἱῷ, ἐν ᾧ καὶ ὁ Υἱός ἐστιν, οὐ θέμις τοῖς κτίσμασι συντάσσειν, οὐδὲ διαιρεῖν αὐτὸ ἀπὸ τοῦ Λόγου, καὶ ἀτελῆ τὴν Τριάδα κατασκευάζειν. Τῶν μὲν οὖν ῥητῶν τοῦ τε προφητικοῦ καὶ τοῦ ἀποστολικοῦ χάριν, ὧν τὴν διάνοιαν παραποιοῦντες, ἠπάτησαν ἑαυτούς, ἀρκεῖ διὰ τούτων διελέγξαι τὴν ἐκ τῆς ἀμαθίας τῶν τροπικῶν δυσφημίαν. Ἴδωμεν δὲ λοιπὸν καὶ αὐτὰ καθ' αὐτὰ τὰ ἐν ταῖς θείαις Γραφαῖς περὶ τοῦ Πνεύματος τοῦ ἁγίου λεγόμενα, καὶ ὡς δόκιμοι τραπεζῖται διακρίνωμεν, εἰ ἴδιόν τι πρὸς τὰ κτίσματα ἔχει τὸ Πνεῦμα, ἢ ἴδιον τοῦ Θεοῦ ἐστιν, ἵνα ἢ κτίσμα αὐτὸ εἴπωμεν, ἢ ἄλλο μὲν τῶν κτισμάτων, ἴδιον δὲ καὶ ἓν τῆς ἐν Τριάδι θεότητος. Τάχα κἂν οὕτως ἐντραπῶσι, μαθόντες, ὅσον ἀπᾴδει τῶν θείων λογίων τὰ ἐφευρεθέντα παρ' αὐτῶν τῆς βλασφημίας ῥήματα.

22. Τὰ κτίσματα τοίνυν ἐξ οὐκ ὄντων γέγονεν, ἀρχὴν ἔχοντα τοῦ γίνεσθαι· «ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν[3]» καὶ πάντα τὰ ἐν αὐτοῖς. Ἐκ δὲ τοῦ Θεοῦ λέγεται τὸ Πνεῦμα τὸ ἅγιον· «Οὐδεὶς» γάρ, φησίν, «οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ.[4]» Ποία τοίνυν ἐκ τῶν προειρημένων συγγένεια τῷ Πνεύματι πρὸς τὰ κτίσματα; Τὰ μὲν γὰρ κτίσματα οὐκ ἦν· ὁ δὲ Θεὸς ὤν ἐστιν, ἐξ οὗ καὶ τὸ Πνεῦμα. Τὸ δὲ ἐκ τοῦ Θεοῦ οὐκ ἂν εἴη ἐκ τοῦ μὴ ὄντος, οὐδὲ κτίσμα, ἵνα μὴ κατ' ἐκείνους καὶ ὁ ἐξ οὗ ἐστι τὸ Πνεῦμα, κτίσμα εἶναι νομισθῇ. Τίς οὖν τῶν τοιούτων ἀφρόνων ἀνέξεται, λεγόντων καὶ αὐτῶν ἐν καρδίᾳ μὴ εἶναι Θεόν;[5] Καὶ γὰρ εἰ ὥσπερ οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ Πνεῦμα τὸ ἐν αὐτῷ, οὕτως καὶ τὰ τοῦ Θεοῦ εἰ μὴ τὸ ἐν αὐτῷ Πνεῦμα· πῶς οὐ δύσφημον ἂν εἴη λέγειν κτίσμα τὸ ἐν τῷ Θεῷ Πνεῦμα, τὸ καὶ τὰ βάθη τοῦ Θεοῦ ἐρευ-

1. Ἰω. 16, 14. 2. Ἰω. 14, 26. 3. Γεν. 1, 1. 4. Α' Κορ. 2, 11-12.
5. Πρβλ. Ψαλμ. 13, 1.

νῶν; Μαθήσεται γὰρ ἐκ τούτων εἰπεῖν ὁ τοιοῦτος τὸ μὲν τοῦ ἀνθρώπου πνεῦμα ἔξωθεν αὐτοῦ τοῦ ἀνθρώπου εἶναι, τὸν δὲ ἐν τῷ Πατρὶ Λόγον εἶναι κτίσμα. Πάλιν τε Πνεῦμα ἁγιωσύνης καὶ ἀνακαινώσεώς ἐστί τε καὶ λέγεται τὸ Πνεῦμα· γράφει γὰρ ὁ Παῦλος· «Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.[1]» Καὶ πάλιν φησίν· «Ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν·[2]» ὅτε καὶ πρὸς Τῖτον γράφων ἔλεγεν· «Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα, δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι κατ' ἐλπίδα γενηθῶμεν ζωῆς αἰωνίου.[3]» Τὰ δὲ κτίσματα ἁγιαζόμενά εἰσι καὶ ἀνακαινιζόμενα. «Ἐξαποστελεῖς» γὰρ «τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[4]» Καὶ ὁ Παῦλος δέ φησιν· «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου.[5]»

23. Τὸ τοίνυν μὴ ἁγιαζόμενον παρ' ἑτέρου, μηδὲ μετέχον ἁγιασμοῦ, ἀλλ' αὐτὸ μεθεκτὸν ὄν, ἐν ᾧ καὶ τὰ κτίσματα πάντα ἁγιάζεται, πῶς ἂν εἴη ἓν τῶν πάντων, ἴδιον τῶν μετεχόντων αὐτοῦ; Ἀνάγκη γὰρ τοῖς τοῦτο λέγουσιν εἰπεῖν καὶ τὸν Υἱόν, δι' οὗ τὰ πάντα γέγονεν ἕνα τῶν πάντων εἶναι. Πνεῦμα ζωοποιὸν λέγεται· «Ὁ ἐγείρας» γάρ, φησίν, «Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.[6]» Καὶ ὁ μὲν Κύριός ἐστιν ἡ αὐτοζωή, καὶ «ἀρχηγὸς τῆς ζωῆς[7]», ὡς εἶπεν ὁ Πέτρος· ἔλεγε δὲ αὐτὸς ὁ Κύριος· «Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.[8] Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.[9]» Τὰ δὲ κτίσματα, ὡς εἴρηται, ζωοποιούμενά ἐστι δι' αὐτοῦ. Τὸ δὲ μὴ μετέχον ζωῆς, ἀλλ' αὐτὸ μετεχόμενον καὶ ζωοποιοῦν τὰ κτίσματα, ποίαν ἔχει συγγένειαν πρὸς τὰ γενητά; Ἢ πῶς ὅλως ἂν εἴη τῶν κτισμάτων, ἅπερ ἐν ἐκείνῳ παρὰ τοῦ Λόγου ζωοποιεῖται; Χρίσμα λέγεται τὸ Πνεῦμα, καὶ ἔστι σφραγίς. Ὁ μὲν γὰρ Ἰωάννης γράφει· «Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ, μένει ἐν ὑμῖν. Καὶ οὐ χρείαν ἔχετε, ἵνα τίς διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα», τὸ Πνεῦμα αὐτοῦ, «διδάσκει ὑμᾶς περὶ πάντων.[10]» Ἐν δὲ τῷ προφήτῃ Ἡσαΐᾳ γέγραπται· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με·[11]»

---

1. Ῥωμ. 1, 4. 2. Α' Κορ. 6, 11. 3. Τίτ. 3. 4-7. 4. Ψαλμ. 103,30. 5. Ἑβρ. 6, 4. 6. Ῥωμ. 8, 11. 7. Πράξ. 3, 15. 8. Ἰω. 4, 14. 9. Ἰω. 7, 39. 10. Α' Ἰω. 2, 27. 11. Ἡσ. 61, 1.

Ὁ δὲ Παῦλός φησιν· «Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.[1]» Τὰ δὲ κτίσατα τούτῳ σφραγίζεται καὶ χρίεται, καὶ περὶ πάντων διδάσκεται. Εἰ δὲ τὸ Πνεῦμα χρίσμα καὶ σφραγίς ἐστιν ἐν ᾧ χρίει καὶ σφραγίζει πάντα ὁ Λόγος ποία ὁμοιότης ἢ ἰδιότης τοῦ χρίσματος καὶ τῆς σφραγῖδος πρὸς τὰ χριόμενα καὶ σφραγιζόμενα; Οὐκοῦν καὶ κατὰ τοῦτο οὐκ ἂν εἴη τῶν πάντων αὐτό. Οὐ γὰρ ἂν εἴη ἡ σφραγὶς ἐκ τῶν σφραγιζομένων, οὐδὲ τὸ χρίσμα ἐκ τῶν χριομένων· ἀλλ' ἴδιόν ἐστι τοῦτο τοῦ χρίοντος καὶ σφραγίζοντος Λόγου. Τὸ μὲν γὰρ χρίσμα τὴν εὐωδίαν καὶ πνοὴν τοῦ χρίοντος ἔχει· καὶ οἱ χριόμενοι τούτου μεταλαμβάνοντες λέγουσι· «Χριστοῦ εὐωδία ἐσμέν·[2]» ἡ δὲ σφραγὶς τὴν μορφὴν Χριστοῦ τοῦ σφραγίζοντος ἔχει, καὶ ταύτης οἱ σφραγιζόμενοι μετέχουσι, μορφούμενοι κατ' αὐτήν, λέγοντος τοῦ Ἀποστόλου· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.[3]» Οὕτω δὲ σφραγιζόμενοι, εἰκότως καὶ κοινωνοὶ θείας φύσεως γινόμεθα, ὡς εἶπεν ὁ Πέτρος[4], καὶ οὕτω μετέχει πᾶσα ἡ κτίσις τοῦ Λόγου ἐν τῷ Πνεύματι.

24. Καὶ διὰ τοῦ Πνεύματος λεγόμεθα πάντες μέτοχοι τοῦ Θεοῦ· «Οὐκ οἴδατε», γάρ φησιν, «ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ὑμῖν οἰκεῖ; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.[5]» Εἰ κτίσμα δὲ ἦν τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἄν τις ἐν αὐτῷ μετουσία τοῦ Θεοῦ γένοιτο ἡμῖν· ἀλλ' ἢ ἄρα κτίσματι μὲν συνηπτόμεθα, ἀλλότριοι δὲ τῆς θείας φύσεως ἐγινόμεθα, ὡς κατὰ μηδὲν αὐτῆς μετέχοντες. Νῦν δέ, ὅτε λεγόμεθα μέτοχοι Χριστοῦ καὶ μέτοχοι Θεοῦ, δείκνυται τὸ ἐν ἡμῖν χρίσμα καὶ ἡ σφραγὶς μὴ οὖσα τῆς τῶν γενητῶν φύσεως, ἀλλὰ τῆς τοῦ Υἱοῦ, διὰ τοῦ ἐν αὐτῷ Πνεύματος συνάπτοντος ἡμᾶς τῷ Πατρί. Τοῦτο γὰρ ὁ Ἰωάννης, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, διδάσκων ἔγραψεν· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν τῷ Θεῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ αὐτὸς ἔδωκεν ἡμῖν.[6]» Εἰ δὲ τῇ τοῦ Πνεύματος μετουσίᾳ γινόμεθα κοινωνοὶ θείας φύσεως, μαίνοιτ' ἄν τις λέγων τὸ Πνεῦμα τῆς κτιστῆς φύσεως, καὶ μὴ τῆς τοῦ Θεοῦ. Διὰ τοῦτο γὰρ καὶ ἐν οἷς γίνεται, οὗτοι θεοποιοῦνται· εἰ δὲ θεοποιεῖ, οὐκ ἀμφίβολον, ὅτι ἡ τούτου φύσις Θεοῦ ἐστι. Καὶ ἔτι δὲ φανερώτερον εἰς ἀναίρεσιν τῆς αἱρέσεως ταύτης ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ ᾄδεται, ὡς ἔμπροσθεν εἴπομεν· «Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[7]» Ὁ δὲ Παῦλος γράφει Τίτῳ· «Διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χρι-

---

1. Ἐφεσ. 1, 13. 2. Β' Κορ. 2, 15. 3. Γαλ. 4, 19. 4. Πρβλ. Β' Πέτρ. 1, 4. 5. Α' Κορ. 3, 16-17. 6. Α' Ἰω. 4, 13. 7. Ψαλμ. 103, 29-30.

στοῦ.[1]» Εἰ δὲ ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ κνίζει τὰ πάντα, καὶ ἀνακαινίζει, ποία ὁμοιότης ἢ συγγένεια τῷ κτίζοντι πρὸς τὰ κτίσματα; Ἢ ὅλως πῶς ἂν εἴη, ἐν ᾧ κτίζεται τὰ πάντα, κτίσμα; Ἀκολουθεῖ γὰρ τῇ τοιαύτῃ δυσφημίᾳ καὶ ἡ εἰς τὸν Υἱὸν βλασφημία· ὥστε τοὺς λέγοντας τὸ Πνεῦμα κτίσμα εἰπεῖν, ὅτι καὶ ὁ λόγος, δι' οὗ τὰ πάντα κτίζεται, κτίσμα ἐστίν. Εἰκὼν τοῦ Υἱοῦ λέγεται καὶ ἔστι τὸ Πνεῦμα· «Οὓς» γὰρ «προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ.[2]» Οὐκοῦν τοῦ Υἱοῦ καὶ κατ' ἐκείνους ὁμολογουμένου μὴ εἶναι κτίσματος, οὐκ ἂν εἴη οὐδὲ ἡ τούτου εἰκὼν κτίσμα. Ὁποία γὰρ ἂν εἴη ἡ εἰκών, τοιοῦτον ἀνάγκη καὶ τόν, οὗ ἐστιν ἡ εἰκών, εἶναι. Ὅθεν εἰκότως καὶ πρεπόντως ὁ Λόγος ὁμολογεῖται μὴ ὢν κτίσμα, εἰκὼν τοῦ Πατρὸς ὑπάρχων· ὁ ἄρα τοῖς κτίσμασι συναριθμῶν τὸ Πνεῦμα πάντως που καὶ τὸν Υἱὸν ἐν τούτοις συναριθμήσει, δυσφημῶν ἐν τούτῳ καὶ τὸν Πατέρα διὰ τὴν εἰς τὴν εἰκόνα τούτου δυσφημίαν.

25. Ἄλλο ἄρα τῶν κτισμάτων ἐστὶ τὸ Πνεῦμα, καὶ δέδεικται μᾶλλον ἴδιον εἶναι τοῦ Υἱοῦ, καὶ οὐ ξένον τοῦ Θεοῦ. Καὶ γὰρ κἀκεῖνο τὸ σοφὸν αὐτῶν ἐρώτημα· Εἰ ἐκ τοῦ Θεοῦ ἐστι τὸ Πνεῦμα, διὰ τί μὴ λέγεται καὶ αὐτὸ Υἱός; Δέδεικται μὲν ἐν τοῖς ἔμπροσθεν ἤδη προπετὲς καὶ τολμηρόν, δείκνυται δὲ καὶ νῦν οὐδὲν ἧττον. Εἰ γὰρ καὶ μὴ Υἱὸς ἐλέχθη ἐν ταῖς Γραφαῖς, ἀλλὰ Πνεῦμα τοῦ Θεοῦ, ἐν αὐτῷ τῷ Θεῷ, καὶ ἐξ αὐτοῦ τοῦ Θεοῦ εἴρηται, ὡς ὁ Ἀπόστολος ἔγραψεν.[3] Εἰ δὲ ὁ Υἱός, ἐπειδὴ ἐκ τοῦ Πατρός ἐστιν, ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀνάγκη καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Θεοῦ λεγόμενον, ἴδιον εἶναι κατ' οὐσίαν τοῦ Υἱοῦ· Ἀμέλει τοῦ Κυρίου ὄντος Υἱοῦ, αὐτὸ τὸ Πνεῦμα εἴρηται Πνεῦμα υἱοθεσίας. Καὶ πάλιν τοῦ Υἱοῦ ὄντος σοφίας καὶ ἀληθείας, γέγραπται τὸ Πνεῦμα εἶναι Πνεῦμα σοφίας[4] καὶ ἀληθείας.[5] Πάλιν τε ὁ μὲν Υἱός ἐστι δύναμις Θεοῦ[6], καὶ Κύριος τῆς δόξης·[7] τὸ δὲ Πνεῦμα λέγεται Πνεῦμα δυνάμεως, καὶ Πνεῦμα τῆς δόξης, οὕτως ἐφ' ἑκάστου τῆς Γραφῆς λεγούσης· τοῦ μὲν Παύλου γράφοντος Κορινθίοις· «Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν·[8]» καὶ ἐν ἑτέροις· «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας·[9]» καὶ αὖθις· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ.[10]» Ὁ δὲ Πέτρος ἔγραφεν· «Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται.[11]» Ὁ δὲ Κύριος εἴρηκε Πνεῦμα τῆς ἀληθείας καὶ Παράκλητον εἶναι τὸ Πνεῦμα·[12] ἐξ οὗ δείκνυται

1. Τίτ. 3, 5-6. 2. Ῥωμ. 8, 29. 3. Πρβλ. Α' Κορ. 2, 12. 4. Πρβλ. Ἡσ. 11, 2. 5. Πρβλ. Ἰω. 15, 26. 6. Πρβλ. Α' Κορ. 1, 24. 7. Α' Κορ. 2, 8. 8. Α' Κορ. 2, 8. 9. Ῥωμ. 8, 15. 10. Γαλ. 4, 6. 11. Α' Πέτρ. 4, 14. 12. Πρβλ. Ἰω. 14, 16.

τελείαν εἶναι ἐν τούτῳ τὴν Τριάδα. Ἐν τούτῳ γ' οὖν ὁ Λόγος τὴν κτίσιν δοξάζει, θεοποιῶν δὲ καὶ υἱοποιῶν προσάγει τῷ Πατρί. Τὸ δὲ συνάπτον τῷ Λόγῳ τὴν κτίσιν οὐκ ἂν εἴη αὐτὸ τῶν κτισμάτων· καὶ τὸ υἱοποιοῦν δὲ τὴν κτίσιν, οὐκ ἂν εἴη ξένον τοῦ Υἱοῦ· ἐπεὶ ζητεῖν ἕτερον ἀνάγκη Πνεῦμα, ἵνα καὶ τοῦτο ἐν ἐκείνῳ συναφθῇ τῷ Λόγῳ Ἀλλ' ἄτοπον τοῦτο. Οὐκ ἄρα τῶν γενητῶν ἐστι τὸ Πνεῦμα, ἀλλ' ἴδιον τῆς τοῦ Πατρὸς θεότητος, ἐν ᾧ καὶ τὰ γενητὰ ὁ Λόγος θεοποιεῖ. Ἐν ᾧ δὲ θεοποιεῖται ἡ κτίσις, οὐκ ἂν εἴη ἐκτὸς αὐτὸ τῆς τοῦ Πατρὸς θεότητος.

26. Ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα, καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι καὶ ἐκ τούτου πάλιν συνιδεῖν. Ἄτρεπτον καὶ ἀναλλοίωτόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον· «Ἅγιον», γάρ φησι, «Πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων.[1]» Καὶ ὁ μὲν Πέτρος φησίν· «Ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου Πνεύματος·[2]» καὶ πάλιν ἐν τῇ Σοφίᾳ· «Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι·[3]» καὶ εἰ «οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ·[4]» οὐκ ἔστι δὲ παρὰ τῷ Θεῷ, ὡς εἶπεν ὁ Ἰάκωβος, «παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα·[5]» ἐν τῷ Θεῷ ὂν τὸ Πνεῦμα τὸ ἅγιον, εἰκότως ἂν εἴη ἄτρεπτον καὶ ἀπαράλλακτον καὶ ἄφθαρτον. Ἡ δὲ τῶν γενητῶν καὶ τῶν κτιστῶν φύσις ἐστὶ τρεπτή, ἅτε δὴ ἔξωθεν οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα· «πᾶς» μὲν γὰρ «ἄνθρωπος», φησί, «ψεύστης.[6]» Καί, «πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ.[7]» Ἀγγέλους δὲ τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀιδίοις ὑπὸ ζόφον τετήρηκεν. Ἐν δὲ τῷ Ἰώβ· «Εἰ κατὰ ἁγίων ἀγγέλων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν·[8] ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ·[9]» ὁ δὲ Παῦλος γράφει· «Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτιγε βιωτικά;[10]» Ἀλλὰ γὰρ καὶ ἠκούσαμεν, ὅτι ὁ διάβολος, ἐν μέσῳ τῶν χερουβὶμ ὤν, καὶ ἀποσφράγισμα ὁμοιώσεως[11] γενόμενος, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπή. Εἰ δὲ τὰ μὲν κτίσματα τοιαύτην ἔχει φύσιν, καὶ γέγραπται περὶ ἀγγέλων τοιαῦτα, τὸ δὲ Πνεῦμα τὸ αὐτό ἐστι καὶ ἀναλλοίωτον, καὶ τῆς τοῦ Υἱοῦ ἀτρεψίας ἐστί, μένον ἀεὶ σὸν αὐτῷ ἄτρεπτον, ποία ὁμοιότης τῷ ἀτρέπτῳ πρὸς τὰ τρεπόμενα; Δῆλον γὰρ ἂν εἴη, ὡς οὔτε κτίσμα ἐστίν, οὔτε ὅλως τῆς τῶν ἀγγέλων οὐσίας ἐστί, διὰ τὸ ἐκείνους εἶναι τρεπτούς· ἀλλ' εἰκὼν τοῦ Λόγου, καὶ τοῦ Πατρὸς ἴδιόν ἐστι. Πάλιν τε τὸ μὲν Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. Οὕτω γὰρ καὶ ὁ Δαβὶδ ψάλλει· «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός

1. Σοφ. Σολ. 1,5. 2. Α' Πέτρ. 3, 4. 3. Σοφ. Σολ. 12,1. 4. Α' Κορ. 2,11. 5. Ἰακ. 1, 17. 6. Ψαλμ. 115, 2. 7. Ῥωμ. 3, 23. 8. Ἰὼβ 4,18. 9. Ἰὼβ 25, 5. 10. Α' Κορ. 6, 3. 11. Πρβλ. Ἰεζ. 28, 12.

σου;[1]» Καὶ πάλιν ἐν τῇ Σοφίᾳ γέγραπται· «Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι.[2]» Τὰ δὲ γενητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσίν, ἥλιος μέν, καὶ σελήνη, καὶ ἀστέρες ἐν τῷ στερεώματι, νεφέλαι δὲ ἐν τῷ ἀέρι· καὶ τοῖς ἀνθρώποις ἔστησεν ὅρια ἐθνῶν.[3] οἵ τε ἄγγελοι ἀποστέλλονται εἰς διακονίας. «Καὶ ἦλθον οἱ ἄγγελοι παραστῆναι ἐνώπιον τοῦ Κυρίου[4]», ὡς ἐν τῷ Ἰὼβ γέγραπται· καί, «ἐνυπνιάσθη δὲ Ἰακὼβ ὁ πατριάρχης· καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς.[5]» Εἰ δὲ τὸ μὲν Πνεῦμα πάντα πληροῖ καὶ ἐν τῷ Λόγῳ πάρεστιν ἐν μέσῳ πάντων, οἱ δὲ ἄγγελοι ἐλαττοῦνται τούτῳ, καὶ ἔνθα ἀποστέλλονται, ἐκεῖ πάρεισιν· οὐκ ἀμφίβολον οὖν, ὅτι οὔτε τῶν γενητῶν, οὔτε ὅλως ἀγγελός ἐστιν, ὡς ὑμεῖς λέγετε, τὸ Πνεῦμα, ἀλλ' ἄνω τῆς τῶν ἀγγέλων φύσεώς ἐστιν.

27. Πάλιν γὰρ καὶ ἐκ τούτων ἄν τις ἴδοι τὸ Πνεῦμα τὸ ἅγιον, ὡς μεθεκτόν ἐστι καὶ οὐ μετέχον (τὰ αὐτὰ γὰρ λέγειν οὐκ ὀκνητέον). «Ἀδύνατον γάρ», φησὶ «τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους Πνεύματος ἁγίου γενομένους, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα[6]», καὶ τὰ ἑξῆς. Οἱ δὲ ἄγγελοι, καὶ τὰ ἄλλα κτίσματα μετέχοντά ἐστιν αὐτοῦ τοῦ Πνεύματος· διὰ τοῦτο γὰρ ταῦτα μὲν καὶ ἐκπίπτειν οὗ μετέσχον δύναται· τὸ δὲ Πνεῦμα ἀεὶ τὸ αὐτό ἐστιν· οὐ γὰρ τῶν μετεχόντων ἐστίν, ἀλλ' αὐτοῦ τὰ πάντα μετέχει. Εἰ δὲ τοῦτο μὲν ἀεὶ τὸ αὐτό ἐστι καὶ μεθεκτόν, τὰ δὲ κτίσματα μετέχοντά ἐστιν αὐτοῦ· οὐκ ἂν εἴη τὸ Πνεῦμα τὸ ἅγιον οὔτε ἄγγελος, οὔτε ὅλως κτίσμα, ἀλλ' ἴδιον τοῦ Λόγου, παρ' οὗ διδόμενον μετέχεται παρὰ τῶν κτισμάτων· ἐπεὶ ὥρα λέγειν αὐτοὺς καὶ τὸν Υἱὸν κτίσμα, οὗ πάντες ἐν τῷ Πνεύματι μέτοχοι γεγόναμεν. Καὶ πάλιν ἕν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον· τὰ δὲ κτίσματα πολλά. Ἄγγελοι μὲν γὰρ χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες· φωστῆρες δὲ πολλοί, καὶ θρόνοι, καὶ κυριότητες, καὶ οὐρανοί, καὶ χερουβίμ, καὶ σεραφίμ, καὶ ἀρχάγγελοι πολλοί· καὶ ἁπλῶς οὐκ ἔστι τὰ κτίσματα ἕν, ἀλλὰ πάντα πολλὰ καὶ διάφορα. Εἰ δὲ τὸ μὲν Πνεῦμα τὸ ἅγιον ἕν ἐστι, τὰ δὲ κτίσματα πολλά, καὶ ἄγγελοι πολλοί· ποία ὁμοιότης τῷ Πνεύματι πρὸς τὰ γενητά; Καὶ οὐκ ἄδηλον, ὅτι οὐκ ἔστι τῶν πολλῶν τὸ Πνεῦμα, ἀλλ' οὐδὲ ἄγγελος, ἀλλ' ἓν ὄν, μᾶλλον δὲ τοῦ Λόγου ἑνὸς ὄντος ἴδιον, καὶ τοῦ Θεοῦ ἑνὸς ὄντος καὶ ὁμοούσιόν ἐστι. Ταῦτα μὲν οὖν καὶ μόνα καθ' ἑαυτὰ λεγόμενα περὶ τοῦ ἁγίου Πνεύματος δείκνυσιν αὐτὸ μηδὲν κοινὸν μηδὲ ἴδιον ἔχειν τι τῇ φύσει καὶ τῇ οὐσίᾳ πρὸς τὰ κτίσματα, ἀλλ' ἄλλο μὲν εἶναι τῶν γενητῶν, ἴδιον δὲ καὶ οὐ ξένον τῆς τοῦ Υἱοῦ οὐσίας καὶ θεότητος, δι' ἣν καὶ τῆς ἁγίας Τριάδος ὄν, καταισχύνει τὴν ἐκείνων ἀναισθησίαν.

---

1. Ψαλμ. 138, 7. 2. Σοφ. Σολ. 12, 1. 3. Πρβλ. Πράξ. 17, 26. 4. Ἰὼβ 1, 6. 5. Γεν. 28, 12. 6. Ἑβρ. 6, 4-5.

28. Ἴδωμεν δὲ ὅμως καὶ πρὸς τούτοις καὶ αὐτὴν τὴν ἐξ ἀρχῆς παράδοσιν καὶ διδασκαλίαν καὶ πίστιν τῆς καθολικῆς Ἐκκλησίας, ἣν ὁ μὲν Κύριος ἔδωκεν, οἱ δὲ ἀπόστολοι ἐκήρυξαν, καὶ οἱ πατέρες ἐφύλαξαν. Ἐν ταύτῃ γὰρ ἡ Ἐκκλησία τεθεμελίωται, καὶ ὁ ταύτης ἐκπίπτων οὔτ' ἂν εἴη, οὔτ' ἂν ἔτι λέγοιτο Χριστιανός. Τριὰς τοίνυν ἁγία καὶ τελεία ἐστίν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεολογουμένη, οὐδὲν ἀλλότριον ἢ ἔξωθεν ἐπιμιγνύμενον ἔχουσα, οὐδὲ ἐκ δημιουργοῦ καὶ γενητοῦ συνισταμένη, ἀλλ' ὅλη τοῦ κτίζειν καὶ δημιουργεῖν οὖσα· ὁμοία δὲ ἑαυτῇ καὶ ἀδιαίρετός ἐστι τῇ φύσει, καὶ μία ταύτης ἡ ἐνέργεια. Ὁ γὰρ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ τὰ πάντα ποιεῖ· καὶ οὕτως ἡ ἑνότης τῆς ἁγίας Τριάδος σῴζεται· καὶ οὕτως εἷς Θεὸς ἐν τῇ Ἐκκλησίᾳ κηρύττεται, «ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.[1]» «Ἐπὶ πάντων» μὲν ὡς Πατήρ, ὡς ἀρχή, καὶ πηγή· «διὰ πάντων» δὲ διὰ τοῦ Λόγου· «ἐν πᾶσι» δὲ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Τριὰς δέ ἐστιν οὐχ ἕως ὀνόματος μόνον καὶ φαντασίας λέξεως ἀλλὰ ἀληθείᾳ καὶ ὑπάρξει Τριάς. Ὥσπερ γὰρ ὁ ὢν ἐστιν ὁ Πατήρ, οὕτως ὁ ὢν ἐστι καὶ ἐπὶ πάντων Θεὸς ὁ τούτου Λόγος. Καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀνύπαρκτόν ἐστιν, ἀλλ' ὑπάρχει καὶ ὑφέστηκεν ἀληθῶς. Καὶ οὔτε ἔλαττον τούτων φρονεῖ ἡ καθολικὴ Ἐκκλησία, ἵνα μὴ εἰς τοὺς νῦν κατὰ Καϊάφαν Ἰουδαίους καὶ εἰς Σαβέλλιον ἐμπέσῃ· οὔτε πλεῖον ἐπινοεῖ, ἵνα μὴ εἰς τὴν Ἑλλήνων πολυθεότητα κυλισθῇ. Καὶ ὅτι αὕτη ἡ πίστις τῆς Ἐκκλησίας ἐστί, μαθέτωσαν πῶς ὁ μὲν Κύριος ἀποστέλλων τοὺς ἀποστόλους παρήγγειλε τοῦτον θεμέλιον τιθέναι τῇ Ἐκκλησίᾳ λέγων· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.[2]» Οἱ δὲ ἀπόστολοι, πορευθέντες, οὕτως ἐδίδαξαν· καὶ τοῦτό ἐστιν εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν Ἐκκλησίαν τὸ κήρυγμα.

29. Οὐκοῦν τοῦτον ἐχούσης τῆς Ἐκκλησίας τὸν θεμέλιον τῆς πίστεως, εἰπάτωσαν πάλιν ἡμῖν ἐκεῖνοι καὶ ἀποκρινάσθωσαν· Τριάς ἐστιν ἢ δυάς; Εἰ μὲν οὖν δυάς ἐστι, συναριθμείσθω παρ' ὑμῶν τοῖς κτίσμασι τὸ Πνεῦμα. Οὐκ ἔστι μὲν τὸ τοιοῦτον ὑμῶν φρόνημα εἰς ἕνα Θεόν, τὸν «ἐπὶ πάντων», καὶ «διὰ πάντων», καὶ «ἐν πᾶσι.» Τὸ γάρ, «ἐν πᾶσιν», οὐκ ἔχετε, διαιροῦντες καὶ ἀποξενοῦντες ἀπὸ τῆς θεότητος τὸ Πνεῦμα· καὶ ἡ τελείωσις δὲ ὑμῶν, ἣν νομίζετε ποιεῖν, οὕτω φρονοῦντες, οὐκ ἔστιν ὁλόκληρος εἰς θεότητα γινομένη. Ἐπιμίγνυται γὰρ ταύτῃ κτίσμα· καὶ θεολογεῖτε καὶ ὑμεῖς, ὡς οἱ Ἀρειανοὶ καὶ Ἕλληνες, τὴν κτίσιν μετὰ τοῦ κτίσαντος αὐτὴν Θεοῦ διὰ τοῦ ἰδίου Λόγου. Οὕτω δὲ διακείμενοι, ποίας ἐλπίδος ἐστέ; Ἢ τίς ὑμᾶς συνάψει τῷ Θεῷ, μὴ ἔχοντας τὸ Πνεῦμα αὐτοῦ τοῦ Θεοῦ, ἀλλὰ τὸ τῆς κτίσεως; Ποία δὲ ὑμῶν τόλμα καὶ ἀπροσεξία, ὅτι τὸν Πατέρα καὶ τὸν τούτου Λόγον εἰς τὰ κτίσματα κατάγετε, καὶ πάλιν τὸ κτίσμα συνεξι-

1. Ἐφεσ. 4, 6. 2. Ματθ. 28, 19.

σοῦτε τῷ Θεῷ; Τοῦτο γὰρ ποιεῖτε φανταζόμενοι περὶ τοῦ Πνεύματος ὡς κτίσματος, καὶ συντάσσοντες αὐτὸ εἰς Τριάδα. Τί δὲ καὶ τὸ μανιῶδες ὑμῶν, ὥστε φρονεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ, ὅτι μὴ πάντες ἄγγελοι, ἢ πάντα τὰ κτίσματα, ἀλλ᾽ εἷς ἐκ τούτων συναριθμεῖται τῷ Θεῷ καὶ τῷ Λόγῳ αὐτοῦ; Ἔδει γὰρ καθ᾽ ὑμᾶς, ἅπαξ ἀγγέλου καὶ κτίσματος ὄντος τοῦ Πνεύματος καὶ συντασσομένου εἰς Τριάδα, μὴ ἕνα, ἀλλὰ καὶ πάντας τοὺς κτισθέντας ἀγγέλους συντάσσεσθαι ταύτῃ· καὶ μηκέτι Τριάδα, ἀλλὰ πληθύν τινα θεότητος ἀναρίθμητον εἶναι· ἵνα καὶ ἡ ἐν τούτῳ πάλιν δοκοῦσα τελείωσις ὑμῶν γίνεσθαι, διαιρουμένη ὧδε κἀκεῖσε, ἀβέβαιος τῇ ποικιλίᾳ γένηται. Τοιαῦτα γὰρ τὰ τέλη ὑμῶν τε καὶ τῶν Ἀρειανῶν λογιζομένων κατὰ τῆς θεότητος, καὶ τῇ κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν.

30. Τοιαῦτα μὲν οὖν ὑμῖν ἄτοπα ἐκ τοῦ δυάδα λέγειν ἀπαντᾷ. Εἰ δὲ Τριάς ἐστιν, ὥσπερ οὖν καὶ ἔστι, δέδεικται δὲ ἀδιαίρετος οὖσα καὶ οὐκ ἀνόμοιος· ἀνάγκη μίαν ταύτης εἶναι τὴν ἁγιότητα, καὶ μίαν ταύτης τὴν ἀϊδιότητα, καὶ τὴν τῆς ἀτρεψίας φύσιν. Ὥσπερ γὰρ ἡ ὡς αὐτὴν παραδεδομένη πίστις μία ἐστί, καὶ αὕτη συνάπτει τῷ Θεῷ, ὁ δὲ ὑπεξαιρούμενός τι τῆς Τριάδος, καὶ ἐν μόνῳ τῷ τοῦ Πατρὸς ὀνόματι βαπτιζόμενος, ἢ ἐν μόνῳ τῷ ὀνόματι τοῦ Υἱοῦ, ἢ χωρίς γε τοῦ Πνεύματος ἐν Πατρὶ καὶ Υἱῷ, οὐδὲν λαμβάνει, ἀλλὰ κενὸς καὶ ἀτελὴς αὐτός τε καὶ ὁ δοκῶν διδόναι διαμένει· ἐν τῇ Τριάδι γὰρ ἡ τελείωσίς ἐστιν· οὕτως ὁ διαιρῶν τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, ἢ τὸ Πνεῦμα κατάγων εἰς τὰ κτίσματα, οὔτε τὸν Υἱὸν ἔχει οὔτε τὸν Πατέρα, ἀλλ᾽ ἔστιν ἄθεος καὶ ἀπίστου χείρων, καὶ πάντα μᾶλλον ἢ Χριστιανός· καὶ δικαίως γε. Καθάπερ γὰρ ἕν ἐστι τὸ βάπτισμα ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι διδόμενον, καὶ μία πίστις [1] ἐστὶν εἰς αὐτήν, ὡς εἶπεν ὁ Ἀπόστολος· οὕτως ἡ ἁγία Τριάς, ἡ αὐτὴ οὖσα ἑαυτῇ καὶ ἡνωμένη πρὸς ἑαυτήν, οὐδὲν ἔχει ἐν ἑαυτῇ τῶν γενητῶν· καὶ αὕτη τῆς Τριάδος ἡ ἀδιαίρετος ἑνότης, καὶ μία ἡ εἰς ταύτην πίστις ἐστίν. Εἰ δὲ κατὰ τὴν ὑμῶν τῶν Τροπικῶν ἐπεξεύρεσιν οὐχ οὕτως ἐστίν, ἀλλ᾽ ἐνυπνιάσθητε κτίσμα λέγειν τὸ Πνεῦμα τὸ ἅγιον· οὐκέτι μία πίστις ἐστὶν ὑμῶν, οὐδὲ ἓν βάπτισμα, ἀλλὰ δύο· ἓν μὲν εἰς Πατέρα καὶ Υἱόν· ἕτερον δὲ εἰς ἄγγελον κτίσμα ὄντα· καὶ οὐδὲν λοιπὸν ὑμῶν ἀσφαλὲς οὐδὲ ἀληθές. Ποία γὰρ κοινωνία γενητῷ καὶ δημιουργῷ; Ἢ ποία ἑνότης τοῖς κάτω κτίσμασι καὶ τῷ ταῦτα δημιουργήσαντι Λόγῳ; Τοῦτο εἰδὼς ὁ μακάριος Παῦλος, οὐ διαιρεῖ τὴν Τριάδα, ὥσπερ ὑμεῖς, ἀλλὰ τὴν ἑνότητα ταύτης διδάσκων ἔγραψε Κορινθίοις περὶ τῶν πνευματικῶν, καὶ τὰ πάντα εἰς ἕνα Θεὸν τὸν Πατέρα ἀνακεφαλαιοῖ λέγων· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.[2]» Ἃ γὰρ

1. Ἐφεσ. 4, 5. 2. Α´ Κορ. 12, 4-6.

τὸ Πνεῦμα ἑκάστῳ διαιρεῖ, ταῦτα παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται. Πάντα γὰρ τὰ τοῦ Πατρός, τοῦ Υἱοῦ ἐστι· διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα. Καὶ τοῦ Πνεύματος δὲ ὄντος ἐν ἡμῖν, καὶ ὁ λόγος ὁ τοῦτο διδοὺς ἔστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ, καὶ οὕτως ἐστὶ τό, «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν[1]», καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα· καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις. Καὶ τοῦτο πάλιν διδάσκων ὁ Παῦλος ἔγραφεν αὖθις Κορινθίοις καὶ ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ λέγων· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν.[2]» Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ἐκ τοῦ Πατρός ἐστι δι' Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν.

31. Μία ἄρα καὶ ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται. Οὐ γὰρ ὡς παρ' ἑκάστου διάφορα καὶ διῃρημένα τὰ διδόμενα σημαίνει ὁ Ἀπόστολος· ἀλλ' ὅτι τὰ διδόμενα ἐν Τριάδι δίδοται, καὶ τὰ πάντα ἐξ ἑνὸς Θεοῦ ἐστι. Τὸ τοίνυν μὴ ὂν κτίσμα, ἀλλ' ἡνωμένον τῷ Υἱῷ, ὡς ὁ Υἱὸς ἥνωται τῷ Πατρί, τὸ συνδοξαζόμενον Πατρὶ καὶ Υἱῷ, καὶ θεολογούμενον μετὰ τοῦ Λόγου, ἐνεργοῦν τε ἅπερ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ ἐργάζεται, πῶς ὁ λέγων κτίσμα οὐκ ἄντικρυς εἰς αὐτὸν τὸν Υἱὸν ἀσεβεῖ; Οὐδὲν γάρ ἐστιν ὃ μὴ διὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι γίνεται καὶ ἐνεργεῖται. Τοῦτο καὶ ἐν Ψαλμοῖς ᾄδεται· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·[3]» καὶ ἐν τῷ ἑκατοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ψαλμῷ· «Ἀποστελεῖ τὸν Λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.[4]» Καὶ ἐδικαιώθημεν δέ, ὡς εἶπεν ὁ Ἀπόστολος, «ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.[5]» Ἀδιαίρετον γάρ ἐστι τοῦ Λόγου τὸ Πνεῦμα. Ἀμέλει λέγοντος τοῦ Κυρίου, «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ[6]», συνεισέρχεται τὸ Πνεῦμα οὐκ ἄλλως ἢ ὡς ὁ Υἱὸς ἐν ἡμῖν οἰκήσων, γράφοντος Ἐφεσίοις τοῦ Παύλου· «Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστόν.[7]» Τοῦ δὲ Υἱοῦ ἐν ἡμῖν ὄντος, ἔτι καὶ ὁ Πατήρ, λέγοντος τοῦ Υἱοῦ· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί.[8]» Διὸ καὶ γινομένου τοῦ Λόγου ἐν τοῖς προφήταις, ἐν αὐτῷ τῷ Πνεύματι τῷ ἁγίῳ προφη-

---

1. Ἰω. 14, 23. 2. Β' Κορ. 13, 13. 3. Ψαλμ. 32, 6. 4. Ψαλμ. 147, 7.
5. Α' Κορ. 6, 11. 6. Ἰω. 14, 23. 7. Ἐφεσ. 3, 16. 8. Ἰω. 14, 10.

τεύουσι. Τῆς γοῦν Γραφῆς λεγούσης, «Καὶ ἐγένετο Λόγος Κυρίου» πρὸς τόνδε τὸν προφήτην, δείκνυται προφητεύων ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Ἐν μὲν γὰρ τῷ Ζαχαρίᾳ γέγραπται· «Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις·[1]» ὅτε καὶ μετ' ὀλίγα αἰτιώμενος τὸν λαὸν ἔλεγε· «Καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ, τοῦ μὴ εἰσακούειν τοὺς νόμους μου καὶ τοὺς λόγους· οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν αὐτοῦ τῶν ἔμπροσθεν·[2]» ὁ δὲ Πέτρος ἐν ταῖς Πράξεσιν ἔλεγεν· «Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον.[3]» Καὶ κοινῇ δὲ οἱ ἀπόστολοι ἐβόων οὕτως· «Δέσποτα, ὁ ποιήσας τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ τοῦ πατρὸς ἡμῶν διὰ Πνεύματος ἁγίου στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών.[4]» Καὶ ὁ Παῦλος, ἐν μὲν τῇ Ῥώμῃ γενόμενος, ἐπαρρησιάζετο τοῖς ἐλθοῦσι πρὸς αὐτὸν Ἰουδαίοις· «Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν.[5]» Τιμοθέῳ δὲ ἔγραφε· «Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς ὑγιαινούσης πίστεως, προσέχοντες πνεύματι πλάνης.[6]» Διὸ καὶ ὅταν λέγηται ἔν τισι τὸ Πνεῦμα γενέσθαι, νοεῖται ὁ Λόγος ἐν αὐτῷ διδοὺς τὸ Πνεῦμα. Τῆς γοῦν προφητείας πληρουμένης, «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα[7]», ὁ Παῦλος ἔλεγε· «Κατὰ τὴν ἐπιχορηγίαν τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ εἰς ἐμέ·[8]» καὶ πρὸς Κορινθίους δὲ ἔγραφεν· «Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;[9]» Εἰ δὲ Χριστὸς ἦν ὁ λαλῶν ἐν αὐτῷ, δῆλον, ὅτι Χριστοῦ ἦν τὸ Πνεῦμα τὸ λαλοῦν ἐν αὐτῷ· καὶ γὰρ τοῦ Χριστοῦ λαλοῦντος ἐν αὐτῷ ἐν ταῖς Πράξεσιν ἔλεγε πάλιν· «Καὶ νῦν ἰδοὺ δεδεμένος ἐγὼ τῷ Πνεύματι, πορεύομαι εἰς Ἱερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ καὶ θλίψεις μένουσί με.[10]» Ὅθεν, ἐὰν οἱ ἅγιοι λέγωσι· Τάδε λέγει Κύριος, οὐκ ἄλλως ἢ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ λαλοῦσι· καὶ ἐν τῷ Πνεύματι λαλοῦντες, ἐν Χριστῷ ταῦτα λέγουσιν· ἐὰν δὲ καὶ ὁ Ἄγαβος ἐν ταῖς Πράξεσι λέγῃ· «Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον·[11]» οὐκ ἄλλως ἢ τοῦ Λόγου γενομένου πρὸς αὐτόν, τὸ Πνεῦμα ἐχορήγει λαλεῖν ἐν αὐτῷ καὶ διαμαρτύρασθαι τὰ μένοντα τὸν Παῦλον εἰς Ἱερουσαλήμ. Ἀμέλει, τοῦ Πνεύματος πάλιν διαμαρτυρουμένου τῷ Παύλῳ, ὁ αὐτὸς Χριστὸς ἐλάλει ἐν αὐτῷ, ὡς εἶναι τοῦ Λόγου τὴν ἐκ τοῦ Πνεύματος γινομένην διαμαρτυρίαν. Οὕτω καὶ ἐπὶ τὴν ἁγίαν Παρθένον Μαρίαν ἐπιδημοῦντος τοῦ Λόγου, συνεισήρχετο τὸ Πνεῦμα, καὶ Λόγος ἐν τῷ Πνεύματι

---

1. Ζαχ. 1, 6. 2. Ζαχ. 7, 12. 3. Πράξ. 1, 16. 4. Πράξ. 4, 24-25. 5. Πράξ. 28, 25. 6. Α' Τιμ. 4, 1. 7. Ἰωὴλ 3, 1. 8. Φιλιπ. 1, 19. 9. Β' Κορ. 13, 3. 10. Πράξ. 20, 22-23. 11. Πράξ. 21, 11.

ἔπλαττε καὶ ἥρμοζεν ἑαυτῷ τὸ σῶμα, συνάψαι θέλων καὶ προσενεγκεῖν δι' ἑαυτοῦ τὴν κτίσιν τῷ Πατρί, καὶ ἀποκαταλλάξαι τὰ πάντα ἐν αὐτῷ, «εἰρηνοποιήσας τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς.[1]»

32. Συμφώνως ἄρα ἀπὸ τῶν θείων Γραφῶν δείκνυται μὴ εἶναι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ ἴδιον τοῦ Λόγου καὶ τῆς τοῦ Πατρὸς θεότητος· οὕτω γὰρ τῶν μὲν ἁγίων ἡ διδασκαλία εἰς τὴν ἁγίαν καὶ ἀδιαίρετον Τριάδα συνάγεται, καὶ μία πίστις αὕτη τῆς καθολικῆς Ἐκκλησίας ἐστί· τῶν δὲ Τροπικῶν ἡ ἀλόγιστος μυθοπλαστία διαφωνεῖ μὲν πρὸς τὰς Γραφάς, συμφωνεῖ δὲ τῇ τῶν Ἀρειομανιτῶν ἀλογίᾳ· καὶ εἰκὸς αὐτοὺς οὕτως ὑποκρίνασθαι ἀπάτης ἕνεκεν τῶν ἀκεραίων. Ἀλλὰ χάρις τῷ Κυρίῳ, ὅτι ὡς γράφεις, οὐκ ἔλαθον σκέποντες ἑαυτοὺς τῇ πρὸς τοὺς Ἀρειανοὺς προσποιήτῳ ἀντιλογίᾳ· καὶ γὰρ καὶ παρ' ἐκείνων ἐμισήθησαν, ὅτι μόνον τὸ Πνεῦμα καὶ οὐχὶ καὶ τὸν Λόγον κτίσμα λέγουσι· καὶ παρὰ πάντων δὲ κατεγνώσθησαν, ὡς τῷ ὄντι πνευματομαχοῦντες, καὶ μετ' ὀλίγον γινόμενοι νεκροί, ἔρημοι καὶ κενοὶ τοῦ Πνεύματος ὄντες. Κατὰ γὰρ τὸν μακάριον Ἀπόστολον, ψυχικοὶ ἄνθρωποι ὄντες οὐκ ἠδυνήθησαν δέξασθαι τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ [2], ὅτι πνευματικῶς ἀνεκρίνοντο· οἱ δὲ τὰ τῆς ἀληθείας φρονοῦντες ἀνακρίνουσι μὲν τὰ πάντα, αὐτοὶ δὲ ὑπ' οὐδενὸς ἀνακρίνονται, ἔχοντες ἐν ἑαυτοῖς τὸν Κύριον ἀποκαλύπτοντα αὐτοῖς ἐν τῷ Πνεύματι ἑαυτόν τε καὶ δι' ἑαυτοῦ τὸν Πατέρα.

33. Ἐγὼ μὲν οὖν καίπερ ἐν ἐρήμῳ διάγων, διὰ γοῦν τὴν ἀναίδειαν τῶν ἐκτραπέντων ἀπὸ τῆς ἀληθείας, οὐ φροντίσας τῶν γελᾶν ἐθελόντων διὰ τὸ ἀσθενὲς καὶ ταπεινὸν τῆς διὰ τῶν λόγων ἀποδείξεως, δι' ὀλίγων γράψας, ἀπέστειλα τῇ σῇ εὐλαβείᾳ, πολλὰ παρακαλῶν, ἵνα, ἐντυγχάνων τούτοις, τὰ μὲν διορθώσῃς, ἐπὶ δὲ τοῖς ἀσθενῶς εἰρημένοις συγγινώσκῃς. Κατὰ γὰρ τὴν παραδοθεῖσαν ἡμῖν παρὰ τῶν Πατέρων ἀποστολικὴν πίστιν παρέδωκα, μηδὲν ἔξωθεν ἐπινοήσας, ἀλλ' ὅπερ ἔμαθον ἐνεχάραξα συμφώνως ταῖς ἁγίαις Γραφαῖς. Σύμφωνον γὰρ καὶ τοῦτο τοῖς προαποπεφασμένοις πρὸς βεβαίωσιν ἐκ τῶν ἁγίων Γραφῶν. Καὶ οὐκ ἔξωθεν ἐπινενόηται, ἀλλ' αὐτὸς ὁ Κύριος Ἰησοῦς Χριστὸς δι' αὐτοῦ ἐδίδασκε τὴν Σαμαρεῖτιν, καὶ δι' αὐτῆς ἡμᾶς, τὴν τῆς ἁγίας Τριάδος τελειότητα, ἀδιαίρετον ὑπάρχουσαν καὶ μίαν Θεότητα. Αὐτὴ ἡ ἀλήθεια μαρτυρεῖ, ὥς φησι τῇ Σαμαρείτιδι· «Πίστευέ μοι, γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.[3]» Δέδεικται τοίνυν ἐντεῦθεν, ὡς ἡ ἀλήθεια μὲν αὐτὸς ὁ Υἱός ἐστιν, ὡς αὐτός φησιν· «Ἐγώ εἰμι ἡ ἀλήθεια·[4]» περὶ οὗ καὶ ὁ προφήτης Δαβὶδ ἐπεκαλεῖτο

1. Κολ. 1, 20. 2. Α' Κορ. 2, 14. 3. Ἰω. 4, 23-24. 4. Ἰω. 14, 6.

λέγων· «'Εξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.[1]» Οἱ ἀληθινοὶ τοίνυν προσκυνηταὶ προσκυνοῦσι μὲν τῷ Πατρί, ἀλλ' ἐν Πνεύματι καὶ ἀληθείᾳ, ὁμολογοῦντες Υἱὸν καὶ ἐν αὐτῷ τὸ Πνεῦμα. 'Αχώριστον γὰρ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὡς ἀχώριστος ὁ Υἱὸς τοῦ Πατρός. Αὐτὴ ἡ 'Αλήθεια μαρτυρεῖ ἡ λέγουσα· «Πέμψω ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται[2]», ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν[3]», τουτέστιν οἱ ἀρνούμενοι αὐτὸ ἐκ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ. Χρὴ τοίνυν κατὰ μίμησιν τῶν ἀληθινῶν ὁμολογεῖν καὶ προσδραμεῖν τῇ ἀληθείᾳ. Ἂν δ' ἄρα καὶ μετὰ ταῦτα μήτε μαθεῖν θέλωσι, μήτε νοεῖν δύνωνται· κἂν τῶν δυσφημιῶν παυέσθωσαν, καὶ μὴ διαιρείτωσαν τὴν Τριάδα, ἵνα μὴ διαιρεθῶσιν ἀπὸ τῆς ζωῆς· μηδὲ τοῖς κτίσμασι συναριθμείτωσαν τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα μή, ὡς οἱ τότε Φαρισαῖοι τῷ Βεελζεβοὺλ τὰ τοῦ Πνεύματος ἀνετίθεσαν, οὕτω καὶ οὗτοι, τὰ ἴσα τολμῶντες, ἀσύγγνωστον καὶ ὧδε καὶ μετὰ ταῦτα τὴν τιμωρίαν μετ' ἐκείνων ὑπομείνωσιν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΡΑΠΙΩΝΑ ΚΑΤΑ ΤΩΝ ΛΕΓΟΝΤΩΝ ΚΤΙΣΜΑ ΤΟΝ ΥΙΟΝ

1. 'Εγὼ μὲν ἐνόμιζον καὶ οὕτως ὀλίγα γεγραφέναι· καὶ κατηγόρουν ἐμαυτοῦ πολλῆς ἀσθενείας, ὡς μὴ δυνηθέντος τοσοῦτον γράψαι, ὅσον ἀνθρώποις ἔξεστι λέγειν κατὰ τῶν ἀσεβούντων εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ἐπειδὴ δέ, ὡς γράφεις, τινὲς τῶν ἀδελφῶν ἠξίωσαν καὶ ταῦτα ἐπιτεμεῖν, ἵνα ἔχωσιν ἐξ ἑτοίμου καὶ δι' ὀλίγων ἀπολογεῖσθαι μὲν τοῖς ἐρωτῶσι περὶ τῆς ἐν ἡμῖν πίστεως, διελέγχειν δὲ τοὺς ἀσεβοῦντας, ἐποίησα, καὶ τοῦτο θαρρῶν, ὅτι συνείδησιν ἔχων ἀγαθήν, εἴ τι καὶ ἐν τούτοις παραλέλειπται, ἀναπληρώσεις. Οἱ 'Αρειανοί, εἰς ἑαυτοὺς στραφέντες, καὶ μηδὲν πλέον ἢ ἔξωθεν ἑαυτῶν νοοῦντες κατὰ τοὺς Σαδδουκαίους, ἀνθρωπίνοις λογισμοῖς ἐξεδέξαντο τὴν θεόπνευστον Γραφήν. 'Ακούοντες γοῦν σοφίαν, καὶ ἀπαύγασμα, καὶ Λόγον εἶναι τοῦ Πατρὸς τὸν Υἱόν, εἰώθασιν ἐπιλέγειν· Πῶς δύναται τοῦτο εἶναι; ὥσπερ οὐ δυναμένου εἶναι, ὃ μὴ δύνανται αὐτοὶ νοεῖν. Ὥρα γὰρ αὐτοὺς καὶ περὶ τοῦ παντὸς τοιαῦτα διανοεῖσθαι· Πῶς δύναται ἡ κτίσις, μὴ οὖσά ποτε, γενέσθαι; ἢ πῶς δύναται χοῦς γῆς πλασθῆναι λογικὸς ἄνθρωπος; ἢ πῶς τὸ φθαρτὸν ἄφθαρτον γενέσθαι; ἢ πῶς ἡ γῆ ἐπὶ θαλασσῶν τεθεμελίωται, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτὴν ὁ Θεός;[4] Καὶ λοιπὸν ἐπιλέγειν αὐτοὺς ἑαυτοῖς· «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν·[5]» ἵνα δηλονότι, φθειρομένων αὐτῶν, συμφθαρῇ καὶ ἡ τῆς αἱρέσεως αὐτῶν μανία.

---

1. Ψαλμ. 42, 3. 2. 'Ιω. 15, 26. 3. 'Ιω. 14, 17. 4. Πρβλ. Ψαλμ. 23, 2. 5. Α' Κορ. 15, 32.

2. Τῶν μὲν οὖν Ἀρειανῶν θνητὸν καὶ φθαρτὸν τὸ τοιοῦτον φρόνημα· ὁ δὲ τῆς ἀληθείας λόγος, ὅνπερ ἔπρεπε καὶ αὐτοὺς διανοεῖσθαι, τοιοῦτός ἐστιν· Εἰ πηγή, καὶ φῶς, καὶ Πατήρ ἐστιν ὁ Θεός, οὐ θέμις εἰπεῖν οὔτε τὴν πηγὴν ξηράν, οὔτε τὸ φῶς χωρὶς αὐγῆς, οὔτε τὸν Θεὸν χωρὶς Λόγου, ἵνα μὴ ἄσοφος, καὶ ἄλογος, καὶ ἀφεγγὴς ᾖ ὁ Θεός. Ἀϊδίου τοιγαροῦν ὄντος τοῦ Πατρός, ἀνάγκη καὶ τὸν Υἱὸν ἀΐδιον εἶναι· ἃ γὰρ ἂν ἐν τῷ Πατρὶ νοήσωμεν, ταῦτα καὶ ἐν τῷ Υἱῷ εἶναι οὐκ ἀμφίβολον, λέγοντος αὐτοῦ τοῦ Κυρίου· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι[1]», καὶ τὰ ἐμὰ πάντα τοῦ Πατρός ἐστιν. Αἰώνιος γοῦν ἐστιν ὁ Πατήρ· αἰώνιός ἐστι καὶ ὁ Υἱός· δι' αὐτοῦ γὰρ οἱ αἰῶνες γεγόνασιν.[2] Ὧν ἐστιν ὁ Πατήρ· ἀνάγκη καὶ ὁ Υἱός, «ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν[3]», ὡς εἶπεν ὁ Παῦλος. Οὐ θέμις εἰπεῖν ἐπὶ Πατρός, Ἦν ποτε, ὅτε οὐκ ἦν· ἀθέμιτον εἰπεῖν ἐπὶ Υἱοῦ, Ἦν ποτε, ὅτε οὐκ ἦν. Παντοκράτωρ ἐστὶν ὁ Πατήρ· παντοκράτωρ ἐστὶ καὶ ὁ Υἱός, λέγοντος τοῦ Ἰωάννου· «Ὁ ὤν, ὁ ἦν, ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.[4]» Φῶς ἐστιν ὁ Πατήρ, ἀπαύγασμα ὁ Υἱὸς καὶ φῶς ἀληθινόν. Ἀληθινὸς Θεὸς ὁ Πατήρ, ἀληθινὸς Θεὸς ὁ Υἱός· οὕτω γὰρ ὁ Ἰωάννης ἔγραψεν· «Ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός, καὶ ζωὴ ἡ αἰώνιος.[5]» Καὶ ὅλως οὐδέν ἐστιν, ὃ ἔχει ὁ Πατήρ, ὃ μὴ τοῦ Υἱοῦ ἐστι. Διὰ τοῦτο γὰρ ὁ Υἱὸς ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ· ἐπειδὴ τὰ τοῦ Πατρός, ταῦτα ἐν τῷ Υἱῷ ἐστι, καὶ πάλιν ταῦτα ἐν τῷ Πατρὶ νοεῖται. Οὕτω νοεῖται καὶ τό, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·[6]» ἐπειδὴ οὐκ ἄλλα ἐν τούτῳ, καὶ ἄλλα ἐν τῷ Υἱῷ· ἀλλὰ τὰ ἐν τῷ Πατρί, ταῦτα ἐν τῷ Υἱῷ ἐστι. Καὶ ἃ βλέπεις δὲ ἐν τῷ Πατρί, ἐπειδὴ βλέπεις ἐν τῷ Υἱῷ, νοεῖται καλῶς τό, «Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα.[7]»

3. Τούτων δὲ οὕτω δεικνυμένων, ἀσεβής ἐστιν ὁ λέγων κτίσμα εἶναι τὸν Υἱόν. Ἀναγκασθήσεται γὰρ εἰπεῖν κτίσμα καὶ τὴν πηγὴν βρύουσαν, κτίσμα τὴν σοφίαν, τὸν Λόγον, ἐν ᾧ ἐστι πάντα τὰ τοῦ Πατρός. Ἄλλως τε καὶ ἀπὸ τούτων ἄν τις ἴδοι τὸ σαθρὸν τῆς αἱρέσεως τῶν Ἀρειομανιτῶν. Ὧν ἐσμεν ὅμοιοι, καὶ τὴν ταυτότητα ἔχομεν τούτων, καὶ ὁμοούσιοί ἐσμεν· ἄνθρωποι γοῦν ὅμοιοι καὶ ταυτότητα ἔχοντες, ὁμοούσιοί ἐσμεν ἀλλήλων. Τὸ αὐτὸ γὰρ πᾶσι, τὸ θνητόν, τὸ φθαρτόν, τὸ τρεπτόν, τὸ ἐκ μὴ ὄντων. Καὶ ἄγγελοι δὲ πρὸς ἑαυτούς, καὶ τὰ ἄλλα πάντα, ὡσαύτως ὁμοφυῆ ἐστιν ἀλλήλων. Οὐκοῦν ἐρευνάτωσαν οἱ περίεργοι, εἰ ἔστι τις ὁμοιότης πρὸς τὸν Υἱὸν τοῖς κτίσμασιν· ἢ τὰ ἐν τῷ Υἱῷ δύνανται εὑρεῖν ἐν τοῖς γενητοῖς, ἵνα καὶ κτίσμα τολμήσωσιν εἰπεῖν τὸν τοῦ Θεοῦ Λόγον. Ἀλλ' οὐκ ἂν εὕροιεν οἱ πάντα προπετεῖς καὶ πλανώμενοι περὶ τὴν εὐσέβειαν. Ἐν μὲν γὰρ τοῖς κτίσμασιν οὐδέν ἐστι παντοκράτωρ, καὶ οὐδὲν παρὰ τοῦ ἑτέρου κρατεῖται.

1. Ἰω. 16, 15. 2. Πρβλ. Ἑβρ. 1, 2. 3. Ῥωμ. 9, 5. 4. Ἀποκ. 1, 8. 5. Α' Ἰω. 5, 20. 6. Ἰω. 10, 30. 7. Ἰω. 14, 9.

Ἕκαστον γὰρ αὐτοῦ ἐστι τοῦ Θεοῦ. «Οἱ μὲν γὰρ «οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ·[1] ἡ δὲ γῆ τοῦ Κυρίου ἐστὶ καὶ τὸ πλήρωμα αὐτῆς·[2] ἡ θάλασσα εἶδε καὶ ἔφυγε.[3]» Καὶ τὰ πάντα δοῦλα τοῦ πεποιηκότος ἐστί, ποιοῦντα τὸν λόγον αὐτοῦ[4], καὶ ὑπακούοντα τῷ προστάγματι αὐτοῦ. Ὁ δὲ Υἱὸς παντοκράτωρ ἐστίν, ὡς ὁ Πατήρ· καὶ τοῦτο γέγραπται, καὶ δέδεικται. Πάλιν τε ἐν τοῖς κτίσμασιν οὐδέν ἐστιν ἄτρεπτον τῇ φύσει. Τῶν γὰρ ἀγγέλων τινὲς οὐκ ἐτήρησαν τὴν ἰδίαν τάξιν· καὶ «ἄστρα οὐ καθαρὰ ἐνώπιον αὐτοῦ·[5]» καὶ ὁ μὲν διάβολος ἔπεσεν ἀπ' οὐρανοῦ· ὁ δὲ Ἀδὰμ παρέβη· καὶ πάντα ἀλλοιούμενά ἐστιν. Ὁ δὲ Υἱὸς ἄτρεπτός ἐστι καὶ ἀναλλοίωτος, ὡς ὁ Πατήρ. Καὶ τοῦτο ὁ Παῦλος ὑπέμνησεν ἐκ τοῦ ἑκατοστοῦ καὶ πρώτου ψαλμοῦ λέγων· «Καὶ σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτός εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.[6]» Καὶ πάλιν λέγει· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον· ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.[7]»

4. Καὶ πάλιν τὰ γενητὰ πάντα οὐκ ἦν, καὶ γέγονε. Τὴν γὰρ γῆν, ὡς οὐδέν, ἐποίησε· καί, «ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα·[8]» καὶ ποιήματα δέ ἐστι καὶ κτίσματα· διὰ τοῦτο γὰρ καὶ ἀρχὴν ἔχει τοῦ γενέσθαι. «Ἐν ἀρχῇ» γὰρ «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν[9]», καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ πάλιν· «Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα.[10]» Ὁ δὲ Υἱὸς ὤν ἐστι καὶ ἐπὶ πάντων Θεός, ὡς ὁ Πατήρ· καὶ τοῦτο οὕτω δέδεικται· καὶ οὐ ποιούμενός ἐστιν, ἀλλὰ ποιῶν· καὶ οὐ κτιζόμενος, ἀλλὰ κτίζων καὶ ποιῶν τὰ ἔργα τοῦ Πατρός. Δι' αὐτοῦ γὰρ οἱ αἰῶνες γεγόνασι·[11] καὶ πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·[12] ὡς δὲ Ἀπόστολος ἐδίδαξε τὸ ἐν τῷ ψαλμῷ, αὐτὸς κατ' ἀρχὰς τὴν γῆν ἐθεμελίωσε, καὶ ἔργα τῶν χειρῶν αὐτοῦ εἰσιν οἱ οὐρανοί.[13] Καὶ πάλιν τῶν κτισμάτων οὐδέν ἐστι τῇ φύσει Θεός· ἀλλ' ἕκαστον τῶν γενομένων ὃ καὶ γέγονε, τοῦτο καὶ ἐκλήθη· τὸ μὲν οὐρανός, ἄλλο δὲ γῆ· καὶ οἱ μὲν φωστῆρες, τὰ δὲ ἄστρα· καὶ ἄλλα θάλασσα, καὶ ἄβυσσοι, καὶ τετράποδα· καὶ λοιπόν, ἄνθρωπος· καὶ πρὸ τούτων ἄγγελοι, καὶ ἀρχάγγελοι, χερουβίμ, σεραφείμ, καὶ δυνάμεις, ἀρχαί, ἐξουσίαι, κυριότητες, παράδεισος· καὶ οὕτως ἕκαστον διαμένει. Εἰ δὲ καὶ θεοί τινες ἐκλήθησαν, ἀλλ' οὐ τῇ φύσει, ἀλλὰ τῇ μετουσίᾳ τοῦ Υἱοῦ. Οὕτω γὰρ καὶ αὐτὸς εἶπεν· «Εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο.[14]» Διό, μὴ ὄντες τῇ φύσει θεοί, ἔστιν ὅτε τινὲς τρέπονται, ἀκούοντες· «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες.

1. Ψαλμ. 18, 2. 2. Ψαλμ. 23, 1. 3. Ψαλμ. 113, 3. 4. Πρβλ. Ψαλμ. 102, 20. 5. Ἰὼβ 25, 5. 6. Ἑβρ. 1, 10-12. 7. Ἑβρ. 13, 8. 8. Ῥωμ. 4, 17. 9. Γεν. 1, 1. 10. Ἡσ. 66, 2. 11. Πρβλ. Ἑβρ. 1, 2. 12. Ἰω. 1,3. 13. Ἑβρ. 1, 10. Ψαλμ. 101, 26. 14. Ἰω. 10, 35.

Ὑμεῖς δέ, ὡς ἄνθρωποι, ἀποθνήσκετε.[1]» Τοιοῦτος ἦν ὁ ἀκούσας· «Σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ Θεός.» Ὁ δὲ Υἱὸς Θεὸς ἀληθινός ἐστιν, ὡς ὁ Πατήρ. Ἐν αὐτῷ γάρ ἐστιν, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ· καὶ ὁ μὲν Ἰωάννης ἔγραψεν, ὡς δέδεικται· ὁ δὲ Δαβὶδ ψάλλει· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς αἰῶνα αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου·[2]» καὶ ὁ προφήτης δὲ Ἡσαΐας βοᾷ· «Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων· καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ ἀκολουθήσουσιν οἱ ὀπίσω σου δεδεμένοι χειροπέδαις, καὶ προσκυνήσουσί σοι, ὅτι ἐν σοὶ ὁ Θεός. Σὺ γὰρ εἶ ὁ Θεὸς τοῦ Ἰσραήλ, καὶ οὐκ ᾔδειμεν.[3]» Τίς δή ἐστιν ὁ Θεός, ἐν ᾧ ὁ Θεός, εἰ μὴ ὁ Υἱὸς ὁ λέγων· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;[4]»

5. Τίς, τούτων ὄντων καὶ γεγραμμένων, οὐ συνορᾷ, ἐπεὶ τῶν μὲν κτισμάτων οὐδὲν ὅμοιον ὁ Υἱὸς ἔχει, πάντα δὲ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστιν, ὅτι ὁμοούσιος ἂν εἴη ὁ Υἱὸς τῷ Πατρί; Ὥσπερ γάρ, εἰ τῶν κτισμάτων τινὰ εἶχεν ὁμοιότητα καὶ πρὸς αὐτά τινα εἶχε συγγένειαν, ὁμοούσιος ἂν αὐτοῖς ἦν· οὕτως ἀλλότριος μὲν ὢν κατ' οὐσίαν τῶν γενητῶν, ἴδιος δὲ τοῦ Πατρὸς Λόγος, οὐκ ἄλλος ὢν οὗτος ἐκείνου· ἐπειδὴ καὶ αὐτοῦ ἐστιν ἴδια πάντα τὰ τοῦ Πατρός, ὁμοούσιος εἰκότως ἂν εἴη τῷ Πατρί. Οὕτως γὰρ καὶ οἱ Πατέρες νοήσαντες, ὡμολόγησαν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ ὁμοούσιον καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱόν. Συνεῖδον γὰρ καλῶς, ὅτι κτιστὴ οὐσία οὐ δύναται ἄν ποτε εἰπεῖν· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν.[5]» Ἀρχὴν γὰρ ἔχουσα τοῦ γίνεσθαι, οὐκ ἔχει τὸ ὤν, καὶ τὸ ἦν ἀιδίως. Καὶ διὰ τοῦτο, ἐπειδὴ ταῦτ' ἔχει ὁ Υἱός, καὶ πάντα δὲ τὰ προειρημένα τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστιν, ἀνάγκη μὴ κτιστὴν εἶναι τὴν οὐσίαν τοῦ Υἱοῦ, ἀλλ' ὁμοούσιον τῷ Πατρί. Ἄλλως τε καὶ κατὰ τοῦτο οὐκ ἂν εἴη κτιστὴ οὐσία, δεκτικὴ τῶν ἰδίων τοῦ Θεοῦ. Ἴδια δὲ αὐτοῦ ἐστιν, ἐξ ὧν γινώσκεται ὁ Θεός, οἷον τὸ παντοκράτωρ, τὸ ὤν, τὸ ἀναλλοίωτον, καὶ τὰ ἕτερα τὰ προειρημένα, ἵνα μὴ ὁμοούσιος τῶν κτισμάτων αὐτὸς ὁ Θεὸς φαίνηται κατὰ τοὺς ἄφρονας, ἔχων ἅπερ κατὰ τὰ κτίσματα ἔχειν δύναται.

6. Καὶ οὕτω δ' ἄν τις διελέγξειε τὴν ἀσέβειαν τῶν λεγόντων κτίσμα εἶναι τὸν τοῦ Θεοῦ Λόγον. Ἡ πίστις ἡμῶν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμά ἐστι, λέγοντος αὐτοῦ τοῦ Υἱοῦ τοῖς ἀποστόλοις· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.[6]» Εἶπε δὲ οὕτως, ἵνα ἐξ ὧν οἴδαμεν, ἀπὸ τούτων νοῶμεν καὶ περὶ τῶν προειρημένων. Ὥσπερ οὖν ἂν εἴποιμεν τοὺς πατέρας ποιητάς, ἀλλὰ γεννήτορας καὶ αὐτοὺς δὲ ἡμᾶς οὐκ ἂν εἴποι τις κτίσμα πατέρων, ἀλλὰ υἱοὺς φύσει, καὶ ὁμοουσίους τῶν πατέρων· οὕτως, εἰ Πατὴρ ὁ

---

1. Ψαλμ. 81, 6-7. 2. Ψαλμ. 44, 7. 3. Ἡσ. 45, 14-15. 4. Ἰω. 14, 10. 5. Ἰω. 16, 15. 6. Ματθ. 28, 19.

Θεός, πάντως Υἱοῦ φύσει καὶ ὁμοουσίου ἐστὶ Πατήρ. Ἀβραὰμ γοῦν οὐκ ἔκτισε τὸν Ἰσαάκ, ἀλλ' ἐγέννησε· Βεσελεὴλ δὲ καὶ Ἐλιὰβ οὐκ ἐγέννησαν, ἀλλ' ἐποίησαν πάντα τὰ ἔργα τὰ ἐν τῇ σκηνῇ.[1] Καὶ ναυπηγὸς δὲ καὶ οἰκοδόμος οὐ γεννῶσιν ἃ ποιοῦσιν, ἀλλ' ἕκαστος ἐργάζεται, ὁ μὲν τὸ σκάφος, ὁ δὲ τὴν οἰκίαν. Ὁ μέντοι Ἰσαὰκ οὐ ποιεῖ, ἀλλὰ γεννᾷ φύσει καὶ ὁμοούσιον τοῦ Ἰακώβ· καὶ ὁ Ἰακὼβ δὲ οὕτως τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. Ὥσπερ οὖν μαίνοιντ' ἄν τις λέγων τὴν οἰκίαν ὁμοούσιον τοῦ οἰκοδόμου, καὶ τὸ σκάφος τοῦ ναυπηγοῦ, οὕτως πρεπόντως ἄν τις εἴποι πάντα Υἱὸν ὁμοούσιον εἶναι τοῦ ἑαυτοῦ Πατρός. Εἰ τοίνυν Πατήρ ἐστι καὶ Υἱός, ἀνάγκη τὸν Υἱὸν φύσει καὶ ἀληθείᾳ εἶναι Υἱόν. Τοῦτο δέ ἐστι τὸ ὁμοούσιον εἶναι τῷ Πατρί, ὡς ἐκ πολλῶν ἐδείχθη. Ἀμέλει περὶ μὲν τῶν ποιημάτων· «Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.[2]» Περὶ δὲ τοῦ Υἱοῦ· «Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν.[3]» Ὁ δὲ Δανιὴλ οἶδε Υἱὸν τοῦ Θεοῦ, οἶδε καὶ τὰ ἔργα τοῦ Θεοῦ· καὶ τὸν μὲν Υἱὸν εἶδε δροσίζοντα τὴν κάμινον· περὶ δὲ τῶν ἔργων εἰρηκώς, «Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον[4]», ἕκαστον μὲν τῶν κτισμάτων κατέλεξε· τὸν δὲ Υἱὸν οὐ συνηρίθμησε τούτοις, εἰδώς, ὅτι οὐκ ἔστιν ἔργον, ἀλλὰ δι' αὐτοῦ γέγονε μὲν τὰ ἔργα, ἐν Πατρὶ δὲ ὑμνούμενος καὶ ὑπερυψούμενός ἐστιν. Ὥσπερ οὖν δι' αὐτοῦ ἀποκαλύπτεται ὁ Θεὸς τοῖς γινώσκουσιν, οὕτως δι' αὐτοῦ ἡ εὐλογία, καὶ ὁ ὕμνος, καὶ ἡ δόξα, καὶ τὸ κράτος ὁμολογεῖται τῷ Πατρὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ, ἵνα καὶ εὐπρόσδεκτος ἡ τοιαύτη ὁμολογία γένηται, ὡς αἱ Γραφαὶ λέγουσιν. Ἐκ πολλῶν μὲν οὖν καὶ ἐκ τούτων δέδεικται καὶ δείκνυται ἀσεβὴς ὁ λέγων κτίσμα εἶναι τὸν τοῦ Θεοῦ Λόγον.

7. Ἀλλ' ἐπειδὴ προφασίζονται τὸ ἐν ταῖς Παροιμίαις γεγραμμένον τό, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ[5]», καὶ ἐπιλέγουσιν ἑαυτοῖς· Ἰδοὺ ἔκτισε καὶ κτίσμα ἐστίν· ἀναγκαῖόν ἐστι καὶ ἐκ τούτου δεῖξαι ὅσον πλανῶνται, μὴ εἰδότες τὸν σκοπὸν τῆς θείας Γραφῆς. Εἰ μὲν οὖν Υἱός ἐστι, μὴ λεγέσθω κτίσμα· εἰ δὲ κτίσμα, μὴ λεγέσθω Υἱός. Δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅση διαφορά ἐστι κτίσματος καὶ Υἱοῦ. Καὶ ἐπειδὴ ἡ τελείωσις οὐκ εἰς κτίστην καὶ κτίσμα, ἀλλ' εἰς Πατέρα καὶ Υἱὸν κρατεῖ, ἀνάγκη μὴ λέγεσθαι κτίσμα, ἀλλ' Υἱὸν τὸν Κύριον. Οὐ γέγραπται οὖν; φησί. Ναὶ γέγραπται, καὶ ἀναγκαίως εἴρηται· ἀλλὰ κακῶς νοοῦσι τὸ καλῶς εἰρημένον οἱ αἱρετικοί. Εἰ γὰρ ἐνόουν καὶ ἐγίνωσκον τὸν χαρακτῆρα τοῦ Χριστιανισμοῦ, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἔλεγον κτίσμα εἶναι, οὐδὲ προσέκοπτον τῷ γεγραμμένῳ καλῶς. Ἐκεῖνοι μὲν οὖν «οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν·[6]» διὰ τοῦτο, ὡς γέγραπται, «ἐν σκότῳ διαπορεύονται·[7]»

---

1. Πρβλ. Ἔξ. 36, 1. 2. Ψαλμ. 148, 5. 3. Ψαλμ. 44, 2. 4. Δαν. (Ὕμν. τριῶν παίδ. 34). 5. Παρμ. 8, 22. 6. Ψαλμ. 81, 5. 7. Πρβλ. Ἰω. 12-35.

ἡμᾶς δὲ ὅμως ἀναγκαῖον εἰπεῖν, ἵν' ἐκεῖνοι μὲν καὶ ἐν τούτῳ δειχθῶσιν ἄφρονες, ἡμεῖς δὲ μὴ παραλίπωμεν τὸν κατὰ τῆς ἀσεβείας αὐτῶν ἔλεγχον, ἴσως καὶ αὐτοὶ μεταγνῶσιν. Ὁ χαρακτὴρ τοίνυν τῆς ἐν Χριστῷ πίστεώς ἐστιν οὗτος, τὸν Υἱὸν τοῦ Θεοῦ, Λόγον ὄντα Θεὸν («Ἐν ἀρχῇ γὰρ ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος[1]»), σοφίαν ὄντα καὶ δύναμιν τοῦ Πατρὸς (Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[2]), τοῦτον ἐπὶ συντελείᾳ τῶν αἰώνων ἄνθρωπον γεγενῆσθαι διὰ τὴν ἡμετέραν σωτηρίαν. Αὐτὸς γὰρ ὁ Ἰωάννης, εἰρηκώς, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος», μετ' ὀλίγα εἶπε· «καὶ ὁ Λόγος σὰρξ ἐγένετο·[3]» ἴσον τῷ εἰπεῖν, ἄνθρωπος γέγονε. Καὶ ὁ μὲν Κύριος περὶ ἑαυτοῦ ἔλεγε· «Τί με ζητεῖτε ἀποκτεῖναι[4], ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;[5]» ὁ δὲ Παῦλος, παρ' αὐτοῦ μαθών, ἔλεγεν· «Εἷς Θεὸς εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς·[6]» ἄνθρωπος δὲ γενόμενος καὶ οἰκονομήσας τὰ ἀνθρώπινα, τροπώσας τε καὶ καταργήσας τὸν καθ' ἡμῶν θάνατον, κάθηται νῦν ἐν δεξιᾷ τοῦ Πατρός, ἐν αὐτῷ ὤν, καὶ τοῦ Πατρὸς ὄντος ἐν αὐτῷ, ὥσπερ ἦν ἀεί, καὶ ἔστι διαπαντός.

8. Ὁ μὲν χαρακτὴρ οὗτος ἐκ τῶν ἀποστόλων διὰ τῶν Πατέρων· δεῖ δὲ λοιπόν, ἐντυγχάνοντα τῇ Γραφῇ δοκιμάζειν καὶ διακρίνειν, πότε μὲν περὶ τῆς θεότητος τοῦ Λόγου λέγει, πότε δὲ περὶ τῶν ἀνθρωπίνων αὐτοῦ· ἵνα μὴ ἕτερα ἀνθ' ἑτέρων νοοῦντες παραπαίωμεν, οἷα πεπόνθασιν οἱ Ἀρειανοί. Ὥσπερ τοίνυν, Λόγον αὐτὸν εἰδότες, οἴδαμεν, ὅτι «δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·[7]» καί, «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν·[8]» καί, «Ἀποστέλλει τὸν Λόγον αὐτοῦ, καὶ ἰᾶται τὰ πάντα·[9]» καὶ σοφίαν δὲ αὐτὸν εἰδότες, οἴδαμεν, ὅτι ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν[10], καὶ πάντα ἐν σοφίᾳ ἐποίησεν ὁ Πατήρ·[11] καὶ Θεὸν δὲ αὐτὸν εἰδότες, πεπιστεύκαμεν, ὅτι αὐτός ἐστιν ὁ Χριστός· «Ὁ θρόνος σου» γάρ, «ὁ Θεός», ᾄδει Δαβίδ, «εἰς αἰῶνα αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.[12]» Καὶ ἐν μὲν τῷ Ἡσαΐα αὐτὸς περὶ ἑαυτοῦ λέγει· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με.[13]» Ὁ δὲ Πέτρος ὡμολόγησεν, ὅτι «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.[14]» Οὕτως εἰδότες αὐτὸν ἄνθρωπον γενόμενον, οὐκ ἀρνούμεθα τὰ περὶ αὐτοῦ ἀνθρωπίνως λεγόμενα, οἷά ἐστι τὸ πεινᾶν, τὸ διψᾶν, τὸ ῥαπισθῆναι, τὸ δακρῦσαι, τὸ κοιμηθῆναι, καὶ τέλος τῷ σταυρῷ ἀναδέξασθαι τὸν ὑπὲρ ἡμῶν θάνατον· ταῦτα γὰρ πάντα περὶ αὐτοῦ γέγραπται.

---

1. Ἰω. 1, 1. 2. Α' Κορ. 1, 24. 3. Ἰω. 1, 14. 4. Ἰω. 7, 19. 5. Ἰω. 8, 40. 6. Α' Τιμ. 2, 5. 7. Ἰω. 1, 3. 8. Ψαλμ. 32, 6. 9. Πρβλ. Ψαλμ. 106, 20. 10. Παρμ. 3, 19. 11. Ψαλμ. 103, 24. 12. Ψαλμ. 44, 7-8. 13. Ἡσ. 61, 1. 14. Ματθ. 16, 16.

Οὕτως καὶ τό, «ἔκτισεν», ἀνθρώποις ἁρμόζον οὐκ ἀπέκρυψεν ἡ Γραφή, ἀλλ' εἴρηκεν. Ἐκτίσθημεν γὰρ καὶ πεποιήμεθα οἱ ἄνθρωποι. Ἀλλ' ὥσπερ ἀκούοντες, ἐπείνασεν, ἐκοιμήθη, ἐρραπίσθη, οὐκ ἀρνούμεθα αὐτοῦ τὴν θεότητα· οὕτως ἀκούοντας τό, «ἔκτισεν», ἀκόλουθον ἂν εἴη μνημονεύειν, ὅτι, Θεὸς ὤν, ἐκτίσθη ἄνθρωπος. Ἀνθρώπων γὰρ ἴδιον τὸ κτίζεσθαι, ὥσπερ καὶ τὰ προειρημένα τὸ πεινᾶν, καὶ τὰ ὅμοια.

9. Καὶ γὰρ κἀκεῖνο πάλιν τὸ καλῶς μὲν εἰρημένον, κακῶς δὲ νοούμενον παρ' αὐτοῖς· φημὶ δὴ τό, «Περὶ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱός[1]», καλὸν ἔχει τὸν νοῦν. Ἐκεῖνοι μὲν γὰρ νομίζουσιν ἐκ τοῦ λέγειν, «οὐδὲ ὁ Υἱός», ὅτι ἀγνοῶν δηλοῖ, ὅτι κτίσμα ἐστίν. Οὐκ ἔστι δὲ οὕτως· μὴ γένοιτο! καὶ γὰρ ὥσπερ λέγων, «Ἔκτισέ με, ἀνθρωπίνως εἴρηκεν· οὕτως λέγων, «οὐδὲ ὁ Υἱός», ἀνθρωπίνως εἴρηκε. Καὶ τὸ αἴτιον τοῦ οὕτως εἰρηκέναι ἔχει τὸ εὔλογον. Ἐπειδὴ γὰρ ἄνθρωπος γέγονεν, ὡς γέγραπται, ἀνθρώπων δὲ ἴδιον τὸ ἀγνοεῖν, ὥσπερ καὶ τὸ πεινᾶν, καὶ τὰ ἄλλα (οὐ γὰρ γινώσουσιν, ἐὰν μὴ ἀκούσωσι καὶ μάθωσι), διὰ τοῦτο καὶ τὴν ἄγνοιαν τῶν ἀνθρώπων, ὡς ἄνθρωπος γεγονώς, ἐπιδείκνυται· πρῶτον μέν, ἵνα δείξῃ, ὅτι ἀληθῶς ἀνθρώπινον ἔχει σῶμα· ἔπειτα δέ, ἵνα καί, τὴν ἄγνοιαν τῶν ἀνθρώπων ἐν τῷ σώματι ἔχων, ἀπὸ πάντων λυτρωσάμενος καὶ καθαρίσας, τελείαν καὶ ἁγίαν παραστήσῃ τῷ Πατρὶ τὴν ἀνθρωπότητα. Ποίαν ἔτι πρόφασιν εὑρήσουσιν οἱ Ἀρειανοί; Τί λοιπὸν ἐπινοήσαντες γογγύσουσι; Κατεγνώσθησαν μὴ εἰδότες τό, «Κύριος ἔκτισέ με εἰς ἔργα αὐτοῦ». Καὶ ἐδείχθησαν μὴ νοοῦντες τό, «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱός.» Καὶ γὰρ ὥσπερ λέγων μὲν τό, «ἔκτισε», τὸ ἀνθρώπινον σημαίνει, ὅτι ἄνθρωπος γέγονε καὶ ἐκτίσθη· λέγων δέ, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[2]», καί, «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα[3]», καί, «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί[4]», τὴν ἀιδιότητα καὶ τὸ πρὸς τὸν Πατέρα ὁμοούσιον σημαίνει· οὕτως λέγων, «Οὐδεὶς οἶδεν, οὐδὲ ὁ Υἱός», ὡς ἄνθρωπος πάλιν λέγει· ἀνθρώπων γὰρ ἴδιον τὸ ἀγνοεῖν. Λέγων δέ, «Οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱός, οὐδὲ τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ[5]», οἶδε πολλῷ πλέον τὰ γενητά. Οἱ μὲν οὖν μαθηταὶ ἐν τῷ κατὰ Ἰωάννην ἔλεγον τῷ Κυρίῳ· «Νῦν οἴδαμεν, ὅτι πάντα οἶδας.[6]» Εὔδηλον οὖν, ὅτι οὐδέν ἐστιν ὃ ἀγνοεῖ, Λόγος ὤν, δι' οὗ τὰ πάντα ἐγένετο. Τῶν δὲ πάντων οὖσα καὶ ἡ ἡμέρα ἐκείνη, πάντως δι' αὐτοῦ γενήσεται, κἂν διαρραγῶσι μυριάκις τῇ ἑαυτῶν ἀγνοίᾳ οἱ Ἀρειανοί.

---

1. Μάρκ. 13, 32. 2. Ἰω. 10, 30. 3. Ἰω. 14, 9. 4. Ἰω. 14, 10. 5. Ματθ. 11, 27. 6. Ἰω. 16, 30.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΣΕΡΑΠΙΩΝΑ ΕΠΙΣΚΟΠΟΝ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

1. Ἴσως θαυμάσεις, πῶς ἐντειλάμενον τὴν περὶ τοῦ ἁγίου Πνεύματος γραφεῖσαν ἐπιστολὴν ἐπιτεμεῖν καὶ δι' ὀλίγων δηλῶσαι, ὁρᾷς ὥσπερ ἀφέντα με τὸν περὶ τούτου λόγον, καὶ γράφοντα κατὰ τῶν ἀσεβούντων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ λεγόντων αὐτὸν κτίσμα· ἀλλ' οὐ μέμψῃ εὖ οἶδ' ὅτι, εἰ μάθοις τὸ αἴτιον, ἀλλὰ καὶ ἀποδέξεταί σου ἡ εὐλάβεια, ὁρῶσα τὸ εὔλογον. Ἐπειδὴ γάρ, ὡς αὐτὸς ὁ Κύριος εἶπεν· «Οὐ λαλήσει παρ' ἑαυτοῦ ὁ Παράκλητος· ἀλλ' ὅσα ἀκούσει, λαλήσει·[1] ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν·» καὶ ἐμφυσήσας δέδωκεν ἐξ αὐτοῦ τοῦτο τοῖς μαθηταῖς[2], καὶ οὕτως ἐξέχεεν αὐτὸ ὁ Πατὴρ ἐπὶ πᾶσαν σάρκα κατὰ τὸ γεγραμμένον·[3] διά τοι τοῦτο εἰκότως περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ πρῶτον εἴρηταί τε καὶ γέγραπται· ἵν' ἐκ τῆς περὶ τοῦ Υἱοῦ γνώσεως ἔχειν καὶ τὴν περὶ τοῦ Πνεύματος γνῶσιν καλῶς δυνηθῶμεν· οἵαν γὰρ ἔγνωμεν ἰδιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ταύτην ἔχειν τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν εὑρήσομεν. Καὶ ὥσπερ ὁ Υἱὸς λέγει, «Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν[4]», οὕτως ταῦτα πάντα διὰ τοῦ Υἱοῦ εὑρήσομεν ὄντα καὶ ἐν τῷ Πνεύματι. Καὶ ὡς ὁ Πατὴρ ἔδειξε τὸν Υἱὸν λέγων, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα[5]», οὕτως τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα· «Ἐξαπέστειλε γάρ», φησὶν ὁ Ἀπόστολος, «τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ.[6]» Καὶ τὸ παράδοξον, ὥσπερ ὁ Υἱὸς λέγει, Τὰ ἐμὰ τοῦ Πατρός ἐστιν, οὕτως τοῦ Πατρός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, ὅπερ τοῦ Υἱοῦ εἴρηται. Αὐτὸς μὲν γὰρ ὁ Υἱὸς λέγει· «Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ·[7]» ὁ δὲ Παῦλος γράφει· «Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵν' ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.[8]» Καὶ ἐν πάσῃ δὲ τῇ θείᾳ Γραφῇ εὑρήσεις, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λεγόμενον τοῦ Υἱοῦ, τοῦτο λέγεται τοῦ Θεοῦ εἶναι· καὶ τοῦτο ἐν τοῖς ἔμπροσθεν ἐγράψαμεν. Οὐκοῦν εἰ ὁ Υἱὸς διὰ τὴν πρὸς τὸν Πατέρα ἰδιότητα, καὶ διὰ τὸ εἶναι αὐτοῦ τῆς οὐσίας ἴδιον γέννημα, οὐκ ἔστι κτίσμα, ἀλλ' ὁμοούσιος τοῦ Πατρός, οὕτως οὐκ ἂν εἴη οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον κτίσμα, ἀλλὰ καὶ ἀσεβὴς ὁ λέγων τοῦτο, διὰ τὴν πρὸς τὸν Υἱὸν ἰδιότητα

---

1. Ἰω. 16, 13. 2. Πρβλ. Ἰω. 20, 22. 3. Πρβλ. Ἰωὴλ 3, 1. 4. Ἰω. 16, 15. 5. Ματθ. 3, 17. 6. Γαλ. 4, 6. 7. Ἰω. 15, 26. 8. Α' Κορ. 2, 11-12.

αὐτοῦ, καὶ ὅτι ἐξ αὐτοῦ δίδοται πᾶσι, καὶ ἃ ἔχει τοῦ Υἱοῦ ἐστιν.

2. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα πεῖσαι καὶ πάντα ὁντινοῦν φιλόνεικον, μηκέτι λέγειν κτίσμα τοῦ Θεοῦ, τὸ ἐν τῷ Θεῷ, καὶ τὰ βάθη ἐρευνῶν τοῦ Θεοῦ, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ διδόμενον· ἵνα μὴ ἐκ τούτων ἀναγκασθῇ καὶ τὸν Υἱὸν εἰπεῖν κτίσμα, τὸν Λόγον, τὴν σοφίαν, τὸν χαρακτῆρα, τὸ ἀπαύγασμα, ὃν ὁρῶν τις ὁρᾷ τὸν Πατέρα, καὶ λοιπὸν ἀκούσῃ· «Ὁ ἀρνούμενος τὸν Υἱόν, οὐδὲ τὸν Πατέρα ἔχει.[1]» Λέξει γὰρ κατ' ὀλίγον ὁ τοιοῦτος, ὡς ὁ ἄφρων· «Οὐκ ἔστι Θεός.[2]» Ὅμως δὲ ὑπὲρ τοῦ ἐκ πλειόνων δειχθῆναι τὸν κατὰ τῶν ἀσεβῶν ἔλεγχον καλόν, ἐξ ὧν ὁ Υἱὸς δείκνυται μὴ ὢν κτίσμα, ἐκ τούτων δεῖξαι καὶ τὸ Πνεῦμα μὴ εἶναι κτίσμα. Ἐξ οὐκ ὄντων ἐστὶ τὰ κτίσματα, καὶ ἀρχὴν ἔχει τοῦ εἶναι· «Ἐν ἀρχῇ» γὰρ «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν[3]», καὶ τὰ ἐν αὐτοῖς. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Θεοῦ ἐστι, καὶ λέγεται, ὡς εἶπεν ὁ Ἀπόστολος. Εἰ δὲ ὁ Υἱός, ἐπειδὴ ἐξ οὐκ ὄντων οὐκ ἔστιν, ἀλλ' ἐκ τοῦ Θεοῦ, εἰκότως οὐκ ἂν εἴη κτίσμα, ἀνάγκη μηδὲ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι κτίσμα· ἐπειδὴ ἐκ τοῦ Θεοῦ ὡμολόγηται. Τὰ γὰρ κτίσματα ἐξ οὐκ ὄντων ἐστίν.

3. Καὶ πάλιν χρίσμα καὶ σφραγὶς λέγεται καὶ ἔστι τὸ Πνεῦμα· ὁ μὲν γὰρ Ἰωάννης γράφει· «Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ μένει ἐν ὑμῖν· καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα, τὸ πνεῦμα αὐτοῦ διδάσκει ὑμᾶς περὶ πάντων·[4]» ἐν δὲ τῷ προφήτῃ Ἡσαΐᾳ γέγραπται· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με·[5]» καὶ ὁ Παῦλος δὲ γράφει· «Ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε·[6]» καὶ πάλιν· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.[7]» Τὰ δὲ κτίσματα ἐν τούτῳ χρίεται καὶ σφραγίζεται· εἰ δὲ τὰ κτίσματα ἐν τούτῳ χρίεται καὶ σφραγίζεται, οὐκ ἂν εἴη κτίσμα τὸ Πνεῦμα· οὐ γὰρ ὅμοιον τὸ χρίον τῶν χριομένων. Καὶ γὰρ τὸ χρίσμα τοῦτο πνοή ἐστι τοῦ Υἱοῦ· ὥστε τὸν ἔχοντα τὸ Πνεῦμα λέγειν· «Χριστοῦ εὐωδία ἐσμέν.[8]» Καὶ ἡ σφραγὶς δὲ τὸν Υἱὸν ἐκτυποῖ, ὡς τὸν σφραγιζόμενον ἔχειν τὴν τοῦ Χριστοῦ μορφήν, λέγοντος τοῦ Ἀποστόλου· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, μέχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.[9]» Εἰ δὲ τὸ Πνεῦμα εὐωδία καὶ μορφὴ τοῦ Υἱοῦ ἐστιν, εὔδηλον, ὡς οὐκ ἂν εἴη τὸ Πνεῦμα κτίσμα· ἐπειδὴ καὶ ὁ Υἱός, ἐν μορφῇ τοῦ Πατρὸς ὑπάρχων, οὐκ ἔστι κτίσμα. Καὶ γὰρ ὥσπερ ὁ ἑωρακὼς τὸν Υἱὸν ὁρᾷ τὸν Πατέρα, οὕτως ὁ τὸ Πνεῦμα τὸ ἅγιον ἔχων ἔχει τὸν Υἱόν, καὶ ἔχων αὐτόν, ναὸς τοῦ Θεοῦ ἐστι, γράφοντος τοῦ μὲν Παύλου· «Οὐκ οἴδατε, ὅτι ναὸς τοῦ Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν·[10]» ὁ δὲ Ἰωάννης φησίν· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν τῷ Θεῷ μένομεν, καὶ αὐτὸς ἐν

1. Α' Ἰω. 2, 23. 2. Ψαλμ. 13, 1. 3. Γεν. 1, 1. 4. Α' Ἰω. 2, 27. 5. Ἡσ. 61, 1. 6. Ἐφεσ. 1, 13. 7. Ἐφεσ. 4, 30. 8. Β' Κορ. 2, 15. 9. Γαλ. 4, 19. 10. Α' Κορ. 3, 16.

ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.[1]» Εἰ δὲ ὁ Υἱὸς ἐν τῷ Πατρὶ ὤν, ἐν ᾧ ἐστι καὶ ὁ Πατήρ, ὡμολογήθη μὴ εἶναι κτίσμα, ἀνάγκη πᾶσα μηδὲ τὸ Πνεῦμα εἶναι κτίσμα· ἐν αὐτῷ γάρ ἐστιν ὁ Υἱός, καὶ αὐτὸς ἐν τῷ Υἱῷ. Διὸ καὶ ὁ τὸ Πνεῦμα λαμβάνων ναὸς τοῦ Θεοῦ χρηματίζει. Πάλιν δὲ κἀκ τούτου συνιδεῖν καλόν, εἰ ἔστιν ὁ Υἱὸς τοῦ Θεοῦ Λόγος, ὡς Πατὴρ εἷς ἐστιν. «Εἷς γὰρ Θεός, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός·[2]» διὸ καὶ μονογενὴς Υἱὸς εἴρηται καὶ γέγραπται· τὰ δὲ κτίσματα πολλὰ καὶ διάφορα, ἄγγελοι, ἀρχάγγελοι, χερουβίμ, ἀρχαί, ἐξουσίαι, καὶ τὰ ἄλλα, ὥσπερ εἴρηται. Εἰ δέ, ὅτι οὐκ ἔστι τῶν πολλῶν ὁ Υἱός, ἀλλ' εἷς ἐστιν, ὡς Πατὴρ εἷς ἐστι, καὶ οὐκ ἔστι κτίσμα, πάντως καὶ τὸ Πνεῦμα (χρὴ γὰρ ἀπὸ τοῦ Υἱοῦ λαμβάνειν καὶ τὴν περὶ τοῦ Πνεύματος γνῶσιν) οὐκ ἂν εἴη κτίσμα. Οὐ γὰρ τῶν πολλῶν ἐστιν, ἀλλ' ἕν ἐστι καὶ αὐτό.

4. Καὶ τοῦτο οἶδεν ὁ Ἀπόστολος λέγων· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται·[3]» καὶ μετ' ὀλίγα· «Ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, καὶ πάντες ἓν Πνεῦμα ἐποτίσθημεν·[4]» καὶ πάλιν· ἐπειδὴ ἐκ τοῦ Υἱοῦ δεῖ λαμβάνειν τὴν περὶ τοῦ Πνεύματος γνῶσιν, πρέπον ἂν εἴη ἐξ αὐτοῦ καὶ τὰς ἀποδείξεις προφέρειν. Πανταχοῦ τοίνυν ἐστὶν ὁ Υἱός, ἐν Πατρὶ γὰρ ὤν, καὶ τοῦ Πατρὸς ὄντος ἐν αὐτῷ. Πάντα γὰρ κρατεῖ καὶ συνέχει, καὶ γέγραπται, ὅτι «Ἐν αὐτῷ συνέστηκε τὰ πάντα» εἴτε ὁρατὰ εἴτε ἀόρατα, «καὶ αὐτός ἐστι πρὸ πάντων.[5]» Τὰ δὲ κτίσματα ἐν μεμερισμένοις τόποις ἐστίν· ἥλιος μὲν καὶ σελήνη καὶ οἱ ἄλλοι φωστῆρες ἐν τῷ στερεώματι, ἐν οὐρανῷ δὲ ἄγγελοι, καὶ ἄνθρωποι ἐπὶ τῆς γῆς. Εἰ δὲ ὁ Υἱός, οὐκ ὢν ἐν μεμερισμένοις τόποις, ἀλλ' ἐν Πατρὶ ὤν, πανταχοῦ ἐστι, καὶ ἔξω τῶν πάντων ὤν, οὐκ ἔστι κτίσμα, ἀκολούθως οὐκ ἂν εἴη οὐδὲ τὸ Πνεῦμα κτίσμα, μὴ ὂν ἐν μεμερισμένοις τόποις, ἀλλὰ πάντα πληροῦν καὶ ἔξω τῶν πάντων ὄν. Οὕτω γὰρ καὶ γέγραπται· «Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην.[6]» Καὶ Δαβὶδ ψάλλει· «Ποῦ πορευθῶ ὑπὸ τοῦ Πνεύματός σου[7]», ὡς μὴ ὄντος αὐτοῦ ἐν τόπῳ, ἀλλ' ἔξω μὲν τῶν πάντων, ἐν δὲ τῷ Υἱῷ ὄντος, ὥς ἐστι καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί. Διὰ τοῦτο γὰρ οὐδ' αὐτὸ κτίσμα ἐστίν, ὥσπερ δέδεικται. Πρὸς πᾶσι δὲ τούτοις ἔτι μᾶλλον ἐκ τούτου καταγνωσθήσεται μὲν ἡ Ἀρειανὴ αἵρεσις, ἐπιγνωσθήσεται δὲ πάλιν ἐκ τοῦ Υἱοῦ ἡ περὶ τοῦ Πνεύματος γνῶσις. Κτίστης τοίνυν ἐστὶν ὁ Υἱὸς ὡς ὁ Πατήρ· «Ἃ γὰρ βλέπω», φησί, «τὸν Πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ.[8] Πάντα» γοῦν «δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.[9]» Εἰ δέ, κτίστης ὤν, ὡς ὁ Πατήρ, ὁ Υἱός, οὐκ ἔστι κτίσμα· καὶ εἰ, ὅτι δι' αὐτοῦ κτίζεται τὰ πάντα, οὐκ ἔστι τῶν κτιζο-

1. Α' Ἰω. 4, 13. 2. Α' Κορ. 3, 6. 3. Α' Κορ. 12, 11. 4. Α' Κορ. 12, 13. 5. Κολ. 1, 17. 6. Σοφ. Σολ. 1, 7. 7. Ψαλμ. 138, 7. 8. Ἰω. 5, 19. 9. Ἰω. 1, 3.

μένων· δηλονότι οὐδὲ τὸ Πνεῦμα κτίσμα ἐστίν· ἐπειδὴ καὶ περὶ αὐτοῦ γέγραπται ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ· «Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[1]»

5. Τούτου δὲ οὕτως γεγραμμένου, δῆλόν ἐστιν, ὡς οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀλλ' ἐν τῷ κτίζειν ἐστίν· ὁ γὰρ Πατὴρ διὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι κτίζει τὰ πάντα, ἐπεὶ ἔνθα ὁ Λόγος, ἐκεῖ καὶ τὸ Πνεῦμα· καὶ τὰ διὰ τοῦ Λόγου κτιζόμενα ἔχει ἐκ τοῦ Πνεύματος παρὰ τοῦ Λόγου τὴν τοῦ εἶναι ἰσχύν. Οὕτω γὰρ γέγραπται ἐν τῷ τριακοστῷ δευτέρῳ ψαλμῷ· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.[2]» Ἀμέλει οὕτως ἐστὶ τὸ Πνεῦμα ἀδιαίρετον πρὸς τὸν Υἱόν, ὡς μὴ ἀμφιβάλλειν ἐκ τοῦ λεγομένου. Ὅτε γὰρ ὁ λόγος ἐγίγνετο πρὸς τὸν προφήτην, τὰ παρὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι ἐλάλει ὁ προφήτης. Οὕτω καὶ γέγραπται ἐν μὲν ταῖς Πράξεσι τοῦ Πέτρου λέγοντος· «Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον·[3]» ἐν δὲ τῷ Ζαχαρίᾳ, τοῦ Λόγου γενομένου πρὸς αὐτόν, γέγραπται· «Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς προφήταις.[4]» Καὶ μετ' ὀλίγα, αἰτιώμενος τὸν λαόν, ἔλεγε· «Τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοὺς νόμους μου, καὶ τοὺς λόγους, οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτοῦ, ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν.[5]» Καὶ τοῦ Χριστοῦ δὲ λαλοῦντος ἐν τῷ Παύλῳ, ὡς αὐτὸς εἶπεν· «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;[6]» οὐδὲ ἧττον τὸ Πνεῦμα εἶχεν ἐπιχορηγοῦν αὐτῷ τὸ λαλεῖν. Οὕτω γὰρ αὐτὸς γράφει· «Κατὰ τὴν ἐπιχορηγίαν τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ εἰς ἐμέ.[7]» Πάλιν τε τοῦ Χριστοῦ ἐν αὐτῷ λαλοῦντος,ἔλεγε· «Πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτυρεῖταί μοι, λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν.[8]» Οὐ γὰρ ἐκτός ἐστι τοῦ Λόγου τὸ Πνεῦμα, ἀλλά, ἐν τῷ Λόγῳ ὄν, ἐν τῷ Θεῷ δι' αὐτοῦ ἐστιν· ὥστε τὰ χαρίσματα ἐν τῇ Τριάδι δίδοσθαι. Ἐν γὰρ τῇ τούτων διαιρέσει, ὡς Κορινθίοις γράφει, τὸ αὐτὸ Πνεῦμά ἐστι καὶ ὁ αὐτὸς Κύριος, καὶ ὁ αὐτὸς Θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.[9] Αὐτὸς γὰρ ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐν τῷ Πνεύματι ἐνεργεῖ καὶ δίδωσι τὰ πάντα.

6. Ἀμέλει, ἐπευχόμενος Κορινθίοις, ἐν τῇ Τριάδι ηὔχετο λέγων. «Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν.[10]» Τοῦ γὰρ Πνεύματος μετέχοντες, ἔχομεν τὴν τοῦ Λόγου χάριν, καὶ ἐν αὐτῷ τὴν

---

1. Ψαλμ. 103, 29-30. 2. Ψαλμ. 32, 6. 3. Πράξ. 1, 16, 4. Ζαχ. 1, 6. 5. Ζαχ. 7, 12. 6. Β' Κορ. 13, 3. 7. Φιλιπ. 1, 19. 8. Πράξ. 20, 23. 9. Πρβλ. Α' Κορ. 12, 4-6. 10. Β' Κορ. 13, 13.

τοῦ Πατρὸς ἀγάπην. Ὡς δὲ μία τῆς Τριάδος ἡ χάρις, οὕτως ἀδιαίρετος ἡ Τριάς. Τοῦτο δ' ἄν τις ἴδοι καὶ ἐπ' αὐτῆς τῆς ἁγίας Μαρίας. Ὁ γὰρ ἄγγελος Γαβριήλ, ἀποσταλεὶς ἀπαγγεῖλαι τὴν ἐπ' αὐτῆς ἐσομένην τοῦ Λόγου κάθοδον, «Πνεῦμα ἅγιον», εἴρηκεν, «ἐπελεύσεται ἐπὶ σέ», εἰδώς, ὅτι ἐν τῷ Λόγῳ ἦν τὸ Πνεῦμα· εὐθὺς γοῦν συνῆψε· «Καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σου.[1] Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.[2]» Τοῦ δὲ Πνεύματος ὄντος ἐν τῷ Λόγῳ, δῆλον ἂν εἴη, ὡς καὶ ἐν τῷ Θεῷ ἦν διὰ τοῦ Λόγου τὸ Πνεῦμα. Οὕτω δὲ καὶ τοῦ Πνεύματος γενομένου ἐν ἡμῖν, ἐλεύσεται ὁ Υἱός, καὶ ὁ Πατήρ, καὶ μονὴν ποιήσουσιν ἐν ἡμῖν.[3] Ἀδιαίρετος γὰρ ἡ Τριάς, καὶ μία ταύτης ἡ θεότης· καὶ εἷς Θεὸς ἐπὶ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. Αὕτη τῆς καθολικῆς Ἐκκλησίας ἡ πίστις· ἐν Τριάδι γὰρ αὐτὴν ἐθεμελίωσε καὶ ἐρρίζωσεν ὁ Κύριος, εἰρηκὼς τοῖς μαθηταῖς· «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.[4]» Κτίσμα δὲ εἰ ἦν τὸ Πνεῦμα, οὐκ ἂν συνέταξεν αὐτὸ τῷ Πατρί· ἵνα μὴ ᾖ ἀνόμοιος ἑαυτῇ ἡ Τριάς, ξένου τινὸς καὶ ἀλλοτρίου συντασσομένου αὐτῇ. Τί γὰρ ἔλειπε τῷ Θεῷ, ἵνα ἀλλοτριοούσιον προσλάβηται, καὶ σὺν αὐτῷ δοξάζηται; Μὴ γένοιτο! Οὐκ ἔστιν οὕτως. «Πλήρης[5]», αὐτὸς εἶπεν, «εἰμί.» Διὰ τοῦτο αὐτὸς ὁ Κύριος τῷ ὀνόματι τοῦ Πατρὸς αὐτὸ συνέταξεν· ἵνα δείξῃ, ὅτι οὐκ ἐκ διαφόρων, τουτέστιν ἐκ κτίστου καὶ κτίσματος, συνέστηκεν ἡ ἁγία Τριάς· ἀλλὰ μία ταύτης ἡ θεότης ἐστί. Τοῦτο μαθὼν ὁ Παῦλος, ἐδίδασκε μίαν εἶναι τὴν ἐν αὐτῇ διδομένην χάριν, λέγων· «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα.[6]» Ὥσπερ δὲ ἓν βάπτισμα, οὕτως καὶ μία πίστις· ὁ γὰρ πιστεύων εἰς τὸν Πατέρα οἶδεν ἐν τῷ Πατρὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα, οὐκ ἐκτὸς τοῦ Υἱοῦ· καὶ διὰ τοῦτο πιστεύει καὶ εἰς τὸν Υἱὸν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ἐπειδὴ καὶ μία τῆς Τριάδος ἡ θεότης, ἐξ ἑνὸς τοῦ Πατρὸς γινωσκομένη.

7. Τῆς μὲν οὖν καθολικῆς πίστεως ὁ χαρακτὴρ οὗτος. Οἱ δὲ δυσφημοῦντες εἰς τὸ Πνεῦμα, καὶ λέγοντες αὐτὸ κτίσμα, εἰ μὴ ἐκ τῶν εἰρημένων μεταγινώσκουσι, κἂν ἐκ τῶν λεχθησομένων αἰσχυνόμενοι καταδυέτωσαν. Εἰ Τριάς, ἐστι, καὶ ἐν Τριάδι ἐστὶν ἡ πίστις, εἰπάτωσαν, εἰ ἀεὶ Τριάς ἐστιν, ἢ ἦν, ὅτε οὐκ ἦν Τριάς. Εἰ μὲν οὖν ἀΐδιός ἐστιν ἡ Τριάς, οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀϊδίως συνὸν τῷ Λόγῳ καὶ ἐν αὐτῷ ὄν. Τὰ γὰρ κτίσματα ἦν, ὅτε οὐκ ἦν. Εἰ δὲ κτίσμα ἐστί, τὰ δὲ κτίσματα ἐξ οὐκ ὄντων ἐστί, δῆλον, ὅτι ἦν, ὅτε οὐκ ἦν Τριάς, ἀλλὰ δυάς. Καὶ τί τούτου ἀσεβέστερον ἄν τις εἴποι; Ἐκ μεταβολῆς καὶ προκοπῆς λέγουσι συνίστασθαι τὴν Τριάδα, καὶ δυάδα μὲν εἶναι, ἐκδέχεσθαι δὲ κτίσματος γένεσιν, ἵνα μετὰ Πατρὸς καὶ Υἱοῦ συντα-

---

1. Λουκ. 1, 35. 2. Α' Κορ. 1, 24. 3. Πρβλ. Ἰω. 14, 23. 4. Ματθ. 28, 19. 5. Ἡσ. 1, 11. 6. Ἐφεσ. 4, 5.

χθῇ καὶ γένηται ἡ Τριάς. Μὴ γένοιτο κἂν εἰς νοῦν ποτε ἐλθεῖν Χριστιανῶν τὸ τοιοῦτον! Ὥσπερ γὰρ ἀεὶ ὢν ὁ Υἱὸς οὐκ ἔστι κτίσμα, οὕτως ἀεὶ οὔσης τῆς Τριάδος, οὐδέν ἐστιν ἐν αὐτῇ κτίσμα· διὸ οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα. Ὡς γὰρ ἀεὶ ἦν, οὕτως ἐστὶ καὶ νῦν· καὶ ὡς νῦν ἐστιν, οὕτως ἀεὶ ἦν, καὶ ἔστιν ἡ Τριάς, καὶ ἐν αὐτῇ Πατήρ, καὶ Υἱός, καὶ Πνεῦμα ἅγιον. Καὶ εἷς Θεὸς ὁ Πατὴρ ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσι, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἐγὼ μὲν οὖν, ὡς ἐδήλωσας, δι' ὀλίγων καὶ ταῦτα καταγράψας ἀπέστειλα· σὺ δὲ ὡς συνετός, εἴ τι καὶ ἐν τούτοις λείπει, θέλησον πληρῶσαι· καὶ τοῖς μὲν οἰκείοις τῆς πίστεως ἀνάγνωθι, τοὺς δὲ φιλονεικοῦντας δυσφημεῖν ἔλεγχε· τάχα κἂν ὀψέ ποτε μεταγνόντες, ἀπονίψωσιν ἀπὸ τῆς ψυχῆς ἑαυτῶν τὴν προγενομένην ἐν αὐτοῖς κακόνοιαν. Καλὸν γὰρ αὐτούς, κατὰ τὸ γεγραμμένον, ἀποπηδῆσαι καὶ μὴ ἐγχρονίσαι· ἵνα μὴ ἐπιμένοντες ἀκούσωσι τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· «Ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι.[1]»

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΣΕΡΑΠΙΩΝΑ ΟΜΟΙΩΣ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Ἐνέτυχον καὶ τῇ νῦν γραφείσῃ παρὰ τῆς σῆς εὐλαβείας ἐπιστολῇ, καὶ πάνυ θαυμάσας τὴν ἀναίδειαν τῶν αἱρετικῶν, συνεῖδον, ὡς οὐδὲν οὕτως ἁρμόζει περὶ αὐτῶν εἰπεῖν ἢ τὸ τοῦ Ἀποστόλου παράγγελμα· «Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.[2]» Διεστραμμένην γὰρ ἔχων τὴν διάνοιαν, οὐχ ἵν' ἀκούσας πεισθῇ, οὐδ' ἵνα μαθὼν μεταγνῷ, πυνθάνεται, ἀλλ' ἕνεκά γε τῶν ἀπατηθέντων παρ' αὐτοῦ, μὴ ἄρα σιωπήσας καταγνωσθῇ καὶ παρ' αὐτῶν. Ἤρκει οὖν τὰ προειρημένα· ἤρκει, τοσαύτας ἀποδείξεις λαβόντας αὐτούς, παύσασθαι τῆς κατὰ τοῦ ἁγίου Πνεύματος δυσφημίας. Ἀλλ' οὐκ ἠρκέσθησαν· πάλιν δὲ ἀναιδεύονται, ἵνα δείξωσιν, ὅτι λογομαχεῖν μελετήσαντες, καὶ λοιπὸν Πνευματομαχοῦντες, ἔσονται μετ' ὀλίγον νεκροὶ τῇ ἀλογίᾳ. Ἀμέλει κἂν ἀποκρίνηταί τις καὶ πρὸς τὰς νῦν αὐτῶν ἐρωτήσεις, οὐδὲν ἧττον ἐφευρεταὶ κακῶν ἔσονται· μόνον ἵνα ζητοῦντες μὴ εὕρωσιν, ἢ ἀκούσαντες μὴ νοήσωσιν. Οἷαι δὲ αὐτῶν αἱ σοφαὶ ἐρωτήσεις; Εἰ οὐκ ἔστι κτίσμα τὸ ἅγιον Πνεῦμα, οὐκοῦν, φασίν, Υἱός ἐστι, καὶ ἀδελφοὶ δύο ὁ Λόγος καὶ αὐτός. Εἶτα ἐπιλέγουσιν, ὡς γράφεις. Εἰ ἐκ τοῦ Υἱοῦ λήψεται τὸ Πνεῦμα, καὶ παρ' αὐτοῦ δίδοται (οὕτως γὰρ γέγραπται), εὐθὺς ἐπάγουσιν· Οὐκοῦν πάππος ὁ Πατήρ, καὶ ἔκγονόν ἐστιν αὐτοῦ τὸ Πνεῦμα.

1. Ματθ. 12, 32. 2. Τίτ. 3, 10-11.

2. Τίς, τούτων ἀκούων, ἔτι Χριστιανούς, καὶ οὐ μᾶλλον Ἕλληνας αὐτοὺς νομίσει; Τοιαῦτα γὰρ Ἕλληνες καθ' ἡμῶν ὁμιλοῦσιν ἑαυτοῖς. Τίς ἀποκρίνασθαι θελήσει πρὸς τὴν τοιαύτην ἀφροσύνην αὐτῶν; Ἐγὼ γοῦν, πολλὰ λογισάμενος, καὶ ζητῶν ἁρμόζουσαν πρὸς αὐτοὺς ἀπόκρισιν, οὐδεμίαν εὗρον ἢ τὴν πρὸς τοὺς Φαρισαίους τότε γενομένην. Ὡς γὰρ ἐκείνους, κακοήθως ἐρωτήσαντας ἀντηρώτησεν ὁ Σωτήρ, ἵν' αἴσθωνται τῆς ἰδίας κακονοίας, οὕτως, ἐπειδὴ καὶ οὗτοι τοιαῦτα ἐρωτῶσιν, εἰπάτωσαν ἡμῖν αὐτοί, μᾶλλον δὲ ἀποκρινάσθωσαν ἐρωτώμενοι ὡς ἐρωτῶσιν. Ἐπειδὴ γάρ, λέγοντες, τὰς παρ' αὐτῶν ἐφευρέσεις οὐ νοοῦσι τάχα, κἂν ἀκούοντες, ἐπιγνῶσι τὴν ἑαυτῶν ἀφροσύνην. Εἰ μὴ κτίσμα ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται, ἀλλ' ἐν τῷ Θεῷ ἐστι, καὶ ἐκ τοῦ Θεοῦ δίδοται· οὐκοῦν υἱός ἐστι καὶ αὐτό, καὶ δύο ἀδελφοί, αὐτό τε καὶ ὁ Υἱός· καὶ εἰ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα, καὶ παρὰ τοῦ Υἱοῦ πάντα δέχεται τὸ Πνεῦμα, ὡς αὐτὸς εἴρηκε, καὶ «ἐμφυσήσας δέδωκεν αὐτὸ τοῖς μαθηταῖς[1]» (ὁμολογεῖτε γὰρ ταῦτα καὶ ὑμεῖς), οὐκοῦν πάππος ἐστὶν ὁ Πατήρ, καὶ ἔκγονον αὐτοῦ ἐστι τὸ Πνεῦμα. Ἅπερ γὰρ ἐρωτῶντες ἀπαιτεῖτε παρ' ἡμῶν, τὰ αὐτὰ καὶ ὑμᾶς ἐκ τῶν αὐτῶν ἐρωτᾶσθαι δίκαιον. Εἰ μὲν οὖν ἀρνεῖσθε τὰ γεγραμμένα, οὐκ ἔτι μὲν ὑμεῖς Χριστιανοὶ λεχθείητε ἄν· δίκαιον δὲ ἡμᾶς τοὺς Χριστιανοὺς ἐρωτᾶσθαι παρ' ὑμῶν· εἰ δὲ τὰ αὐτὰ ἡμῖν ἀναγινώσκετε, ἀνάγκη καὶ ὑμᾶς περὶ τῶν αὐτῶν οὕτως ἐρωτᾶσθαι παρ' ἡμῶν. Εἴπατε τοίνυν, καὶ μὴ μέλλετε, εἰ Υἱός ἐστι τὸ Πνεῦμα, καὶ πάππος ὁ Πατήρ. Ἂν δὲ διαλογιζόμενοι, ὡς οἱ τότε Φαρισαῖοι πεποιήκασιν, εἴπητε καὶ ὑμεῖς πρὸς ἑαυτούς. Ἐὰν εἴπωμεν, ὅτι Υἱός ἐστιν, ἀκουσόμεθα· Ποῦ γέγραπται; ἐὰν δὲ εἴπωμεν· Οὐκ ἔστιν Υἱός, φοβούμεθα μὴ εἴπωσιν ἡμῖν. Πῶς οὖν γέγραπται «Ἡμεῖς οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ;[2]» Τοιαῦτα δὲ διαμαχόμενοι πρὸς ἑαυτούς, ἐὰν εἴπητε καὶ ὑμεῖς. Οὐκ οἴδαμεν, ἀνάγκη καὶ τὸν ἐρωτώμενον τοιαῦτα παρ' ὑμῶν σιωπᾶν, πειθόμενον τῷ λέγοντι· «Μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ· ἀλλ' ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ.[3]» Ἀπόκρισις δὲ ὑμῖν ἁρμόζουσα μάλιστα ἡ σιωπή· ἵνα τὴν ἑαυτῶν ἄγνοιαν ἐπιγνῶτε.

3. Πάλιν οὖν ἐκ τῶν ὑμῶν δίκαιον ὑμᾶς οὕτως ἐρωτᾶσθαι. Ἐπειδὴ οἱ προφῆται ἐν τῷ Πνεύματι τοῦ Θεοῦ λαλοῦσι, καὶ ἐν τῷ Ἡσαΐᾳ τὸ Πνεῦμα τὸ ἅγιον προφητεύει, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται, οὐκοῦν καὶ τὸ Πνεῦμα Λόγος ἐστὶ τοῦ Θεοῦ καὶ δύο εἰσὶ Λόγοι, τό τε Πνεῦμα καὶ ὁ Υἱός. Καὶ γὰρ οἱ προφῆται τότε ἐπροφήτευον, ὅτε ἐγίνετο ὁ Λόγος τοῦ Θεοῦ πρὸς αὐτούς. Καὶ ἔτι πρὸς τούτοις, ἐπειδὴ πάντα διὰ τοῦ Λόγου ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγέ-

1. Πρβλ. Ἰω. 20, 22. 2. Α' Κορ. 2, 12. 3. Παρμ. 26, 4-5.

νετο οὐδὲ ἕν[1], καὶ «ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν[2]», καὶ πάντα ἐν σοφίᾳ ἐποίησε[3] (γέγραπται δέ, ὡς ἐν τοῖς ἔμπροσθεν δέδεικται· «Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται»)[4], οὐκοῦν ἢ τὸ Πνεῦμα ὁ Λόγος ἐστίν, ἢ ἐν δυσὶ πεποίηκεν ὁ Θεὸς τὰ πάντα, ἔν τε τῇ Σοφίᾳ καὶ τῷ Πνεύματι. Καὶ πῶς ὁ Παῦλός φησιν «Εἷς Θεός, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος, δι' οὗ τὰ πάντα;[5]» Καὶ πάλιν· «Ἐπειδὴ ὁ Υἱὸς εἰκών ἐστι τοῦ Πατρὸς τοῦ ἀοράτου[6]», ἔστι δὲ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ (γέγραπται γάρ· «Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ»)[7], οὐκοῦν κατὰ τοῦτο πάππος ὁ Πατήρ. Καὶ ἐπειδὴ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε· «Τὸ δὲ Πνεῦμα τὸ ἅγιον», φησὶν ὁ Υἱός, «ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου·[8]» οὐκοῦν καὶ οὕτω πάππος ὁ Πατήρ. Τί πρὸς ταῦτα, καίτοι πάντα λέγοντες εὐχερῶς; Τί διαλογίζεσθε πρὸς ἑαυτούς; Ἢ ὁρῶντες ἑαυτοὺς ἀποροῦντας, μέμφεσθε τὰς τοιαύτας ἐρωτήσεις; Ἀλλὰ πρότερον ἑαυτῶν κατάγνωτε «ὑμεῖς γὰρ τοιαῦτα ἐρωτᾶν εἰώθατε), καὶ πείθεσθε ταῖς Γραφαῖς, καὶ ἀποροῦντες εἰπεῖν, μάθετε λοιπόν· Υἱὸς μὲν ἐν ταῖς Γραφαῖς τὸ Πνεῦμα οὐκ ὠνομάσθη, ἀλλὰ Πνεῦμα ἅγιον καὶ Πνεῦμα τοῦ Θεοῦ. Ὥσπερ δὲ οὐκ ὠνομάσθη Υἱὸς τὸ Πνεῦμα, οὕτως οὐδὲ περὶ τοῦ Υἱοῦ γέγραπται, ὅτι αὐτός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον. Ἆρ' οὖν, ἐπειδὴ οὐκ ὠνομάσθη Υἱὸς τὸ Πνεῦμα, οὐδ' ὅτι Υἱός ἐστι τὸ Πνεῦμα, διαφωνεῖ τῆς ἀληθείας ἡ πίστις; Μὴ γένοιτο! Ἀλλὰ καὶ μᾶλλον ἕκαστον τῶν σημαινομένων ἔχει τὴν ἰδίαν γνῶσιν. Καὶ γὰρ ὁ Υἱὸς ἴδιον τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Πατρός ἐστι γέννημα, καὶ τοῦτο ἔχει τὸ σημαινόμενον. Καὶ τὸ Πνεῦμα δὲ λεγόμενον τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ ὄν, οὐ ξένον ἐστὶ τῆς τοῦ Υἱοῦ φύσεως, οὔτε τῆς τοῦ Πατρὸς θεότητος. Διὰ τοῦτο γὰρ ἐν Τριάδι, ἐν Πατρί, καὶ ἐν Υἱῷ, καὶ ἐν αὐτῷ τῷ Πνεύματι, μία θεότης ἐστί, καὶ ἐν αὐτῇ τῇ Τριάδι ἕν ἐστι τὸ βάπτισμα, καὶ μία ἡ πίστις. Ἀμέλει τοῦ Πατρὸς πέμποντος τὸ Πνεῦμα, ὁ Υἱὸς ἐμφυσῶν δίδωσιν αὐτὸ τοῖς μαθηταῖς·[9] ἐπειδὴ «πάντα ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ ἐστι.[10]» Καὶ τοῦ Λόγου γινομένου ἐν τοῖς προφήταις, αὐτοὶ τῷ Πνεύματι ἐπροφήτευον, ὡς γέγραπται καὶ δέδεικται· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.[11]»

4. Οὕτως οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀλλ' ἴδιον τῆς τοῦ Λόγου οὐσίας, ἴδιον καὶ τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ λέγεται εἶναι. Πάλιν γὰρ τὰ αὐτὰ λέγειν οὐκ ὀκνητέον. Εἰ καὶ Υἱὸς οὐκ ὠνομάσθη τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐκ ἔστιν ἐκτὸς τοῦ Υἱοῦ· Πνεῦμα γὰρ υἱοθεσίας εἴρηται· καὶ ἐπειδὴ «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[12]», ἀκολούθως εἴ-

1. Ἰω. 1, 3. 2. Παρμ. 3, 19. 3. Ψαλμ. 103, 24. 4. Ψαλμ. 103, 30. 5. Α' Κορ. 8, 6. 6. Κολ. 1, 15. 7. Ῥωμ. 8, 29. 8. Ἰω. 14, 26. 9. Πρβλ. Ἰω. 20, 22. 10. Ἰω. 16,15. 11. Ψαλμ. 32,6. 12. Α' Κορ. 1,24.

ρηται περὶ τοῦ Πνεύματος· «Πνεῦμα σοφίας, καὶ Πνεῦμα δυνάμεώς ἐστι.[1]» Τοῦ γὰρ Πνεύματος μετέχοντες, ἔχομεν τὸν Υἱόν, καὶ τὸν Υἱὸν ἔχοντες, ἔχομεν τὸ Πνεῦμα, «κράζον ἐν ταῖς καρδίαις ἡμῶν, Ἀββᾶ ὁ Πατήρ[2]», ὡς ὁ Παῦλος εἴρηκεν. Εἰ δ' ὅτι τὸ Πνεῦμά ἐστι τοῦ Θεοῦ, καὶ ἐν αὐτῷ εἶναι γέγραπται· «Τὰ τοῦ Θεοῦ γὰρ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ·[3]» καὶ ὁ Υἱὸς δὲ εἴρηκεν· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί·[4]» διὰ τί τὸ αὐτὸ ὄνομα οὐκ ἔστι τούτῳ καὶ τούτῳ, ἀλλ' ὁ μὲν Υἱός, τὸ δὲ Πνεῦμα; Ἄν τις οὕτως ἐρωτᾷ, μαίνοιτο ἂν ὁ τοιοῦτος, ἐρευνῶν τὰ ἀνερεύνητα, καὶ παρακούων τοῦ Ἀποστόλου, λέγοντος· «Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;[5]» Ἄλλως τε ἃ ὁ Θεὸς ὠνόμασε, τίς μετονομάσαι τολμήσει; ἐπεὶ εἰς τὰ τῆς κτίσεως ἐπιχορηγείτω. Εἰπάτωσαν, ἐπειδὴ ἡ κτίσις τῷ αὐτῷ νεύματι γέγονε, διὰ τί ὁ μὲν ἥλιος, ὁ δὲ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ἀήρ; Εἰ δὲ ἀδύνατον τοῦτό γε τοῖς ἄφροσι (γένει γὰρ ἕκαστον, ὡς γέγονε), πολλῷ μᾶλλον τὰ ἄνω τῆς κτίσεως ἀΐδιον ἔχει τὴν διαμονήν, καὶ οὐκ ἔστιν ἄλλως, ἢ ὥς ἐστιν ὁ Πατὴρ Πατήρ, καὶ οὐ πάππος, καὶ ὁ Υἱὸς Υἱός ἐστι τοῦ Θεοῦ, καὶ οὐ Πατὴρ τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα ἅγιον, καὶ οὐκ ἔκγονον τοῦ Πατρός, οὐδὲ ἀδελφὸς τοῦ Υἱοῦ.

5. Τούτων οὕτω δεικνυμένων, μαίνοιτ' ἄν τις ἐρωτῶν, Υἱὸς οὖν ἐστι καὶ τὸ Πνεῦμα; Μηδέ, ἐπειδὴ μὴ γέγραπται οὕτω, διὰ τοῦτο ἐξαιρείτω τις αὐτὸ τῆς τοῦ Θεοῦ φύσεως καὶ ἰδιότητος· ἀλλ' ὡς γέγραπται, πιστευέτω καὶ μὴ λεγέτω· Διὰ τί οὕτως καὶ μὴ οὕτως; ἵνα μὴ τοιαῦτα διαλογιζόμενος, ἄρξηται μελετᾶν καὶ λέγειν· Ποῦ οὖν ἐστιν ὁ Θεός, καὶ πῶς ἐστι; καὶ λοιπὸν ἀκούσει· «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.[6]» Τὰ γὰρ τῇ πίστει παραδιδόμενα ἀπεριέργαστον ἔχει τὴν γνῶσιν. Οἱ γοῦν μαθηταί, ἀκούσαντες, «βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος[7]», οὐ περιειργάσαντο, διὰ τί δεύτερον ὁ Υἱός, καὶ τρίτον τὸ Πνεῦμα, ἢ διὰ τί ὅλως Τριάς· ἀλλ' ὡς ἤκουσαν, ἐπίστευσαν· καὶ οὐχ ὥσπερ ὑμεῖς ἠρώτησαν· Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα; Οὐδέ, εἰπόντος τοῦ Κυρίου μετὰ τὸν Υἱὸν τὸ Πνεῦμα, ἠρώτησαν· Πάππος οὖν ὁ Πατήρ; Οὐ γὰρ ἤκουσαν εἰς ὄνομα πάππου, ἀλλ' εἰς ὄνομα Πατρός, καὶ ταύτην τὴν πίστιν ἐκήρυξαν πανταχοῦ, λογισάμενοι ὀρθῶς. Οὐ γὰρ ἦν ἄλλως εἰπεῖν, ἢ ὡς εἴρηκεν ὁ Σωτήρ· ἑαυτὸν μὲν Υἱόν, τὸ δὲ Πνεῦμα ἅγιον· οὐδ' ἐναλλάξαι θέμις ἢ ὡς συντέτακται, ὥσπερ καὶ ἐπὶ τοῦ Πατρός. Ὡς γὰρ οὐκ ἔξεστιν ἄλλως εἰπεῖν περὶ αὐτοῦ, ἢ ὅτι Πατήρ, οὕτως ἀσεβὲς ἐρωτᾶν, εἰ Υἱός ἐστι τὸ Πνεῦμα, ἢ τὸ Πνεῦμα Υἱός. Διὰ τοῦτο Σαβέλλιος ἀλλότριος τῆς Ἐκκλησίας ἐκρίθη, τολμήσας εἰπεῖν ἐπὶ τοῦ Πατρὸς τὸ Υἱός, καὶ ἐπὶ τοῦ Υἱοῦ τὸ τοῦ Πα-

1. Ἡσ. 11, 2. 2. Γαλ. 4, 6. 3. Α' Κορ. 2, 11. 4. Ἰω. 14, 10. 5. Ῥωμ. 11, 34. 6. Ψαλμ. 13, 1. 7. Ματθ. 28, 19.

τρὸς ὄνομα. Ἆρ' οὖν ἔτι μετὰ ταῦτα τολμήσει τις ἀκούων Υἱὸν καὶ Πνεῦμα εἰπεῖν· Πάππος οὖν ὁ Πατήρ, ἢ Υἱὸς οὖν τὸ Πνεῦμα; Ναὶ τολμήσουσιν Εὐνόμιοι, καὶ Εὐδόξιοι, καὶ Εὐσέβιοι. Ἅπαξ γὰρ ὑποκρινόμενοι τὴν Ἀρειανὴν αἵρεσιν, οὐ μὴ παύσουσι τὴν ἑαυτῶν γλῶσσαν ἀπὸ ἀσεβείας. Τίς γὰρ αὐτοῖς παρέδωκε ταῦτα; Τίς ὁ διδάξας; Ἀλλ' οὐδεὶς ἐκ τῶν θείων Γραφῶν· ἐκ δὲ τοῦ περισσεύματος τῆς καρδίας αὐτῶν ἐξῆλθεν ἡ τοιαύτη παραφροσύνη.

6. Εἰ γάρ, ἐπεὶ μὴ κτίσμα ἐστὶ τὸ Πνεῦμα (τοῦτο γὰρ ἐδείχθη), ἐρωτᾶτε, Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα; ὥρα, μαθόντας ὑμᾶς, ὅτι μὴ κτίσμα ἐστὶν ὁ Υἱὸς (διὰ τούτου γὰρ τὰ γενητὰ ἐκτίσθη), ἐρωτᾶν, Πατὴρ οὖν ἐστιν ὁ Υἱός; Ἢ καὶ οὕτως· Τὸ Πνεῦμα οὖν ἐστιν ὁ Υἱός, καὶ ὁ Υἱὸς αὐτός ἐστι τὸ Πνεῦμα τὸ ἅγιον; Τοιαῦτα δὲ λογιζόμενοι, ἔξω μὲν τῆς ἁγίας Τριάδος ἔσονται, ἄθεοι δὲ κριθήσονται, ἀλλάσσοντες τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· μεταφέροντές τε αὐτό, ὡς θέλουσιν, ἐν ὁμοιώματι γενέσεως ἀνθρωπίνης, ἔκγονα καὶ πάππους ὀνομάζοντες, καὶ τὴν Ἑλλήνων θεογονίαν ἑαυτοῖς ἀναπλασσόμενοι. Οὐκ ἔστι δὲ αὕτη τῆς Ἐκκλησίας ἡ πίστις, ἀλλ' ὡς εἶπεν ὁ Σωτήρ, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· Πατέρα μέντοι, οὐ δυνάμενον λέγεσθαι πάππον, καὶ Υἱὸν οὐ δυνάμενον λέγεσθαι Πατέρα, καὶ Πνεῦμα ἅγιον οὐκ ἄλλως ἢ οὕτως ὀνομαζόμενον. Ἐπὶ ταύτης τῆς πίστεως οὐκ ἔστιν ἐναλλὰξ εἰπεῖν· ἀλλ' ἀεὶ ὁ Πατὴρ Πατήρ ἐστι, καὶ ὁ Υἱὸς ἀεὶ Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀεὶ Πνεῦμα ἅγιόν ἐστι καὶ λέγεται. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων, οὐκ ἔστιν οὕτως, κἂν οἱ Ἀρειανοὶ τοιαῦτα φαντάζωνται. Ὡς γὰρ γέγραπται, «Οὐχ ὡς ἄνθρωπος ὁ Θεός[1]», οὕτως ἄν τις εἴποι, οὐχ ὡς ὁ Θεὸς οἱ ἄνθρωποι. Ἐπὶ γὰρ τῶν ἀνθρώπων, οὐκ ἔστιν ὁ πατὴρ ἀεὶ πατήρ, οὐδὲ ὁ υἱὸς ἀεὶ υἱός. Ὁ γὰρ αὐτὸς πατὴρ μὲν υἱοῦ γίνεται, αὐτὸς δὲ ἑτέρου γέγονεν υἱός, καὶ ὁ υἱὸς πατρὸς ὢν υἱός, ἄλλου γίνεται πατήρ. Ἀβραὰμ γοῦν υἱὸς ὢν τοῦ Ναχώρ, πατὴρ γέγονε τοῦ Ἰσαάκ· καὶ Ἰσαὰκ δὲ υἱὸς ὢν τοῦ Ἀβραάμ, πατὴρ γέγονε τοῦ Ἰακώβ. Ἕκαστος γάρ, μέρος ὢν τοῦ γονέως, γεννᾶται μὲν υἱός, γίνεται δὲ καὶ αὐτὸς ἑτέρου πατήρ. Ἐπὶ δὲ τῆς θεότητος οὐχ οὕτως, ἐπεὶ μὴ ὡς ἄνθρωπος ὁ Θεός. Ὁ γοῦν Πατὴρ οὐκ ἐκ Πατρός ἐστι· διὸ οὐδὲ γεννᾷ τὸν γενησόμενον ἑτέρου Πατέρα· οὐδὲ ὁ Υἱὸς μέρος ἐστὶ τοῦ Πατρός, διὸ οὐδὲ γέννημά ἐστιν εἰς τὸ γεννᾶν Υἱόν. Ὅθεν ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως καὶ μόνος Πατὴρ ὤν, ἔστι καὶ ἦν καὶ ἀεί ἐστι. Καὶ ὁ Υἱὸς κυρίως, καὶ μόνος Υἱός ἐστι. Καὶ ἐπὶ τούτων ἕστηκε τό, ὁ Πατὴρ ἀεὶ Πατήρ, καὶ τό, Υἱὸς ἀεὶ Υἱός, εἶναί τε καὶ λέγεσθαι· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἀεὶ Πνεῦμα ἅγιόν ἐστι· καὶ τοῦτο τοῦ Θεοῦ εἶναι, καὶ παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ δίδοσθαι πεπιστεύκαμεν. Οὕτω γὰρ ἡ

1. Ἀριθ. 23, 19.

ἁγία Τριὰς ἀναλλοίωτος διαμένει, ἐν μιᾷ θεότητι γινωσκομένη. Οὐκοῦν ὁ ἐρωτῶν, Υἱὸς οὖν ἐστι τὸ Πνεῦμα; ὡς δυναμένου τοῦ ὀνόματος ἀλλάσσεσθαι, φαντάζεται, καὶ μανίαν ἑαυτῷ περιποιεῖται. Καὶ ὁ ἐρωτῶν δέ, πάππος οὖν ἐστι ὁ Πατήρ, ἐπινοῶν ὄνομα τῷ Πατρί, πλανᾶται τῇ καρδίᾳ. Ἀποκρίνασθαι μὲν οὖν ἔτι πρὸς τὴν ἀναίδειαν τῶν αἱρετικῶν οὐκ ἀσφαλές·[1] μάχεσθαι γάρ ἐστι τῇ ἀποστολικῇ παραινέσει· συμβουλεύειν δὲ μᾶλλον, ὡς παρήγγειλεν αὐτός, καλόν.

7. Ἀρκεῖ ταῦτα πρὸς ἔλεγχον τῆς μωρολογίας ὑμῶν. Μηκέτι παίζετε εἰς τὴν θεότητα. Παιζόντων γὰρ ἴδιον ἐρωτᾶν τὰ μὴ γεγραμμένα καὶ λέγειν· Οὐκοῦν Υἱός ἐστι τὸ Πνεῦμα καὶ πάππος ὁ Πατήρ; Οὕτω γελῶσιν ὁ ἐν Καισαρείᾳ καὶ ὁ ἐν τῇ Σκυθοπόλει. Ἀρκεῖ πιστεύειν ὑμᾶς, ὅτι οὐκ ἔστι κτίσμα τὸ Πνεῦμα, ἀλλὰ Πνεῦμα τοῦ Θεοῦ ἐστι, καὶ ἐν αὐτῷ Τριάς, Πατήρ, καὶ Υἱός, καὶ Πνεῦμα ἅγιον. Καὶ οὔτε τὸ Πατὴρ ὄνομα ἐπὶ Υἱοῦ ὀνομάζειν χρή, οὔτε τὸ Πνεῦμα λέγειν ἔξεστιν αὐτὸ εἶναι τὸν Υἱόν, οὔτε τὸν Υἱὸν αὐτὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' οὕτως ἐστίν, ὡς εἴρηται, καὶ μία ἡ ἐν ταύτῃ τῇ Τριάδι θεότης ἐστί, καὶ μία πίστις, καὶ ἓν βάπτισμά ἐστιν, ἐν αὐτῇ διδόμενον, καὶ ἡ τελείωσις μία, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. Περὶ δὲ οὗ γράφων ἐδήλωσας εὐαγγελικοῦ ῥητοῦ, συγγίνωσκε, ἀγαπητέ, συνείδησιν ἔχων ἀγαθήν. Δέδια γὰρ κἂν ὅλως προσελθεῖν αὐτῷ· μὴ καί, δύνας εἰς αὐτὸ τῷ λογισμῷ, καὶ ἀρξάμενος ἐρευνᾶν, ἀτονήσω τὴν ἐν αὐτῷ βαθεῖαν διάνοιαν ἑλκῦσαι. Σιωπῆσαι γοῦν περὶ τούτου τέλεον ἐβουλόμην, καὶ μόνον ἀρκεσθῆναι τούτοις τοῖς ἔμπροσθεν γράμμασι. Στοχαζόμενος δὲ μὴ ἄρα καὶ δεύτερον περὶ τούτου γράψαι φιλονεικήσῃς, ἐβιασάμην ἐμαυτόν, ἣν ἔχω μαθών, περὶ αὐτοῦ μετρίαν διάνοιαν γράψαι· θαρρῶν, ὡς, τυχόντας μὲν ἡμᾶς τοῦ σκοποῦ, ἀποδέξῃ διὰ τὸν διδάξαντα· μὴ τυχόντας δέ, οὐ μέμψῃ, γινώσκων τὴν ἡμετέραν προθυμίαν τε καὶ ἀσθένειαν. Τὸ μὲν οὖν ῥητόν ἐστιν, ὅτε, Τοσούτων σημείων γινομένων ἐν τῷ Εὐαγγελίῳ, οἱ μὲν Φαρισαῖοι ἔλεγον· «Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων· ὁ δὲ Κύριος, εἰδὼς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται.[2]» Καὶ εἰρηκώς· «Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ·[3]» λοιπὸν ἐπιφέρει· «Διὰ τοῦτο λέγω ὑμῖν, Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται ὑμῖν τοῖς ἀνθρώποις· ἡ δὲ εἰς τὸ Πνεῦμα βλασφημία οὐκ ἀφεθήσεται· καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθή-

1. Πρβλ. Τίτ. 3, 10. 2. Ματθ. 12, 24-25. 3. Ματθ. 12, 28.

σεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι.[1]» Σὺ δὲ ἐζήτεις, τί δήποτε ἡ μὲν εἰς τὸν Υἱὸν βλασφημία ἀφίεται, ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι;

9. Παλαιοὶ μὲν οὖν ἄνδρες, Ὠριγένης ὁ πολυμαθὴς καὶ φιλόπονος, καὶ Θεόγνωστος ὁ θαυμάσιος καὶ σπουδαῖος (τούτων γὰρ τοῖς περὶ τούτων συνταγματίοις ἐνέτυχον, ὅτε τὴν ἐπιστολὴν ἔγραψας), ἀμφότεροι γὰρ περὶ τούτου γράφουσι, ταύτην εἶναι τὴν εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίαν λέγοντες, ὅταν οἱ καταξιωθέντες ἐν τῷ βαπτίσματι τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος παλινδρομήσωσιν εἰς τὸ ἁμαρτάνειν. Διὰ τοῦτο γὰρ μηδὲ ἄφεσιν αὐτοὺς λήψεσθαί φασι· καθὰ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους λέγει· «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν.[2]» Ταῦτα δὲ κοινῇ μὲν λέγουσι, καὶ ἰδίαν δὲ ἕκαστος προστίθησι διάνοιαν.

10. Ὁ μὲν γὰρ Ὠριγένης καὶ τὴν αἰτίαν τῆς κατὰ τῶν τοιούτων κρίσεως οὕτω λέγει· «Ὁ μὲν Θεὸς καὶ Πατὴρ εἰς πάντα διήκει καὶ πάντα συνέχει, ἄψυχά τε καὶ ἔμψυχα, λογικά τε καὶ ἄλογα· τοῦ δὲ Υἱοῦ ἡ δύναμις εἰς τὰ λογικὰ μόνα διατείνει, ἐν οἷς εἰσι κατηχούμενοι καὶ Ἕλληνες, οἱ μηδέπω πιστεύσαντες· τὸ δὲ Πνεῦμα τὸ ἅγιον εἰς μόνους ἐστὶ τοὺς μεταλαβόντας αὐτοῦ ἐν τῇ τοῦ βαπτίσματος δόσει. Ὅταν τοίνυν κατηχούμενοι καὶ Ἕλληνες ἁμαρτάνωσιν, εἰς μὲν τὸν Υἱὸν ἁμαρτάνουσιν ἐπεὶ ἐν αὐτοῖς ἐστιν ὥσπερ εἴρηται· δύνανται δὲ ὅμως λαμβάνειν ἄφεσιν, ὅταν καταξιωθῶσι δωρεᾶς τῆς παλιγγενεσίας. Ὅταν δὲ οἱ βαπτισθέντες ἁμαρτάνωσι, τὴν τοιαύτην παρανομίαν εἰς τὸ Πνεῦμα τὸ ἅγιον φθάνειν φησίν· ἐπειδὴ ἐν αὐτῷ γενόμενος ἥμαρτε· καὶ διὰ τοῦτο ἀσύγγνωστον εἶναι τὴν κατ' αὐτοῦ τιμωρίαν.»

11. Ὁ δὲ Θεόγνωστος καὶ αὐτὸς προστιθείς φησι ταῦτα· «Ὁ πρῶτον παραβεβηκὼς ὅρον καὶ δεύτερον ἐλάττονος ἂν ἀξιοῖτο τιμωρίας· ὁ δὲ καὶ τὸν τρίτον ὑπεριδὼν οὐκέτι ἂν συγγνώμης τυγχάνοι. Πρῶτον δὲ ὅρον καὶ δεύτερόν φησι τὴν περὶ Πατρὸς καὶ Υἱοῦ κατήχησιν· τὸν δὲ τρίτον τὸν ἐπὶ τῇ τελειώσει καὶ τῇ τοῦ Πνεύματος μετοχῇ παραδιδόμενον Λόγον· καὶ τοῦτο βεβαιῶσαι θέλων, ἐπάγει τὸ παρὰ τοῦ Σωτῆρος εἰρημένον τοῖς μαθηταῖς· «Ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὔπω δύνασθε χωρεῖν. Ὅταν δὲ ἔλθῃ τὸ ἅγιον Πνεῦμα, διδάξει ὑμᾶς.[3]» Εἶτά φησιν· «Ὥσπερ τοῖς μηδέπω χωρεῖν δυναμένοις τὰ τέλεια διαλέγεται ὁ Σωτήρ, συγκαταβαίνων αὐτῶν τῇ σμικρότητι· τοῖς δὲ τελειουμένοις συγγίνεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ

1. Ματθ. 12, 31-33. 2. Ἑβρ. 6, 4-6. 3. Ἰω. 16, 12-13.

δήπου τις ἐκ τούτων ἂν φαίη τὴν τοῦ Πνεύματος διδασκαλίαν ὑπερβάλλειν τῆς τοῦ Υἱοῦ διδαχῆς· ἀλλ' ὅτι ὁ μὲν Υἱὸς συγκαταβαίνει τοῖς ἀτελέσι, τὸ δὲ Πνεῦμα σφραγίς ἐστι τῶν τελειουμένων· οὕτως οὐ διὰ τὴν ὑπερβολὴν τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν ἄφυκτός ἐστι καὶ ἀσύγγνωστος ἡ εἰς τὸ Πνεῦμα βλασφημία· ἀλλ' ὅτι ἐπὶ μὲν τοῖς ἀτελέσιν ἐστὶ συγγνώμη· ἐπὶ δὲ τοῖς γευσαμένοις τῆς οὐρανίου δωρεᾶς καὶ τελειωθεῖσιν οὐδεμία ἐπιλείπεται συγγνώμης ἀπολογία καὶ παραίτησις.» Ἐκεῖνοι μὲν οὖν ταῦτα.

12. Ἐγὼ δὲ ἀφ' ὧν ἔμαθον, νομίζω τὴν ἑκατέρου διάνοιαν μετρίας τινὸς δοκιμασίας ἐπιδεῖσθαι καὶ κατανοήσεως· μὴ ἄρα κεκρυμμένος ἐστί τις ἐν αὐτοῖς τοῖς ὑπ' αὐτῶν εἰρημένοις βαθύτερος νοῦς. Δῆλον γάρ, ὡς, ὁ Υἱὸς ἐν τῷ Πατρὶ ὤν, ἐν τούτοις ἐστίν, ἐν οἷς καὶ ὁ Πατήρ ἐστι, καὶ τὸ Πνεῦμα οὐκ ἄπεστιν. Ἀδιαίρετος γάρ ἐστιν ἡ ἁγία καὶ μακαρία, καὶ τελεία Τριάς. Ἔτι δ' οὖν εἰ πάντα διὰ Υἱοῦ γέγονε, καὶ ἐν αὐτῷ τὰ πάντα συνέστηκε, πῶς ἂν ἐκτὸς εἴη τῶν δι' αὐτοῦ γενομένων; Μὴ ὄντων δὲ ἐκείνων αὐτοῦ μακράν, ἐν πᾶσιν ἂν καὶ αὐτὸς εἰκότως εἴη· ὡς ἐξ ἀνάγκης τὸν εἰς τὸν Υἱὸν ἁμαρτάνοντα καὶ βλασφημοῦντα ἁμαρτάνειν καὶ εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Καὶ τὸ ἅγιον δὲ λουτρὸν εἰ μὲν εἰς τὸ ἅγιον Πνεῦμα μόνον ἐδίδοτο, εἰκότως ἂν ἐλέγετο τοὺς βαπτιζομένους εἰς τὸ Πνεῦμα μόνον ἁμαρτάνειν· ἐπειδὴ δὲ εἰς Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα δίδοται, καὶ οὕτω τελειοῦται τῶν βαπτιζομένων ἕκαστος, ἀνάγκη πάλιν τοὺς μετὰ τὸ βάπτισμα παραβαίνοντας εἰς τὴν ἁγίαν καὶ ἀδιαίρετον Τριάδα τὴν βλασφημίαν ποιεῖσθαι. Καὶ τοῦτο δὲ δίκαιον ἂν εἴη λογίζεσθαι καὶ νοεῖν. Εἰ μὲν πρὸς λαβόντας τὸ λουτρὸν τῆς παλιγγενεσίας, τοὺς Φαρισαίους λέγω, καὶ μετασχόντας αὐτοὺς ἤδη τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος, διελέγετο ὁ Κύριος, πιθανή τις ἦν ἡ τοιαύτη διάνοια, ὡς παλινδρομήσαντας, καὶ πλημμελήσαντας εἰς τὸ ἅγιον Πνεῦμα· εἰ δὲ μήτε τὸ λουτρὸν εἰλήφασιν, ἀλλὰ καὶ τὸ τοῦ Ἰωάννου βάπτισμα ἐξουθενήσαντες ἦσαν, πῶς ᾐτιᾶτο τούτους ὡς βλασφημήσαντας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὗ μηδέπω μέτοχοι γεγόνεισαν; Καὶ γὰρ οὐ διδάσκων ἁπλῶς ὁ Κύριος ἐλάλει ταῦτα, οὐδὲ ἐπὶ μέλλουσι τὴν τιμωρίαν ἠπείλει· ἀλλ' εὐθὺς αἰτιώμενος ἀληθῶς τοὺς Φαρισαίους, ὡς ἤδη γενομένους ὑπευθύνους τῆς τηλικαύτης βλασφημίας, εἴρηκε τοῦτο τὸ ῥητὸν ὁ Κύριος. Τῶν δὲ Φαρισαίων οὕτω κατηγορουμένων, καὶ πρὶν λαβεῖν αὐτοὺς τὸ βάπτισμα, οὐκ ἂν εἴη τοῦτο ῥητὸν ἐπὶ τοὺς μετὰ τὸ λουτρὸν παραβαίνοντας· καὶ μάλιστα ὅτι οὐχ ἁπλῶς ἐπὶ ἁμαρτίαις, ἀλλ' ἐπὶ βλασφημίᾳ αὐτοὺς ᾐτιᾶτο. Διαφέρει δέ, ὅτι μὲν ἁμαρτάνων παραβαίνει νόμον· ὁ δὲ βλασφημῶν εἰς αὐτὴν ἀσεβεῖ τὴν θεότητα. Ἐπὶ πολλαῖς δ' οὖν πρότερον πλημμελείαις αἰτιώμενος αὐτοὺς ὁ Σωτήρ, ὅτι τὴν ἐντολὴν τοῦ Θεοῦ τὴν περὶ τῶν γονέων διὰ ἀργύριον παρέβαινον, καὶ τὰ τῶν προφητῶν παρεκρούοντο, καὶ τὸν οἶκον τοῦ Θεοῦ ἐποίουν οἶκον ἐμπορίου, ὅμως παρῄνει καὶ μετανοεῖν αὐτοῖς.

Ἐπὶ δὲ τῷ λέγειν αὐτούς, Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια, οὐκ ἔτι ταύτην ἁμαρτίαν ἁπλῶς, ἀλλὰ βλασφημίαν εἴρηκεν εἶναι τηλικαύτην, ὥστε ἄφυκτον καὶ ἀσύγγνωστον εἶναι τὴν τιμωρίαν τοῖς τοιαῦτα τολμῶσιν.

13. Ἄλλως τε, εἰ τῶν μετὰ τὸ λουτρὸν ἁμαρτανόντων χάριν εἴρηται τοῦτο τὸ ρητόν, καὶ τούτοις ἀσύγγνωστός ἐστιν ἡ τῶν πλημμελημάτων δίκη, πῶς τῷ μὲν ἐν Κορίνθῳ μετανοοῦντι κυροῖ τὴν αὐτὴν ἀγάπην ὁ Ἀπόστολος[1], τοὺς δὲ Γαλάτας παλινδρομήσαντας ὠδίνει, ἄχρις οὗ πάλιν μορφωθῇ Χριστὸς ἐν αὐτοῖς;[2] Ἐν δὲ τῷ λέγειν, πάλιν δείκνυσιν αὐτῶν καὶ τὴν προτέραν ἐν τῷ Πνεύματι τελειότητα. Τί δὲ καὶ Νουάτῳ μεμφόμεθα ἀναιροῦντι μετάνοιαν, καὶ φάσκοντι μηδεμίαν συγγνώμην ἔχειν τοὺς μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας, εἰ διὰ τοὺς μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας εἴρηται τὸ ρητόν; Καὶ γὰρ τὸ ἐν τῇ πρὸς Ἑβραίους εἰρημένον οὐκ ἐκκλεῖόν ἐστι τῶν ἁμαρτανόντων τὴν μετάνοιαν, ἀλλὰ δεικνύον ἓν εἶναι τὸ τῆς καθολικῆς Ἐκκλησίας βάπτισμα καὶ μὴ δεύτερον. Ἑβραίοις γὰρ ἔγραφε· καὶ ἵνα μὴ νομίσωσι, κατὰ τὴν ἐν τῷ νόμῳ συνήθειαν, προφάσει μετανοίας εἶναι πολλὰ καὶ καθ' ἡμέραν βαπτίσματα, διὰ τοῦτο μετανοεῖν μὲν παραινεῖ, μίαν δὲ εἶναι τὴν ἀνακαίνισιν διὰ τοῦ βαπτίσματος, καὶ μὴ δευτέραν ἀποφαίνεται, ὡς καὶ ἐν ἑτέρᾳ Ἐπιστολῇ φησι· «Μία πίστις, ἓν βάπτισμα.[3]» Οὐδὲ γάρ, εἶπεν, ἀδύνατον μετανοεῖν· ἀλλ' ἀδύνατον προφάσει μετανοίας ἀνακαινίζειν ἡμᾶς. Ἔχει δὲ πολλὴν τὴν διαφοράν· ὁ μὲν γὰρ μετανοῶν παύεται μὲν τοῦ ἁμαρτάνειν, ἔχει δὲ τῶν τραυμάτων τὰς οὐλάς· ὁ δὲ βαπτιζόμενος τὸν μὲν παλαιὸν ἀπεκδιδύσκεται, ἀνακαινίζεται δὲ ἄνωθεν γεννηθεὶς τῇ τοῦ Πνεύματος χάριτι.

14. Τοιαῦτα δὴ οὖν μοι λογιζομένῳ, μεῖζον ἀπαντᾷ τὸ βάθος τῆς ἐν τῷ ῥητῷ διανοίας· καὶ διὰ τοῦτο πολλὰ πρότερον παρακαλέσας τὸν ἐπὶ τὸ φρέαρ καθεσθέντα, καὶ ἐπὶ τὴν θάλασσαν περιπατήσαντα Κύριον, ἐπὶ τὴν οἰκονομίαν λοιπὸν τὴν ἐν αὐτῷ γενομένην ὑπὲρ ἡμῶν ἀνέρχομαι, τάχα πως ἐξ αὐτῆς τὸν ἐν τῷ ἀναγνώσματι νοῦν λαβεῖν δυνηθῶ. Πᾶσα τοίνυν ἡ θεία Γραφὴ ταύτην εὐαγγελίζεται καὶ κηρύττει, μάλιστα δὲ ὁ μὲν Ἰωάννης λέγων· «Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν·[4]» ὁ δὲ Παῦλος γράφων· «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.[5]» Διὰ τοῦτο γὰρ Θεὸς ὢν καὶ ἄνθρωπος γενόμενος, ὡς μὲν Θεὸς ἤγειρε νεκρούς, καὶ λόγῳ πάντας θεραπεύων, μετέβαλε καὶ τὸ ὕδωρ εἰς οἶνον· οὐ γὰρ ἦν ἀνθρώπου ταῦτα ἔργα· ὡς δὲ σῶμα φορῶν, ἐδίψα καὶ ἐκοπία, καὶ ἔπασχεν· οὐ γὰρ ἦν ἴδια ταῦτα τῆς θεότητος.

---

1. Πρβλ. Β' Κορ. 2, 8. 2. Πρβλ. Γαλ. 4, 19. 3. Ἐφεσ. 4, 5. 4. Ἰω. 1, 14. 5. Φιλιπ. 2, 6-8.

Καὶ ὡς μὲν Θεὸς ἔλεγεν· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί·[1]» ὡς δὲ σῶμα φορῶν, ἤλεγχε τοὺς Ἰουδαίους. «Τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπος, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάκηκα, ἣν ἤκουσα παρὰ τοῦ Πατρός;[2]» Ἐγίνετο δὲ ταῦτα οὐ διῃρημένως κατὰ τὴν τῶν γινομένων ποιότητα, ὥστε τὰ μὲν τοῦ σώματος χωρὶς τῆς θεότητος τὰ δὲ τῆς θεότητος χωρὶς τοῦ σώματος δείκνυσθαι· συνημμένως δὲ πάντα ἐγίνετο, καὶ εἷς ἦν ὁ ταῦτα ποιῶν Κύριος παραδόξως τῇ ἑαυτοῦ χάριτι. Ἔπτυε γὰρ ἀνθρωπίνως, καὶ τὸ πτύσμα ἦν ἔνθεον· ἐν αὐτῷ γὰρ ἐποίει τοὺς ὀφθαλμοὺς τοῦ ἐκ γενετῆς τυφλοῦ ἀναβλέπειν. Καὶ δεικνύναι δὲ θέλων ἑαυτὸν Θεόν, ἀνθρωπίνῃ γλώττῃ τοῦτο σημαίνων ἔλεγεν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·[3]» καὶ μόνον δὲ θέλων ἐθεράπευε. Τὴν δὲ ἀνθρωπίνην ἐκτείνων χεῖρα, ἤγειρε τὴν πενθερὰν Πέτρου πυρέσσουσαν, καὶ τὴν τοῦ ἀρχισυναγώγου θυγατέρα ἤδη τελευτήσασαν ἐκ τῶν νεκρῶν ἀνήγειρεν.

15. Αἱρετικοὶ μὲν οὖν κατὰ τὴν ἰδίαν ἀπαιδευσίαν ἐμάνησαν· καὶ οἱ μὲν τὰ σωματικὰ βλέποντες τοῦ Σωτῆρος ἠρνήσαντο τό, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος·[4]» οἱ δὲ τὰ τῆς θεότητος θεωροῦντες ἠγνόησαν τό, «Ὁ Λόγος σὰρξ ἐγένετο.[5]» Ὁ δὲ πιστὸς καὶ ἀποστολικὸς ἀνήρ, εἰδὼς τὴν τοῦ Κυρίου φιλανθρωπίαν, βλέπων μὲν τὰ τῆς θεότητος σημεῖα, θαυμάζει τὸν ἐν τῷ σώματι Κύριον· θεωρῶν δὲ πάλιν καὶ τὰ τοῦ σώματος ἴδια, ὑπερεκπλήσσεται, κατανοῶν τὴν ἐν αὐτοῖς τῆς θεότητος ἐνέργειαν. Τοιαύτης δὲ οὔσης τῆς ἐκκλησιαστικῆς πίστεως, ὅταν τινὲς εἰς τὰ ἀνθρώπινα βλέποντες, ἴδωσι τὸν Κύριον διψῶντα, ἢ κοπιῶντα, ἢ πάσχοντα, καὶ μόνον φλυαρήσωσιν ὡς κατὰ ἀνθρώπου τοῦ Σωτῆρος, ἁμαρτάνουσι μὲν μεγάλως, δύνανται δὲ ὅμως, ταχέως μεταγινώσκοντες, λαμβάνειν συγγνώμην, ἔχοντες πρόφασιν τὴν τοῦ σώματος ἀσθένειαν (ἔχουσι γὰρ καὶ τὸν Ἀπόστολον συγγνώμην αὐτοῖς νέμοντα, καὶ οἱονεὶ χεῖρα αὐτοῖς ἐν τῷ λέγειν ἐκτείνοντα, ὅτι «Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί.[6]») Ὅταν δὲ πάλιν τὰ τῆς θεότητος ἔργα θεωροῦντές τινες, διστάζωσι περὶ τῆς τοῦ σώματος φύσεως, καὶ αὐτοὶ μὲν ἁμαρτάνουσι τὰ μέγιστα, ὅτι, καίτοι βλέποντες ἐσθίοντα καὶ πάσχοντα, φαντάζονται φαντασίαν· συγγινώσκειν δὲ ὅμως καὶ τούτοις ταχέως μεταγινώσκουσιν ὁ Χριστὸς δύναται, διὰ τὸ καὶ αὐτοὺς ἔχειν πρόφασιν τὴν ἐκ τῶν ἔργων ὑπὲρ ἄνθρωπον μεγαλειότητα. Ἐπειδὰν δὲ τὴν ἀμφοτέραν τούτων ἄγνοιαν καὶ πήρωσιν ὑπερβάντες οἱ δοκοῦντες ἔχειν τοῦ νόμου τὴν γνῶσιν (οἷοι ἦσαν οἱ τότε Φαρισαῖοι) εἰς μανίαν τραπῶσι, καὶ αὐτὸν τὸν ἐν τῷ σώματι ὄντα Λόγον τέλεον ἀρνήσωνται, ἢ καὶ τὰ τῆς θεότητος ἔργα τῷ διαβόλῳ καὶ τοῖς τούτου δαίμοσιν ἀναφέρωσιν, εἰκότως ἀσύγγνωστον ἔχουσι τὴν ἐκ τῆς τοιαύ-

1. Ἰω. 14, 11. 2. Ἰω. 8, 40. 3. Ἰω. 10, 30. 4. Ἰω. 1, 1. 5. Ἰω. 1, 14. 6. Α' Τιμ. 3, 16.

της ἀσεβείας ἐπιτιμίαν. Τόν τε γὰρ διάβολον εἰς Θεὸν ἐλογίσαντο, καὶ τὸν ἀληθινὸν καὶ ὄντως ὄντα Θεόν, οὐδὲν πλέον ἐν τοῖς ἔργοις ἔχειν τῶν δαιμόνων ἡγήσαντο.

16. Εἰς τοιαύτην τοίνυν ἀσέβειαν πεπτωκότες ἦσαν οἱ τότε Ἰουδαῖοι, καὶ τῶν Ἰουδαίων οἱ Φαρισαῖοι. Τοῦ γὰρ Σωτῆρος δεικνύοντος τὰ τοῦ Πατρὸς ἔργα (νεκροὺς γὰρ ἤγειρε, τυφλοῖς ἐχαρίζετο τὸ βλέπειν, χωλοὺς ἐποίει περιπατεῖν, κωφῶν ἤνοιγε τὴν ἀκοήν, ἀλάλους ἐποίει λαλεῖν καὶ τὴν κτίσιν ὑποτεταγμένην ἐδείκνυεν, ἐπιτάσσων τοῖς ἀνέμοις, καὶ περιπατῶν ἐπ᾽ αὐτῆς τῆς θαλάττης, οἱ μὲν ὄχλοι ἐξεπλήσσοντο καὶ ἐδόξαζον τὸν Θεόν· οἱ δὲ θαυμαστοὶ Φαρισαῖοι ἔλεγον τοῦ Βεελζεβοὺλ εἶναι τὰ τοιαῦτα ἔργα· καὶ οὐκ ᾐσχύνοντο οἱ ἄφρονες τὴν τοῦ Θεοῦ δύναμιν ἐπὶ τὸν διάβολον μεταφέροντες. Ὅθεν ἀκολούθως ὁ Σωτὴρ ἀσύγγνωστα καὶ ἄφυκτα βλασφημεῖν αὐτοὺς ἀπεφήνατο. Ἕως μὲν γὰρ εἰς τὰ ἀνθρώπινα βλέποντες ἐχώλευον τῇ διανοίᾳ, λέγοντες· «Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός;[1]» καί· «Πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς;[2]» καί· «Τί σὺ ποιεῖς περὶ σεαυτοῦ σημεῖον;[3]» καί, «Καταβήτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ·[4]» ἔφερεν αὐτούς, καί, ὡς εἰς Υἱὸν ἀνθρώπου ἁμαρτανόντων αὐτῶν, λυπούμενος ἐπὶ τῇ πωρώσει αὐτῶν ἔλεγεν· «Εἰ ἔγνωτε καὶ ὑμεῖς τὰ εἰς εἰρήνην.[5]» Καὶ γὰρ καὶ τῷ μεγάλῳ Πέτρῳ ὡς περὶ ἀνθρώπου λαλησάσης τῆς θυρωροῦ, καὶ οὕτως ἀποκρινομένῳ, συνέγνω κλαύσαντι ὁ Κύριος. Ὅτε δὲ πεσόντες ἐπιπεπτώκασι, καὶ πλέον ἐμάνησαν, ὥστε τὰ τοῦ Θεοῦ ἔργα λέγειν εἶναι τοῦ Βεελζεβούλ, οὐκέτι λοιπὸν αὐτοὺς ἤνεγκεν· εἰς γὰρ τὸ Πνεῦμα αὐτοῦ ἐβλασφήμουν, λέγοντες τὸν ταῦτα ποιοῦντα μὴ εἶναι Θεόν, ἀλλὰ Βεελζεβούλ. Καὶ διὰ τοῦτο, ὡς ἀφόρητα τολμῶντας, αἰωνίως ἐτιμωρήσατο. Ἴσον γὰρ ἦν αὐτοὺς τολμᾶν καὶ εἰπεῖν, ὁρῶντας τὴν τοῦ κόσμου τάξιν, καὶ τὴν εἰς αὐτὸν πρόνοιαν, ὅτι καὶ ἡ κτίσις ὑπὸ τοῦ Βεελζεβοὺλ γέγονε· καὶ ὁ ἥλιος ὑπακούων τῷ διαβόλῳ ἀνατέλλει, καὶ δι᾽ αὐτὸν περιπολεῖ τὰ ἄστρα ἐν τῷ οὐρανῷ. Καὶ γὰρ ὥσπερ ταῦτα τοῦ Θεοῦ, οὕτω κἀκεῖνα τοῦ Πατρὸς ἦν ἔργα· καὶ εἰ ἐκεῖνα τοῦ Βεελζεβούλ, ἐξ ἀνάγκης καὶ ταῦτα τοῦ Βεελζεβούλ. Καὶ ποῦ λοιπὸν αὐτοῖς τό· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν;[6]» Ἀλλ᾽ οὐδὲν ξένον τῆς τοιαύτης αὐτῶν μανίας· ἐπεὶ καὶ οἱ τῆς τοιαύτης αὐτὸν γνώμης πατέρες, ἐν τῇ ἐρήμῳ πρὸ ὀλίγου ἐξελθόντες ἀπὸ τῆς Αἰγύπτου, μόσχον πλάσαντες, αὐτῷ τὰς εἰς αὐτοὺς εὐεργεσίας παρὰ Θεοῦ γενομένας ἀνατιθέντες, ἔλεγον· «Οὗτοι οἱ Θεοί σου, Ἰσραήλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου.[7]» Διὰ γοῦν ταύτην τὴν βλασφημίαν καὶ τότε τῶν τοιαῦτα τολμησάντων τὴν μὲν ἀρχὴν οὐκ ὀλίγοι, πολλοὶ δὲ ἀνῃρέθησαν· ἐπηγγείλατο δὲ ὁ Θεὸς λέγων· «Ἧ δ᾽ ἂν ἡμέρᾳ ἐπισκέψωμαι ἐπάξω ἐπ᾽

---

1. Ματθ. 13, 55. 2. Ἰω. 7, 15. 3. Ἰω. 6, 30. 4. Ματθ. 27, 42. 5. Λουκ. 19, 42. 6. Γεν. 1, 1. 7. Ἔξ. 32, 4.

αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν.[1]» Καὶ γὰρ ἕως μὲν κἀκεῖνοι δι' ἄρτους καὶ ὕδωρ ἐγόγγυζον, ἐπὶ τοσοῦτον αὐτοὺς οὕτως ἔφερεν, ὡς εἴ τις τροφὸς τροφοφορήσειε τὸν ἑαυτῆς υἱόν· ὅτε δὲ πλέον ἐμάνησαν, καὶ ὡς ψάλλει κατ' αὐτῶν τὸ Πνεῦμα· «Ἠλλάξαντο τὴν δόξαν αὐτῶν ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον·[2]» τὸ τηνικαῦτα λοιπὸν ἀσύγγνωστα τολμήσαντες, ἐπατάχθησαν, ὥς φησιν ἡ Γραφή, περὶ τῆς ποιήσεως τοῦ μόσχου, οὗ ἐποίησεν Ἀαρών.[3]

17. Τοιαῦτα καὶ νῦν τολμῶντες οἱ Φαρισαῖοι, τοιαύτην ἐσχήκασι παρὰ τοῦ Σωτῆρος τὴν ἀπόφασιν, οἵαν καὶ ὁ παρ' αὐτῶν ὑπονοηθεὶς Βεελζεβοὺλ ἔσχεν ἤδη καὶ ἔχει· ὥστε αὐτοὺς εἰς τὸ ἡτοιμασμένον πῦρ ἐκείνῳ αἰωνίως συγκατεσθίεσθαι μετ' αὐτοῦ. Οὐ γὰρ δὴ σύγκρισίν τινα ποιούμενος τῆς εἰς ἑαυτὸν καὶ τῆς εἰς τὸν Πνεῦμα τὸ ἅγιον λεγομένης βλασφημίας, καὶ ὡς μείζονος ὄντος τοῦ Πνεύματος, καὶ διὰ τοῦτο μείζονα τὴν αἰτίαν ἐχούσης τῆς εἰς τὸ Πνεῦμα γινομένης, ταῦτ' εἴρηκε· μὴ γένοιτο! Φθάσας γὰρ ἐδίδαξεν, ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι, καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λήψεται, καὶ αὐτὸ δοξάσει τὸν Υἱόν. Καὶ οὐχὶ τὸ Πνεῦμα τὸν Υἱὸν δίδωσιν, ἀλλ' ὁ Υἱὸς παρέχει τὸ Πνεῦμα τοῖς μαθηταῖς καὶ δι' αὐτῶν τοῖς εἰς αὐτὸν πιστεύουσιν. Οὐχ οὕτως οὖν εἴρηκεν ὁ Σωτήρ· ἀλλ' ὡς εἰς αὐτὸν ἐπ' ἀμφοτέροις γινομένης τῆς βλασφημίας, καὶ τῆς μὲν ἐλάττονος, τῆς δὲ ὑπερβαλλούσης ταῦτα λελάληκεν ὁ Κύριος. Καὶ γὰρ καὶ οὗτοι οἱ Φαρισαῖοι ἀμφότερα ἦσαν λέγοντες· καὶ ἄνθρωπον βλέποντες αὐτὸν ἐλοιδόρουν· «Πόθεν τούτῳ ἡ σοφία αὕτη;[4]» καί, «Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;[5]» Καὶ τὰ τοῦ Πατρὸς ἔργα θεωροῦντες, οὐ μόνον ἠρνοῦντο τὴν θεότητα αὐτοῦ, ἀλλὰ καὶ ἀντὶ ταύτης ἔλεγον ἐν αὐτῷ εἶναι τὸν Βεελζεβούλ, καὶ αὐτοῦ εἶναι τὰ ἔργα. Διὰ τοῦτο, ὡς εἰς αὐτὸν ἀμφοτέρων λεγομένων, καὶ τῆς μὲν ἐλάττονος βλασφημίας οὔσης διὰ τὸ ἀνθρώπινον, τῆς δὲ μείζονος διὰ τὴν θεότητα, ἐπὶ τῇ μείζονι κατ' αὐτῶν τὸ ἄφυκτον τῆς τιμωρίας ἔλεγεν. Ἀμέλει τοὺς μαθητὰς παραθαρσύνων καὶ λέγων, ὅτι· «Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν[6]», ἑαυτὸν εἶναι τὸν οἰκοδεσπότην ἔλεγε, τὸν καὶ ὑπὸ τῶν Ἰουδαίων οὕτω βλασφημούμενον.

18. Εἰ δὲ οἱ Ἰουδαῖοι λέγοντες, «ἐν Βεελζεβούλ[7]», οὐδένα ἕτερον ἢ τὸν Κύριον ἐλοιδόρουν, δῆλον τοίνυν ἐστίν, ὡς τὸ λεγόμενον, «Ἡ δὲ τοῦ Πνεύματος βλασφημία[8]», εἰς αὐτόν ἐστι τὸν Κύριον λεγομένη, καὶ τὸ ῥητὸν ὅλον περὶ ἑαυτοῦ σημαίνων ἔλεγεν ὁ Σωτήρ. Αὐτὸς γάρ ἐστιν ὁ τοῦ παντὸς οἰκοδεσπότης· πάλιν γὰρ ἀσφαλείας ἕνεκα τὸ αὐτὸ εἰπεῖν οὐκ ὀκνητέον. Τὸ διψᾶν, τὸ κοπιᾶν, τὸ κοιμᾶσθαι, τὸ ῥαπίζεσθαι, τὸ ἐσθίειν, ἀνθρώπων ἐστὶν ἴδια· τὰ δὲ ἔργα ἃ ἐποίει ὁ Κύριος, οὐκ ἔτι ἀνθρώπων, ἀλλὰ Θεοῦ ἦν αὐτὰ ποιεῖν. Ὅταν

---

1. Ἔξ. 32, 34. 2. Ψαλμ. 105, 20. 3. Ἔξ. 32, 35. 4. Ματθ. 13, 54. 5. Ἰω. 8, 57. 6. Ματθ. 10, 25. 7. Ματθ. 12, 24. 8. Ματθ. 12, 31.

οὖν τινες, καθὰ πρότερον εἶπον, ταῦτα βλέποντες ὡς ἀνθρώπῳ λοιδορῶνται τῷ Κυρίῳ, ἐλάττονος ἂν ἀξιοῖντο τιμωρίας τῶν τὰ τοῦ Θεοῦ ἔργα μεταφερόντων εἰς τὸν διάβολον. Οἱ γὰρ τοιοῦτοι, οὐ μόνον τὰ ἅγια τοῖς κυσὶ ῥίπτουσιν, ἀλλὰ καὶ τὸν Θεὸν τῷ διαβόλῳ συγκρίνουσι, καὶ τὸ φῶς λέγουσιν εἶναι σκότος. Ταύτην γοῦν εἶναι τῶν Φαρισαίων τὴν ἀσύγγνωστον βλασφημίαν ὁ Μάρκος παρετηρήσατο λέγων· «Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου ἁμαρτίας· ὅτι ἔλεγον, Πνεῦμα ἀκάθαρτον ἔχει.[1]» Καὶ ὁ μὲν ἐν γενετῆς τυφλὸς ἀναβλέψας ἐμαρτύρει· «Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοὺς γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν·[2]» οἵ τε ὄχλοι, θαυμάζοντες ἐπὶ τοῖς γινομένοις ὑπὸ τοῦ Κυρίου, ἔλεγον·» Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν;[3]» οἱ δὲ νομιζόμενοι ἁδροὶ τοῦ νόμου, οἱ Φαρισαῖοι, οἱ τὰ κράσπεδα πλατύνοντες, καὶ κομπάζοντες ὡς πλέον τι τῶν ἄλλων γινώσκοντες, οὐδ' οὕτως ᾐσχύνοντο· κατὰ δὲ τὸ γεγραμμένον, ἔθυον οἱ τάλανες δαιμονίῳ καὶ οὐ Θεῷ[4], λέγοντες δαιμόνιον ἔχειν τὸν Κύριον, καὶ δαιμόνων εἶναι τὰ τοῦ Θεοῦ ἔργα. Ἔπασχον δὲ τοῦτο δι' οὐδὲν ἕτερον, ἢ ἵνα μόνον ἀρνήσωνται τὸν ταῦτα ποιοῦντα Θεὸν εἶναι, καὶ τοῦ Θεοῦ Υἱόν. Εἰ γὰρ τὸ ἐσθίειν καὶ τοῦ σώματος ἡ ὄψις ἐδείκνυεν αὐτὸν καὶ ἄνθρωπον, διὰ τί μὴ ἐκ τῶν ἔργων ἐθεώρουν αὐτὸν εἶναι ἐν τῷ Πατρί, καὶ τὸν Πατέρα ἐν αὐτῷ; Ἀλλ' οὐκ ἤθελον· μᾶλλον δὲ αὐτοὶ τὸν Βεελζεβοὺλ εἶχον ἐν ἑαυτοῖς φθεγγόμενον, ὡς ἐκ μὲν τῶν ἀνθρωπίνων ἄνθρωπον αὐτὸν μόνον ὀνομάζειν· ἐκ δὲ τῶν ἔργων, ἃ ἦν ἴδια Θεοῦ, μηκέτι Θεὸν αὐτὸν ὁμολογεῖν, ἀλλὰ τὸν ἐν αὐτοῖς Βεελζεβοὺλ ἀντ' ἐκείνου θεοποιεῖν, ἵνα σὺν αὐτῷ λοιπὸν αἰωνίως ἐν τῷ πυρὶ κολάζωνται.

19. Καὶ αὐτὴ δὲ ἡ τοῦ ἀναγνώσματος παρατήρησις τοιαύτην ἔμφασίν τινα παρέχειν μοι δοκεῖ, καὶ δεικνύειν εἰς αὐτὸν φθάνειν ἀμφοτέρας τὰς βλασφημίας, καὶ περὶ ἑαυτοῦ εἰρηκέναι τό, «Υἱὸς ἀνθρώπου», καὶ τό, «Πνεῦμα·» ἵν' ἐκ τούτου μὲν τὸ σωματικὸν ἑαυτοῦ δείξῃ, ἐκ δὲ τοῦ πνεύματος τὴν πνευματικὴν ἑαυτοῦ καὶ νοητὴν καὶ ἀληθεστάτην θεότητα δηλώσῃ. Καὶ γὰρ τὸ μὲν λαβεῖν δυνάμενον συγγνώμην ἐπὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου συνέταξεν, ἵνα τὸ σωματικὸν ἑαυτοῦ σημάνῃ· τὴν δὲ ἀσύγγνωστον βλασφημίαν εἰς τὸ Πνεῦμα φθάνειν δεδήλωκεν· ἵνα, πρὸς ἀντιδιαστολὴν τοῦ σωματικοῦ τοῦτο λέγων, τὴν ἑαυτοῦ θεότητα δείξῃ. Τοῦτον δὲ τὸν χαρακτῆρα καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ ἑώρακα· ὁπηνίκα, περὶ τῆς τοῦ σώματος βρώσεως διαλεγόμενος, καὶ διὰ τοῦτο πολλοὺς ἑωρακὼς τοὺς σκανδαλισθέντας, φησὶν ὁ Κύριος· «Τοῦτο ὑμᾶς σκανδαλίζει; Ἐὰν οὖν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον;

1. Μάρκ. 3, 29-30. 2. Ἰω. 9, 32-33. 3. Ἰω. 10, 21. 4. Δευτ. 32,17.

Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή.[1]» Καὶ ἐνταῦθα γὰρ ἀμφότερα περὶ ἑαυτοῦ εἴρηκε, σάρκα καὶ πνεῦμα· καὶ τὸ πνεῦμα πρὸς τὸ κατὰ σάρκα διέστειλεν, ἵνα μὴ μόνον τὸ φαινόμενον, ἀλλὰ καὶ τὸ ἀόρατον αὐτοῦ πιστεύσαντες μάθωσιν, ὅτι καὶ ἃ λέγει οὐκ ἔστι σαρκικά, ἀλλὰ πνευματικά. Πόσοις γὰρ ἤρκει τὸ σῶμα πρὸς βρῶσιν, ἵνα καὶ τοῦ κόσμου παντὸς τοῦτο τροφὴ γένηται; Ἀλλὰ διὰ τοῦτο τῆς εἰς οὐρανοὺς ἀναβάσεως ἐμνημόνευσε τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἵνα τῆς σωματικῆς ἐννοίας αὐτοὺς ἀφελκύσῃ, καὶ λοιπὸν τὴν εἰρημένην σάρκα βρῶσιν ἄνωθεν οὐράνιον, καὶ πνευματικὴν τροφὴν παρ᾽ αὐτοῦ διδομένην μάθωσιν. «Ἃ γὰρ λελάληκα», φησίν, «ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή·[2]» ἴσον τῷ εἰπεῖν· Τὸ μὲν δεικνύμενον καὶ διδόμενον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἐστὶν ἡ σὰρξ ἣν ἐγὼ φορῶ· ἀλλ᾽ αὕτη ὑμῖν καὶ τὸ ταύτης αἷμα παρ᾽ ἐμοῦ πνευματικῶς δοθήσεται τροφή· ὥστε πνευματικῶς ἐν ἑκάστῳ ταύτην ἀναδίδοσθαι, καὶ γίνεσθαι πᾶσι φυλακτήριον εἰς ἀνάστασιν ζωῆς αἰωνίου. Οὕτω καὶ τὴν Σαμαρεῖτιν ἀφέλκων ὁ Κύριος ἀπὸ τῶν αἰσθητῶν, Πνεῦμα εἴρηκε τὸν Θεόν, ὑπὲρ τοῦ μηκέτι σωματικῶς αὐτήν, ἀλλὰ πνευματικῶς διανοεῖσθαι περὶ τοῦ Θεοῦ· οὕτω καὶ ὁ προφήτης θεωρῶν τὸν Λόγον τὸν γενόμενον σάρκα εἴρηκε· «Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος·[3]» ἵνα μὴ ἐκ τοῦ φαινομένου νομίσῃ τις ἄνθρωπον ψιλὸν εἶναι τὸν Κύριον, ἀλλὰ καὶ Πνεῦμα ἀκούων, γινώσκῃ Θεὸν εἶναι τὸν ἐν σώματι ὄντα.

20. Ἑκάτερον οὖν δῆλον ἂν εἴη λοιπὸν ὅτι ὁ τὸν Κύριον ὁρῶν τὰ περὶ ἑαυτοῦ διαλεγόμενον, ἐὰν μὲν τὰ σωματικὰ αὐτοῦ μόνον βλέπων, καὶ μὴ πιστεύων λέγοι· «Πόθεν τούτῳ ἡ σοφία αὕτη;[4]» ἁμαρτάνει μέν, καὶ ὡς εἰς Υἱὸν ἀνθρώπου βλασφημεῖ· ἀλλ᾽ ὁ ὁρῶν αὐτοῦ τὰ ἔργα τὰ Πνεύματι ἁγίῳ γινόμενα, καὶ λέγων τὸν τοιαῦτα ποιοῦντα μὴ εἶναι Θεὸν καὶ τοῦ Θεοῦ Υἱόν, ἀλλὰ τῷ Βεελζεβοὺλ αὐτὰ ἐπιγράφων, φανερῶς βλασφημεῖ, ἀρνούμενος αὐτοῦ τὴν θεότητα. Καὶ γὰρ καὶ ἐν τῷ εὐαγγελικῷ ῥητῷ, καθὰ πολλάκις εἴρηται, λέγων, «Υἱὸν ἀνθρώπου», τὸ κατὰ σάρκα καὶ ἀνθρώπινον αὐτοῦ δείκνυσιν· ἵνα, «τὸ Πνεῦμα» λέγων, δηλώσῃ αὐτοῦ εἶναι τὸ ἅγιον Πνεῦμα, ἐν ᾧ τὰ πάντα εἰργάζετο. Ὅθεν τὰ μὲν ἔργα ποιῶν ἔλεγεν· «Εἰ ἐμοὶ μὴ πιστεύετε, κἂν τοῖς ἔργοις μου πιστεύετε, ἵνα γνῶτε ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί.[5]» Μέλλων δὲ ἑαυτὸν σωματικῶς προσφέρειν ὑπὲρ ἡμῶν, ὁπηνίκα δι᾽ αὐτὸ τοῦτο ἀνέβη εἰς Ἱερουσαλήμ, ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ· «Καθεύδετε τὸ λοιπόν, καὶ ἀναπαύεσθε· ἰδοὺ γὰρ ἤγγικεν ἡ ὥρα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν·[6]» τὰ μὲν γὰρ ἔργα Θεὸν ἀληθινὸν αὐτὸν ἐποίει πιστεύεσθαι· ὁ δὲ θάνατος ἐδείκνυεν αὐτὸν ἀληθῶς ἔχοντα σῶμα. Διὸ εἰκότως Υἱὸν ἀνθρώπου

---

1. Ἰω. 6, 61-63. 2. Ἰω. 6, 63. 3. Θρῆν. 4, 20. 4. Ματθ. 13, 54. 5. Ἰω. 10, 38. 6. Ματθ. 26, 45.

ἔλεγε τὸν παραδιδόμενον· ὁ Λόγος γάρ, ἀθάνατος καὶ ἄψαυστός ἐστι, καὶ αὐτοζωὴ τυγχάνει ὤν. Ἀλλ' οὔτε τούτοις ἐπίστευον οἱ Φαρισαῖοι, οὔτε ἃ ἐποίουν τούτων οἱ υἱοί, βλέπειν ἐβούλοντο· ὅθεν ἠρέμα πάλιν αὐτοὺς ὁ Κύριος ἐλέγχει λέγων· «Εἰ ἐν Βεελζεβοὺλ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; Διὰ τοῦτο αὐτοὶ ὑμῶν κριταὶ ἔσονται· εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.[1]» Καὶ ὧδε δὲ «ἐν Πνεύματι Θεοῦ» ἔλεγεν, οὐχ ὡς ἐλάττων ὢν τοῦ Πνεύματος, οὐδὲ ὡς τοῦ Πνεύματος αὐτὰ ἐνεργοῦντος ἐν αὐτῷ, ἀλλ' ἵνα πάλιν δηλώσῃ, ὅτι αὐτός, Λόγος ὢν τοῦ Θεοῦ, αὐτὸς διὰ τοῦ Πνεύματος ἐνεργεῖ τὰ πάντα, καὶ διδάξῃ τοὺς ἀκούοντας, ὅτι ὅσῳ τὰ τοῦ Πνεύματος ἔργα τῷ Βεελζεβοὺλ ἀνατιθέασι, τοσούτῳ τὸν χορηγοῦντα τὸ Πνεῦμα δυσφημοῦσι· καὶ γὰρ καὶ τοῦτο λέγων, δείκνυσιν, ὅτι μὴ ἀγνοοῦντες, ἀλλ' ἑκόντες εἰς τὴν τοιαύτην ἀναπόδραστον βλασφημίαν ἑαυτοὺς περιπείρουσι. Καὶ οὐκ αἰσχύνονται· καίτοι γινώσκοντες τὰ τοιαῦτα ἔργα ὄντα τοῦ Θεοῦ, ὅτι τῷ Βεελζεβοὺλ ἀνατιθέασιν αὐτὰ οἱ παράφρονες, καὶ ἐξ ἀκαθάρτου πνεύματος ἔλεγον γίνεσθαι ταῦτα.

21. Πῶς οὖν, ταῦτα τολμῶντες, ἔτι δύνανται τοὺς Ἕλληνας αἰτιᾶσθαι, πλάττοντας εἴδωλα, καὶ θεοὺς ὀνομάζοντας αὐτά; Ὅμοια γὰρ τὰ αὐτῶν τῆς ἐκείνων μανίας· ἢ τάχα καὶ μείζονα τὰ τούτων τολμήματα τυγχάνει ὄντα· ὅτι, καίπερ νόμον περὶ τούτου λαβόντες, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἠτίμασαν. Τί δὲ τοιαῦτα βλασφημοῦντες ποιήσουσιν, ὅταν ἀναγινώσκωσι τὸν προφήτην Ἡσαΐαν, καὶ ἀκούσωσι, τὰ σημεῖα τῆς τοῦ Χριστοῦ παρουσίας εἶναι τυφλῶν ἀνάβλεψιν, χωλῶν περίπατον, ἀλάλων λαλιάν, νεκρῶν ἀνάστασιν, λεπρῶν θεραπείαν, καὶ κωφῶν ἀκοῆς ἄνοιξιν; ἄρα γὰρ καὶ τούτων τίνα θελήσουσιν εἶναι τὸν ποιητήν; Τὸν μὲν γὰρ Θεὸν λέγοντες, ἑαυτοὺς διελέγξουσιν ἀσεβήσαντας εἰς τὸν Κύριον· ἃ γὰρ ὁ προφήτης προβλέπων εἴρηκε, ταῦτα παρὼν αὐτὸς ὁ Κύριος πεποίηκεν· ἐὰν δέ, ὡς προπετείᾳ προληφθέντες, τολμήσωσιν εἰπεῖν κἀκεῖνα ἐν τῷ Βεελζεβοὺλ γίνεσθαι, φοβοῦμαι μή, κατ' ὀλίγον ἐν ἀσεβείᾳ προκόπτοντες, καὶ ἀναγινώσκοντες· «Τίς ἔδωκε στόμα ἀνθρώπῳ; Καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν;[2]» καὶ τὰ ὅμοια τούτοις, μανέντες πάλιν εἴπωσι τοῦ Βεελζεβοὺλ εἶναι καὶ ταύτας τὰς φωνάς. Ὧ γὰρ τὴν τοῦ ἀναβλέπειν χάριν διδόασι, τούτῳ καὶ τὴν τοῦ μὴ βλέπειν αἰτίαν αὐτοὺς ἀνάγκη διδόναι· ἀμφότερα γὰρ τὸν αὐτὸν ποιεῖν εἴρηκεν ὁ Λόγος. Πάντως δὲ τοῦτο λέγοντες, φρονήσουσί ποτε καὶ δημιουργὸν εἶναι τὸν Βεελζεβοὺλ τῆς ἀνθρωπίνης φύσεως· τοῦ γὰρ ποιοῦντός ἐστιν ἔχειν καὶ τὴν τῶν γινομένων ἐξουσίαν· Τοῦ γὰρ Μωϋσέως εἰρηκότος· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν·[3]» καί, «ἐν εἰκόνι Θεοῦ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον·[4]»

---

1. Λουκ. 11, 19-20. 2. Ἔξ. 4, 11. 3. Γεν. 1, 1. 4. Γεν. 1, 27.

καὶ Δανιὴλ παρρησιάζεται τῷ Δαρείῳ λέγων· «Οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ ζῶντα Θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν·[1]» εἰ μὴ ἄρα πάλιν μεταβαλλόμενοι λέγοιεν τὸ μὲν μὴ βλέπειν καὶ χωλεύειν, καὶ τὰ ἄλλα πάθη ἐξ ἐπιτιμίας τοῦ δημιουργοῦ γίνεσθαι· τὴν δὲ λύσιν τούτων καὶ τὴν εἰς τοὺς πάσχοντας εὐεργεσίαν τὸν Βεελζεβοὺλ ἐργάζεσθαι. Ἀλλὰ τοῦτο κἂν ἐξετάζειν, λίαν εὔηθές ἐστι. Μαινομένων γὰρ καὶ πλέον παρεξεστηκότων ἐστὶν ἡ τοιαύτη μετὰ ἀσεβείας μωρολογία· ὅτι μηδὲ τὰ κρείττονα κατὰ σύγκρισιν τῷ Θεῷ, ἀλλὰ τῷ Βεελζεβοὺλ διδόασιν οἱ παράφρονες. Καὶ γὰρ οὐ μέλει τούτοις λυμαίνεσθαι τῶν θείων Γραφῶν τὰ δόγματα, ἵνα μόνον ἀρνήσωνται τὴν τοῦ Χριστοῦ παρουσίαν.

22. Ἔδει δὲ τοὺς πονηροὺς ἢ μηδὲ ἐκ τῶν σωματικῶν ἐξουθενεῖν αὐτοὺς ὡς ἄνθρωπον τὸν Κύριον, ἢ δηλονότι καὶ ἐκ τῶν ἔργων Θεὸν αὐτὸν ὁμολογεῖν ἀληθινόν. Ἀλλὰ πάντα διεστραμμένως ἔπραττον· ἄνθρωπον μὲν βλέποντες, ὡς ἀνθρώπῳ ἐλοιδοροῦντο· ἔργα δὲ θεϊκὰ θεωροῦντες, ἠρνοῦντο τὴν θεότητα, καὶ προσέτρεχον τῷ διαβόλῳ, οἰόμενοι, ὅτι, ταῦτα τολμῶντες, διαδράναι δυνήσονται, ὥστε μὴ κριθῆναι παρ' αὐτοῦ τοῦ ὑβριζομένου παρ' αὐτῶν Λόγου. Οἱ μὲν οὖν ἐπαοιδοί, καὶ μάγοι, καὶ φαρμακοὶ τοῦ Φαραώ, καίτοι πλεῖστα ἐπιχειρήσαντες, ὅμως βλέποντες τὰ διὰ Μωσέως σημεῖα, καθυφῆκαν, καὶ νῶτα δεδώκασι, λέγοντες δάκτυλον εἶναι Θεοῦ τὸν ταῦτα ποιοῦντα·[2] οἱ δὲ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, ὅλην τὴν χεῖρα τοῦ Θεοῦ βλέποντες ἐργαζομένην, καὶ πλείονα καὶ μείζονα θεωροῦντες ἐκείνων τὰ δι' αὐτοῦ τοῦ Σωτῆρος γινόμενα, τὸν Βεελζεβοὺλ ἔλεγον ταῦτα ποιεῖν, ὃν καὶ οἱ μάγοι, καίτοι ἴδιον αὐτῶν ὄντα, ὅμως ὡμολόγουν μὴ δύνασθαι μηδὲ τὰ τούτων ἐλάττονα ποιεῖν. Τίς οὖν ὑπερβολὴ τῆς τούτων μανίας εἰπεῖν; ἢ τίς, ὡς εἴρηκεν ὁ προφήτης, ὁμοιῶσαί τι ταῖς τούτων ἀσεβείαις δυνήσεται; Ἐδικαίωσαν γὰρ ἐξ ἑαυτῶν καὶ Σοδομίτας· καὶ νενικήκασι μὲν τὴν Ἑλλήνων ἀγνωσίαν, ὑπερβάλλουσι δὲ καὶ τῶν μάγων τοῦ Φαραὼ τὴν ἀλογίαν, καὶ πρὸς μόνους τοὺς Ἀρειομανίτας ἔχουσι τὴν σύγκρισιν, ἀλλήλοις εἰς τὴν αὐτὴν ἀσέβειαν συμπίπτοντες. Ἰουδαῖοι μὲν γὰρ βλέποντες διὰ τοῦ Υἱοῦ τὰ τοῦ Πατρὸς ἔργα, τῷ Βεελζεβοὺλ ἀνατιθέασιν αὐτά· Ἀρειανοὶ δέ, καὶ αὐτοὶ τὰ αὐτὰ βλέποντες ἔργα, τοῖς κτίμασι συναριθμοῦσι τὸν ταῦτα ποιοῦντα Κύριον, φάσκοντες ἐξ οὐκ ὄντων αὐτὸν εἶναι· καί, οὐκ ἦν, πρὶν γένηται. Καὶ οἱ μὲν Φαρισαῖοι θεωροῦντες τὸν Κύριον ἐν σώματι διεγόγγυζον λέγοντες· «Διὰ τί σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν;[3]» οἱ δὲ Χριστομάχοι, βλέποντες αὐτὸν πάσχοντα καὶ κοιμώμενον, βλασφημοῦσι λέγοντες· Ὁ ταῦτα ὑπομένων οὐ δύναται Θεὸς ἀληθινὸς καὶ ὁμοούσιος εἶναι τοῦ Πατρός. Καὶ ἄλλως ἄν τις ἐξετάζειν ἐκ παραλλήλου βούλοιτο τὰς ἀμφοτέρων κακονοίας, εὑρήσει, καθὰ προεῖπον, εἰς

1. Δαν. (Βὴλ καὶ Δρ. 5). 2. Πρβλ. Ἔξ. 8, 15, 3. Ἰω. 10, 33.

τὴν κοιλάδα τῆς ἀλυκῆς[1] παροινίας συμπίπτοντας αὐτοὺς ἀλλήλοις.

23. Διὰ τοῦτο γὰρ κἀκείνοις καὶ τούτοις ἀσύγγνωστον ἔσεσθαι τὴν ἐπὶ τοῖς τοιούτοις τιμωρίαν ὁ Κύριος ἀπεφήνατο λέγων· «Ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι.[2]» Καὶ εἰκότως γε· ὁ γὰρ ἀρνούμενος τὸν Υἱόν, τίνα παρακαλῶν, ἱλασμὸν δυνήσεται ἔχειν; ἢ ποίαν ζωήν, ἢ ἀνάπαυσιν προσδοκήσει, ὁ ἀπωσάμενος τὸν λέγοντα· «Ἐγώ εἰμι ἡ ζωή;[3]» καί, «Δεῦτε πρός μέ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς;[4]» Τούτων δὲ οὕτω διδόντων δίκας, δῆλον ἂν εἴη, ὡς οἱ εὐσεβοῦντες εἰς τὸν Χριστόν, καὶ τὸ κατὰ σαρκα καὶ τὸ κατὰ Πνεῦμα προσκυνοῦντες αὐτοῦ, καὶ μήτε Υἱὸν Θεοῦ αὐτὸν ἀγνοοῦντες, μήτε ὅτι καὶ Υἱὸς ἀνθρώπου γέγονεν ἀρνούμενοι· ἀλλὰ καὶ πιστεύοντες, ὅτι «Ἐν ἀρχῇ ἦν ὁ Λόγος[5]», καί, «ὁ Λόγος σὰρξ ἐγένετο[6]», βασιλεύσουσιν αἰωνίως ἐν τοῖς οὐρανοῖς κατὰ τὰς ἁγίας ἐπαγγελίας αὐτοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος· «Ἀπελεύσονται μὲν ἐκεῖνοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.[7]» Ταῦτά σοι συντόμως, ἐξ ὧν ἔμαθον, ἔγραψα. Σὺ δὲ μὴ ὡς τελείαν διδασκαλίαν, ἀλλὰ μόνην ἀφορμὴν ταῦτα παρ' ἐμοῦ λάμβανε· καὶ λοιπὸν σαυτῷ τὴν ἀκριβεστέραν διάνοιαν ἔκ τε τοῦ εὐαγγελικοῦ ῥητοῦ καὶ τῶν Ψαλμῶν ἀναλαμβάνων, δέσμευε τὰ τῆς ἀληθείας δράγματα· ἵνα καί, σοῦ ταῦτα φέροντος, εἴπωσιν οἱ λέγοντες· «Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν[8]», ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Γεν. 14, 8. 2. Ματθ. 12, 32. 3. Ἰω. 14, 6. 4. Ματθ. 11, 28. 5. Ἰω. 1, 1. 6. Ἰω. 1, 14. 7. Ματθ. 25, 46. 8. Ψαλμ. 125,6.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΕΠΙΚΤΗΤΟΝ ΚΟΡΙΝΘΟΥ, ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΤΙΚΩΝ ΕΠΙΣΤΟΛΗ *

Κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ἐπικτήτῳ· Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

1. Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάντων, ὅσοι δηποτοῦν εἰσιν αἱρετικοὶ πεπαῦσθαι ἐκ τῆς γενομένης ἐν Νικαίᾳ συνόδου· ἡ γὰρ ἐν αὐτῇ παρὰ τῶν Πατέρων κατὰ τὰς θείας Γραφὰς ὁμολογηθεῖσα πίστις αὐτάρκης ἐστὶ πρὸς ἀνατροπὴν μὲν πάσης ἀσεβείας, πρὸς σύστασιν δὲ τῆς εὐσεβοῦς ἐν Χριστῷ πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν διαφόρων γενομένων συνόδων ἔν τε τῇ Γαλλίᾳ, καὶ Σπανίᾳ, καὶ τῇ μεγάλῃ Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν ἔτι κρυπτομένους καὶ φρονοῦντας τὰ Ἀρείου, Αὐξέντιον δὴ λέγω τὸν ἐν Μεδιολάνῳ, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, καὶ Γάϊον ἀπὸ τῆς Πανονίας, παμψηφεί, ὡς ἀφ' ἑνὸς Πνεύματος κινούμενοι, ἀνεθεμάτισαν· ἔγραψάν τε πανταχοῦ (διὰ τὸ τοὺς τοιούτους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων), μηδεμίαν ἐν τῇ Καθολικῇ Ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ μόνην τὴν ἐν Νικαίᾳ σύνοδον γενομένην, τρόπαιον οὖσαν πάσης μὲν αἱρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς, δι' ἣν μάλιστα καὶ ἡ σύνοδος τότε συνήχθη. Πῶς τοίνυν ἔτι μετὰ τοσαῦτα ἀμφισβητεῖν, ἢ ζητεῖν τινες ἐπιχειροῦσιν; Εἰ μὲν οὖν ἐκ τῶν Ἀρειανῶν εἰσίν, οὐδὲν θαυμαστόν, εἰ τὰ κατ' αὐτῶν γραφέντα διαβάλλουσιν, ὥσπερ Ἕλληνες ἀκούοντες· «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων [1]», μωρίαν ἡγοῦνται τὴν περὶ τοῦ θείου σταυροῦ διδασκαλίαν· εἰ δὲ τῶν δοκούντων ὀρθῶς πιστεύειν καὶ ἀγαπᾶν τὰ δηλωθέντα παρὰ τῶν Πατέρων εἰσὶν οἱ διὰ τοῦ ζητεῖν ἀνασκευάζειν θέλοντες, οὐδὲν ἕτερον ποιοῦσιν ἢ κατὰ τὸ γεγραμμένον, τὸν μὲν πλησίον ποτίζουσιν ἀνατροπὴν θολεράν [2], λογομαχοῦσι δὲ ἐπ' οὐδενὶ χρησίμῳ ἢ ἐπὶ καταστροφῇ τῶν ἀκεραίων.

2. Ταῦτα δὲ οὕτω γράφω, ἐντυχὼν τοῖς παρὰ τῇ σῇ θεοσεβείᾳ προσαχθεῖσιν ὑπομνήμασιν, ἃ μηδὲ γραφῆναι ὤφελον, ἵνα μηδὲ μνή-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologia Cursus Completus. Series Graeca, τ. 26, σ. 1049-1069.

1. Ψαλμ. 113, 12. 2. Ἀββ. 2, 15.

μη τις τούτων τοῖς μετὰ ταῦτα γένηται. Τίς γὰρ ἤκουσε τοιαῦτα πώποτε; τίς ὁ διδάξας, ἢ μαθών, Ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται νόμος Θεοῦ, καὶ Λόγος Κυρίου ἐξ Ἱερουσαλήμ·[1] ταῦτα δέ, πόθεν ἐξῆλθε; Ποῖος ᾅδης ἠρεύξατο ὁμοούσιον εἰπεῖν τὸ ἐκ Μαρίας σῶμα τῇ τοῦ Λόγου θεότητι; ἤ, ὅτι ὁ Λόγος εἰς σάρκα καὶ ὀστέα, καὶ τρίχας, καὶ ὅλον σῶμα μεταβέβληται, καὶ ἠλλάγη τῆς ἰδίας φύσεως; Τίς δὲ ἤκουσεν ἐν Ἐκκλησίᾳ, ἢ ὅλως παρὰ Χριστιανῶν, ὅτι θέσει καὶ οὐ φύσει σῶμα πεφόρηκεν ὁ Κύριος; Ἢ τίς τοσοῦτον ἠσέβησεν, ὥστε εἰπεῖν ἅμα καὶ φρονεῖν, ὅτι ἡ θεότης αὐτὴ ἡ ὁμοούσιος τῷ Πατρὶ περιετμήθη καὶ ἀτελὴς ἐκ τελείου γέγονεν· καὶ ὅτι τὸ ἐν ξύλῳ καθηλούμενον, οὐκ ἦν τὸ σῶμα, ἀλλ' αὐτὴ ἡ δημιουργὸς οὐσία τῆς σοφίας: Τίς δὲ ἀκούων, ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς ἑαυτοῦ οὐσίας, μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ Λόγος, εἴποι ἂν Χριστιανὸν τὸν λέγοντα ταῦτα: Τίς δὲ τὴν ἀθέμιτον ταύτην ἐπενόησεν ἀσέβειαν, ὥστε κἂν εἰς ἐνθύμησιν ἐλθεῖν, καὶ εἰπεῖν, ὅτι ὁ λέγων ἐκ Μαρίας εἶναι τὸ Κυριακὸν σῶμα οὐκέτι τριάδα, ἀλλὰ τετράδα ἐν τῇ θεότητι φρονεῖ; ὡς διὰ τοῦτο τοὺς οὕτω διακειμένους τῆς οὐσίας τῆς Τριάδος λέγειν εἶναι τὴν σάρκα, ἣν ἐνεδύσατο ἐκ Μαρίας ὁ Σωτήρ. Πόθεν δὲ πάλιν ἠρεύξαντό τινες ἴσην ἀσέβειαν τοῖς προειρημένοις, ὥστε εἰπεῖν μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος, ἀλλὰ συναΐδιον αὐτῷ διαπαντὸς γεγενῆσθαι, ἐπειδὴ ἐκ τῆς οὐσίας τῆς σοφίας συνέστη; Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοί, εἰ ὁ ἐκ Μαρίας προελθὼν Κύριος Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ φύσει τοῦ Θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαυΐδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας; Τίνες δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι Κύριον, καὶ Σωτῆρα, καὶ Θεόν, καὶ Υἱὸν τοῦ Πατρός; Ἢ πῶς Χριστιανοὶ θέλουσι ὠνομάσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν Λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστόν, καὶ ἕτερον τὸν τοῦ Θεοῦ Λόγον, τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων Υἱὸν ὄντα τοῦ Πατρός; Ἢ πῶς εἶναι χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν Υἱὸν καὶ ἄλλον τὸν τοῦ Θεοῦ Λόγον;

3. Ταῦτα ἦν ἐν τοῖς Ὑπομνήμασι, διαφόρως μὲν εἰρημένα, μίαν δὲ τὴν διάνοιαν καὶ τὴν αὐτὴν ἔχοντα πρὸς ἀσέβειαν βλέπουσαν δύναμιν. Διὰ ταῦτα διεκρίνοντο καὶ διεμάχοντο πρὸς ἀλλήλους οἱ αὐχοῦντες ἐπὶ τῇ ὁμολογίᾳ τῶν Πατέρων τῇ ἐν Νικαίᾳ γενομένῃ. Ἐγὼ δέ, τὴν σὴν ἐθαύμασα θεοσέβειαν ἀνασχομένην, καὶ ὅτι μὴ τούτους ἔπαυσε μὲν ταῦτα λέγοντας, τὴν δὲ εὐσεβῆ πίστιν παρέθηκεν αὐτοῖς· ἵνα ἢ ἀκούσαντες ἠρεμήσωσιν, ἢ ἀντιλέγοντες ὡς αἱρετικοὶ νομισθῶσι. Τὰ γὰρ εἰρημένα οὔτε λεκτὰ οὔτε ἀκουστὰ παρὰ Χριστιανοῖς, ἀλλὰ ἀλλότρια

1. Ἠσ. 2, 3.

καὶ πάντα τρόπον τῆς ἀποστολικῆς διδασκαλίας. Διὰ τοῦτο γοῦν κἀγὼ τὰ παρ' ἐκείνων, ὡς προείρηται, ἐγγραφῆναι γυμνῶς πεποίηκα τῇ ἐπιστολῇ, ἵνα καὶ μόνον ὁ ἀκούων θεωρῇ τὴν ἐν αὐτοῖς αἰσχύνην καὶ ἀσέβειαν. Καὶ εἰ καὶ ἔδει διὰ πλειόνων κατηγορεῖν καὶ διελέγχειν τὴν ἀφροσύνην τῶν διὰ τοιαῦτα νοησάντων· ἀλλὰ καλὸν ἕως τούτων εἶναι τὴν ἐπιστολήν, καὶ μηδὲν πλεῖον γράφειν· τὰ γὰρ οὕτω φανερῶς δεικνύμενα φαῦλα γυμνάζειν ἐπὶ πλεῖον καὶ περιεργάζεσθαι οὐ δεῖ, ἵνα μὴ τοῖς φιλονεικοῦσιν ὡς ἀμφίβολα νομισθῇ· ἢ τοῦτο μόνον ἀποκρίνασθαι πρὸς τὰ τοιαῦτα, καὶ εἰπεῖν· Ἀρκεῖ, ὅτι οὐκ ἔστι ταῦτα τῆς Καθολικῆς Ἐκκλησίας, οὐδὲ ταῦτα οἱ Πατέρες ἐφρόνησαν. Ἵνα δὲ μὴ ἐκ τῆς τέλεον σιωπῆς πρόφασιν ἀναισχυντίας ἑαυτοῖς οἱ τῶν κακῶν ἐφευρεταὶ πορίσωνται, καλὸν ἐκ τῶν θείων Γραφῶν ὀλίγα μνημονεῦσαι· τάχα κἂν οὕτως αἰδεσθέντες παύσωνται ἀπὸ τῶν ῥυπαρῶν τούτων ἐπινοιῶν.

4. Πόθεν ὑμῖν ἐπῆλθεν εἰπεῖν, ὦ οὗτοι, ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος (ἀπὸ γὰρ τούτου καλόν ἐστιν ἄρξασθαι, ἵνα, τούτου δεικνυμένου σαθροῦ, καὶ πάντα τὰ ἄλλα τοιαῦτα δειχθῇ); Ἀπὸ μὲν οὖν τῶν θείων Γραφῶν οὐκ ἔστιν εὑρεῖν, Θεὸν γὰρ ἐν ἀνθρωπίνῳ σώματι λέγουσι γεγονέναι. Ἀλλὰ γὰρ καὶ οἱ Πατέρες, οἱ ἐν Νικαίᾳ συνελθόντες οὐ τὸ σῶμα, ἀλλ' αὐτὸν τὸν Υἱὸν ὁμοούσιον εἰρήκασι τοῦ Πατρός, καὶ τοῦτον μὲν ἐκ τῆς οὐσίας τοῦ Πατρός, τὸ δὲ σῶμα ἐκ Μαρίας ὡμολόγησαν εἶναι πάλιν κατὰ τὰς Γραφάς. Ἢ τοίνυν ἀρνήσασθε τὴν ἐν Νικαίᾳ σύνοδον, καὶ ὡς αἱρετικοὶ παρεισφέρετε ταῦτα· ἤ, εἰ βούλεσθε τέκνα τῶν Πατέρων εἶναι, μὴ φρονεῖτε παρ' ἐκεῖνα, ἅπερ ἔγραψαν αὐτοί. Καὶ γὰρ καὶ ἐκ τούτου τὸ ἄτοπον θεωρεῖν ὑμᾶς ἔξεστιν· εἰ ὁμοούσιος ὁ Λόγος τῷ σώματι ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ ὁ Λόγος τῷ Πατρὶ κατὰ τὴν τῶν Πατέρων ὁμολογίαν· ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ Πατὴρ τῷ σώματι τῷ ἐκ γῆς γενομένῳ. Καὶ τί ἔτι μέμφεσθε τοῖς Ἀρειανοῖς λέγουσι τὸν Υἱὸν κτίσμα, λέγοντες αὐτοὶ καὶ τὸν Πατέρα ὁμοούσιον τοῖς κτίσμασι; καὶ εἰς ἑτέραν ἀσέβειαν μετερχόμενοι, φάσκοντες εἰς σάρκα, καὶ ὀστέα, καὶ τρίχας, καὶ νεῦρα, καὶ ὅλον τὸ σῶμα μεταβεβλῆσθαι τὸν Λόγον, καὶ ἠλλάχθαι τῆς ἰδίας φύσεως. Ὥρα γὰρ ὑμᾶς φανερῶς εἰπεῖν ἐκ γῆς αὐτὸν γεγενῆσθαι· ἐκ γῆς γὰρ τῶν ὀστέων καὶ ὅλου τοῦ σώματος φύσις. Τίς οὖν ἡ τοσαύτη παραφροσύνη, ἵνα καὶ πρὸς ἑαυτοὺς διαμάχησθε; ὁμοούσιον μὲν γὰρ λέγοντες τὸν Λόγον τῷ σώματι, ἕτερον πρὸς ἕτερον σημαίνετε· τὸ δὲ εἰς σάρκα μεταβεβλῆσθαι αὐτοῦ τοῦ Λόγου τροπὴν φαντάζεσθε. Καὶ τίς ἔτι λοιπὸν ὑμῶν ἀνέξεται ταῦτα καὶ μόνον φθεγγομένων; Πάσης γὰρ αἱρέσεως πλέον εἰς ἀσέβειαν ἐξεκλίνατε. Εἰ γὰρ ὁμοούσιος ὁ Λόγος τῷ σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη καὶ ἡ χρεία, δυναμένου τοῦ σώματος εἶναι καὶ πρὸ Μαρίας ἀΐδιος, ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ Λόγος· εἴ γε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῷ σώματι. Τὶς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ Λόγου, ἵνα

ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται, ἢ τραπεὶς ἀπὸ τῆς ἰδίας φύσεως, σῶμα γένηται; Οὐ γὰρ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον ἑαυτῆς ἐνδύσηται. Ἀλλ' οὐδὲ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος Λόγος, ἵνα, τραπεὶς εἰς σῶμα ἑαυτὸν ὑπὲρ ἑαυτοῦ εἰς θυσίαν προσενέγκῃ, καὶ ἑαυτὸν λυτρώσηται.

5. Ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο! Σπέρματος γὰρ Ἀβραὰμ ἐπιλαμβάνεται, ὡς εἶπεν ὁ Ἀπόστολος· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι [1], καὶ λαβεῖν ὅμοιον ἡμῖν σῶμα. Διὰ τοῦτο γοῦν καὶ ὑπόκειται ἀληθῶς ἡ Μαρία, ἵν' ἐξ αὐτῆς τοῦτο λάβῃ, καὶ ὡς ἴδιον ὑπὲρ ἡμῶν αὐτὸ προσενέγκῃ. Καὶ ταύτην ὁ μὲν Ἡσαΐας προφητεύων, ἐδείκνυε λέγων· «Ἰδοὺ ἡ Παρθένος· [2]» ὁ δὲ Γαβριὴλ ἀποστέλλεται πρὸς αὐτὴν οὐχ ἁπλῶς πρὸς παρθένον, Ἀλλὰ «πρὸς παρθένον μεμνηστευμένην ἀνδρί· [3]» ἵν' ἐκ τοῦ μνηστῆρος δείξῃ τὴν Μαρίαν ἀληθῶς ἄνθρωπον οὖσαν. Διὸ καὶ τοῦ τίκτειν μνημονεύειν ἡ Γραφή, καί φησιν· «Ἐσπαργάνωσε· [4]» καὶ ἐμακαρίζοντο μαστοί, οὓς ἐθήλασε [5], καὶ προσηνέχθη θυσία, ὡς διανοίξαντος τοῦ τεχθέντος τὴν μήτραν· [6] ταῦτα δὲ πάντα, τικτούσης ἦν Παρθένου γνωρίσματα. Καὶ ὁ Γαβριὴλ δὲ ἀσφαλῶς εὐηγγελίζετο αὐτῇ, λέγων οὐχ ἁπλῶς, τὸ γεννώμενον ἐν σοί, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῇ σῶμα νομισθῇ· ἀλλ' ἐκ σοῦ, ἵν' ἐξ αὐτῆς τὸ γεννώμενον εἶναι πιστευθῇ, φανερῶς καὶ τοῦτο τῆς φύσεως δεικνυούσης, ὡς ἀδύνατον παρθένον φέρειν γάλα μὴ τεκοῦσαν, καὶ ἀδύνατον γάλακτι τραφῆναι σῶμα καὶ σπαργανωθῆναι, μὴ πρότερον φύσει τεχθέν. Τοῦτό ἐστι τὸ περιτμηθὲν ὀκταήμερον· τοῦτο Συμεὼν εἰς τὰς ἀγκάλας ἐδέξατο· τοῦτο γέγονε παιδίον καὶ ηὔξησε, δωδεκαετὲς γενόμενον [7], καὶ εἰς τὸν τριακοστὸν ἐνιαυτὸν ἦλθεν.[8] Οὐ γάρ, ὥς τινες ὑπενόησαν, ἡ οὐσία αὕτη τοῦ Λόγου τραπεῖσα περιετμήθη· ἀναλλοίωτος οὖσα καὶ ἄτρεπτος· λέγοντος μὲν αὐτοῦ τοῦ Σωτῆρος, «Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι· [9]» τοῦ δὲ Παύλου γράφοντος· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας· [10]» ἀλλ' ἐν τῷ περιτμηθέντι σώματι, καὶ βασταχθέντι, καὶ φαγόντι, καὶ πιόντι καὶ καμόντι, καὶ ἐν ξύλῳ καθηλωθέντι, καὶ παθόντι ἦν ὁ ἀπαθὴς καὶ ἀσώματος τοῦ Θεοῦ Λόγος. Τοῦτο ἦν τὸ ἐν μνημείῳ τεθέν, ὅτε αὐτὸς ἐπορεύθη, μὴ χωρισθεὶς αὐτοῦ, κηρῦξαι καὶ «τοῖς ἐν φυλακῇ πνεύμασιν [11]», ὡς εἶπεν ὁ Πέτρος.

6. Ὃ μάλιστα δείκνυσι τὴν ἄνοιαν τῶν λεγόντων, εἰς ὀστέα καὶ σάρκα τετράφθαι τὸν Λόγον. Εἰ γὰρ τοῦτο ἦν, οὐκ ἦν χρεία μνημείου· αὐτὸ γὰρ ἂν ἐπορεύθη δι' ἑαυτοῦ τὸ σῶμα, κηρῦξαι τοῖς ἐν τῷ ᾄδῃ πνεύματι. Νῦν δὲ αὐτὸς μὲν ἐπορεύθη κηρῦξαι, τὸ δὲ σῶμα εἱλίξας

---

1. Ἑβρ. 2, 16-17. 2. Ἡσ. 7, 14. 3. Λουκ. 1, 27. 4. Λουκ. 2, 7. 5. Πρβλ. Λουκ. 11, 27. 6. Πρβλ. Λουκ. 2, 23. 7. Πρβλ. Λουκ. 2, 21-42. 8. Πρβλ. Λουκ. 3, 23. 9. Μαλ. 3, 6. 10. Ἑβρ. 13, 8. 11. Α' Πέτρ. 3, 19.

ὁ Ἰωσὴφ σινδόνι[1], ἀπέθετο ἐν τῷ Γολγοθᾷ· καὶ δέδεικται πᾶσιν, ὅτι μὴ τὸ σῶμα ἦν ὁ Λόγος, ἀλλὰ σῶμα ἦν τοῦ Λόγου. Καὶ τοῦτο Θωμᾶς ἀναστὰν ἐκ νεκρῶν ἐψηλάφησε, καὶ εἶδεν ἐν αὐτῷ τοὺς τύπους τῶν ἥλων[2], οὓς ἐπέμεινεν αὐτὸς ὁ Λόγος, ὁρῶν καθηλουμένους ἐν τῷ ἰδίῳ σώματι, καί, δυνάμενος κωλύειν, οὐκ ἐκώλυσεν· ἀλλὰ καὶ ἰδιοποιεῖτο τὰ τοῦ σώματος ἴδια, ὡς ἑαυτοῦ ὁ Λόγος ὁ ἀσώματος. Ἀμέλει τοῦ σώματος τυπτομένου παρὰ τοῦ ὑπηρέτου, ὡς αὐτὸς πάσχων ἔλεγε· «Τί με δέρεις;[3]» Καὶ ἄψαυστος ὢν ὁ Λόγος τῇ φύσει, ὅμως ἔλεγε· «Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.[4]» Ἃ γὰρ τὸ ἀνθρώπινον ἔπασχε σῶμα τοῦ Λόγου, ταῦτα, συνὼν αὐτῷ ὁ Λόγος, εἰς ἑαυτὸν ἀνέφερεν, ἵνα τῆς τοῦ Λόγου θεότητος μετασχεῖν δυνηθῶμεν. Καὶ ἦν παράδοξον, ὅτι αὐτὸς ἦν ὁ πάσχων καὶ μὴ πάσχων· πάσχων μέν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπασχε σῶμα, καὶ ἐν αὐτῷ τῷ πάσχοντι ἦν· μὴ πάσχων δέ, ὅτι τῇ φύσει Θεὸς ὢν ὁ Λόγος, ἀπαθής ἐστι. Καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι· τὸ δὲ σῶμα εἶχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ Λόγον, ἀφανίζοντα αὐτοῦ τοῦ σώματος τὰς ἀσθενείας. Ἐποίει δὲ τοῦτο καὶ ἐγένετο οὕτως, ἵνα, τὰ ἡμῶν αὐτὸς δεχόμενος, καὶ προσενεγκὼν εἰς θυσίαν, ἐξαφανίσῃ, καὶ λοιπὸν τοῖς ἑαυτοῦ περιβαλὼν ἡμᾶς, ποιήσῃ τὸν Ἀπόστολον εἰπεῖν· «Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.[5]»

7. Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο! ὥς τινες πάλιν ὑπέλαβον· ἀλλ' ὄντως ἀληθείᾳ ἀνθρώπου γενομένου τοῦ Σωτῆρος, ὅλου τοῦ ἀνθρώπου σωτηρία ἐγίνετο. Εἰ γὰρ θέσει ἦν ἐν τῷ σώματι ὁ Λόγος, κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστί, δοκήσει εὑρίσκεται καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. Ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου τοῦ ἀνθρώπου, ψυχῆς καὶ σώματος ἀληθῶς, ἡ σωτηρία γέγονεν ἐν αὐτῷ τῷ Λόγῳ. Ἀνθρώπινον ἄρα φύσει τὸ ἐκ τῆς Μαρίας κατὰ τὰς θείας Γραφάς, καὶ ἀληθινὸν ἦν τὸ σῶμα τοῦ Κυρίου· ἀληθινὸν δὲ ἦν, ἐπεὶ ταυτὸν ἦν τῷ ἡμετέρῳ· ἀδελφὴ γὰρ ἡμῶν ἡ Μαρία, ἐπεὶ καὶ πάντες ἐκ τοῦ Ἀδὰμ ἐσμεν. Καὶ τοῦτο οὐκ ἄν τις ἀμφιβάλλοι, μνησθεὶς ὧν ἔγραψεν ὁ Λουκᾶς. Μετὰ γὰρ τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν, δοκούντων τινῶν μὴ ἐν τῷ ἐκ Μαρίας σώματι βλέπειν τὸν Κύριον, ἀλλὰ ἀντὶ τούτου πνεῦμα θεωρεῖν, ἔλεγεν· «Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, καὶ τοὺς τύπους τῶν ἥλων, ὅτι ἐγώ εἰμι αὐτός. Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπών, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.[6]» Ἐξ

1. Πρβλ. Μάρκ. 15, 46. 2. Πρβλ. Ἰω. 20, 15. 3. Ἰω. 18, 23. 4. Ἡσ. 50, 6. 5. Α' Κορ. 15, 53. 6. Λουκ. 24, 39-40.

ὧν καὶ ἐλέγχεσθαι δύνανται πάλιν οἱ τολμήσαντες εἰπεῖν εἰς σάρκα καὶ ὀστέα ἠλλοιῶσθαι τὸν Κύριον. Οὐ γὰρ εἶπε· Καθὼς ἐμὲ θεωρεῖτε σάρκα καὶ ὀστᾶ ὄντα, ἀλλ' ἔχοντα· ἵνα μὴ αὐτὸς ὁ Λόγος, εἰς ταῦτα τραπεὶς νομισθῇ, ἀλλ' αὐτὸς ἔχων αὐτὰ καὶ πρὸ τοῦ θανάτου καὶ μετὰ τὴν ἀνάστασιν εἶναι πιστευθῇ.

8. Τούτων δὲ οὕτως ἐχόντων τὴν ἀπόδειξιν, περιττὸν ἔτι τῶν ἄλλων ἅπτεσθαι, καὶ γυμνάζειν τι περὶ αὐτῶν τοῦ σώματος, ἐν ᾧ ἦν ὁ Λόγος, μὴ ὄντος ὁμοουσίου τῇ θεότητι, ἀλλ' ἐκ Μαρίας ἀληθῶς τεχθέντος· καὶ αὐτοῦ δὲ τοῦ Λόγου μὴ τραπέντος εἰς ὀστέα καὶ σάρκα, ἀλλ' ἐν σαρκὶ γενομένου. Τὸ γὰρ παρὰ τῷ Ἰωάννῃ λεγόμενον· «Ὁ Λόγος σὰρξ ἐγένετο [1]», ταύτην ἔχει τὴν διάνοιαν, καθὼς καὶ ἐκ τοῦ ὁμοίου τοῦτο δυνατὸν εὑρεῖν· γέγραπται γὰρ παρὰ τῷ Παύλῳ· «Χριστὸς ὑπὲρ ἡμῶν γέγονε κατάρα.[2]» Καὶ ὥσπερ οὐκ αὐτὸς γέγονε κατάρα, ἀλλ' ὅτι τὴν ὑπὲρ ἡμῶν ἀνεδέξατο κατάραν, εἴρηται κατάρα γεγονέναι· οὕτω καὶ σὰρξ γέγονεν οὐ τραπεὶς εἰς σάρκα, ἀλλ' ὅτι σάρκα ζῶσαν ὑπὲρ ἡμῶν ἀνέλαβε, καὶ γέγονεν ἄνθρωπος. Καὶ γὰρ τὸ εἰπεῖν· «Ὁ Λόγος σὰρξ ἐγένετο», ἴσον πάλιν ἐστὶν εἰπεῖν· «Ὁ Λόγος ἄνθρωπος γέγονε», κατὰ τὸ εἰρημένον ἐν τῷ Ἰωήλ· «Ἐκχεῶ ἀπὸ τὸ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·[3]» οὐ γὰρ ἕως τῶν ἀλόγων ζῴων ἦν ἡ ἐπαγγελία, ἀλλ' εἰς ἀνθρώπους ἐστίν, ὧν ἕνεκα καὶ ἄνθρωπος γέγονεν ὁ Κύριος. Τούτου δὲ τοῦ ῥητοῦ ταύτην ἔχοντος τὴν ἔννοιαν, εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίσαντες πρὸ τῆς Μαρίας εἶναι τὴν ἐξ αὐτῆς σάρκα, καὶ πρὸ ταύτης τινὰ ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν Λόγον, καὶ ἐν αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι. Παύσονται δὲ καὶ οἱ εἰπόντες μὴ εἶναι δεκτικὴν θανάτου τὴν σάρκα, ἀλλὰ τῆς ἀθανάτου φύσεως εἶναι ταύτην. Εἰ γὰρ μὴ ἀπέθανε, πῶς ὁ Παῦλος παρεδίδου Κορινθίοις, ὃ καὶ παρέλαβεν· «Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς;[4]» Πῶς δὲ ὅλως καὶ ἀνέστη, εἰ μὴ καὶ ἀπέθανεν; Ἐρυθριάσουσι δὲ μεγάλως οἱ ὅλως ἐνθυμηθέντες δύνασθαι ἀντὶ τῆς Τριάδος γενέσθαι τετράδα, εἰ λέγοιτο ἐκ Μαρίας εἶναι τὸ σῶμα. Ὁμοούσιον γὰρ ἐὰν εἴπωμεν, φασί, τὸ σῶμα τῷ Λόγῳ, μένει ἡ Τριὰς Τριάς, οὐδὲν ξένον εἰς αὐτὴν ἐπιφερομένου τοῦ Λόγου· ἐὰν δὲ ἀνθρώπινον εἴπωμεν τὸ ἐκ Μαρίας σῶμα, ἀνάγκη, ξένου ὄντος κατ' οὐσίαν τοῦ σώματος, καὶ ὄντος ἐν αὐτῷ τοῦ Λόγου, τετρὰς ἀντὶ Τριάδος γίνεται διὰ τὴν τοῦ σώματος προσθήκην.

9. Ταῦτα οὕτω λέγοντες, οὐ νοοῦσιν, ὅπως ἑαυτοῖς περιπίπτουσι. Καὶ γὰρ κἂν μὴ ἐκ Μαρίας λέγωσι τὸ σῶμα, ἀλλὰ ὁμοούσιον αὐτὸ τῷ Λόγῳ, οὐδὲν ἧττον (ὅπερ ὑποκρίνονται, μὴ ἄρα ὥσπερ φρονοῦντες νομισθῶσι) τοῦτο κατὰ τὴν αὐτῶν ἔννοιαν δειχθήσονται λέγοντες τετράδα. Ὡς γὰρ ὁ Υἱὸς κατὰ τοὺς Πατέρας, ὁμοούσιος ὢν τῷ Πατρί, οὐκ ἔστιν αὐτὸς ὁ Πατήρ, ἀλλὰ Υἱὸς πρὸς Πατέρα λέγεται

1. Ἰω. 1, 14. 2. Γαλ. 3, 13. 3. Ἰωὴλ 2, 28. 4. Α' Κορ. 15, 3.

ὁμοούσιος· οὕτω τὸ ὁμοούσιον σῶμα τοῦ Λόγου οὐκ ἔστιν αὐτὸς ὁ Λόγος, ἀλλ' ἕτερον πρὸς τὸν Λόγον· ἑτέρου δὲ ὄντος, κατ' αὐτοὺς ἔσται ἡ αὐτῶν Τριὰς τετράς. Οὐ γὰρ ἡ ἀληθινή, καὶ ὄντως τελεία, καὶ ἀδιαίρετος Τριὰς δέχεται προσθήκην, ἀλλ' ἡ παρὰ τούτων ἐπινενοημένη. Καὶ πῶς ἔτι Χριστιανοί, οἱ ἕτερον παρὰ τὸν ὄντα Θεὸν ἐπινοοῦντες; Πάλιν γὰρ καὶ ἐν τῷ ἑτέρῳ αὐτῶν σοφίσματι πολλὴν τὴν ἀφροσύνην ἔξεστιν ὁρᾶν· εἰ, διὰ τὸ εἶναι καὶ λέγεσθαι ἐν ταῖς Γραφαῖς, ἐκ Μαρίας εἶναι καὶ ἀνθρώπινον τὸ σῶμα τοῦ Σωτῆρος, νομίζουσιν ἀντὶ Τριάδος τετράδα λέγεσθαι, ὡς προσθήκης γινομένης διὰ τὸ σῶμα, πολὺ πλανῶνται τὸ ποίημα συνεξισοῦντες τῷ ποιητῇ, καὶ ὑπονοοῦντες δύνασθαι τὴν θεότητα προσθήκην λαμβάνειν· καὶ ἠγνόησαν, ὅτι οὐ διὰ προσθήκην θεότητος γέγονε σὰρξ ὁ Λόγος, ἀλλ' ἵνα ἡ σὰρξ ἀναστῇ· οὐδὲ ἵνα βελτιωθῇ ὁ Λόγος, προῆλθεν ἐκ Μαρίας, ἀλλ ἵνα τὸ τῶν ἀνθρώπων γένος λυτρώσηται. Πῶς οὖν οἴονται τὸ διὰ τοῦ Λόγου λυτρωθὲν σῶμα καὶ ζωοποιηθὲν προσθήκην εἰς θεότητα τῷ Λόγῳ τῷ ζωοποιήσαντι ποιεῖν; μᾶλλον γὰρ αὐτῷ τῷ ἀνθρωπίνῳ σώματι προσθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ Λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως· ἀπὸ γὰρ θνητοῦ γέγονεν ἀθάνατον· καὶ ψυχικὸν ὄν, γέγονε πνευματικὸν καὶ ἐκ γῆς γενόμενον, τὰς οὐρανίους διέβη πύλας. Ἡ μέντοι Τριάς, καὶ λαβόντος ἐκ Μαρίας σῶμα τοῦ Λόγου, Τριάς ἐστιν, οὐ δεχομένη προσθήκην, οὐδὲ ἀφαίρεσιν· ἀλλ' ἀεὶ τελεία ἐστί, καὶ ἐν Τριάδι μία θεότης γινώσκεται, καὶ οὕτως ἐν τῇ Ἐκκλησίᾳ εἷς Θεὸς κηρύσσεται, ὁ τοῦ Λόγου Πατήρ.

10. Ἐκ δὴ τούτου σιωπήσουσι λοιπὸν καὶ οἱ ποτὲ εἰπόντες τὸν ἐκ Μαρίας προελθόντα μὴ εἶναι αὐτὸν τὸν Χριστόν, καὶ Κύριον, καὶ Θεόν. Εἰ γὰρ μὴ Θεὸς ἦν ἐν τῷ σώματι, πῶς εὐθὺς προελθὼν ἐκ Μαρίας ἐκλήθη Ἐμμανουήλ, «ὅ ἐστι μεθερμηνευόμενον Μεθ' ἡμῶν ὁ Θεός;[1]» Πῶς δὲ καὶ ὁ Παῦλος, εἰ μὴ ὁ Λόγος ἦν ἐν σαρκί, Ῥωμαίοις ἔγραφεν· «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν;[2]» Οὐκοῦν ὁμολογείτωσαν καὶ οἱ πρότερον ἀρνούμενοι τὸν ἐσταυρωμένον εἶναι Θεὸν ἐσφάλθαι, πειθόμενοι ταῖς θείαις Γραφαῖς· μάλιστα δὲ τῷ Θωμᾷ, ὅς, μετὰ τὸ ἰδεῖν ἐν αὐτῷ τοὺς τῶν ἥλων τύπους, ἀνεβόησεν· «Ὁ Κύριός μου καὶ ὁ Θεός μου.[3]» Θεὸς γὰρ καὶ Κύριος τῆς δόξης ὢν ὁ Υἱός, ἦν ἐν τῷ ἀδόξως καθηλουμένῳ καὶ ἀτιμαζομένῳ σώματι· τὸ δὲ σῶμα ἔπασχε μὲν νυττόμενον ἐν τῷ ξύλῳ, καὶ ἔρρεεν ἀπὸ τῆς τούτου πλευρᾶς αἷμα καὶ ὕδωρ· ναὸς δὲ τοῦ Λόγου τυγχάνον, πεπληρωμένον ἦν τῆς θεότητος. Διὰ τοῦτο γοῦν ὁ μὲν ἥλιος, ὁρῶν τὸν δημιουργὸν ἑαυτοῦ ἐν τῷ ὑβριζομένῳ σώματι ἀνεχόμενον, τὰς ἀκτῖνας συνέστειλε, καὶ ἐσκότισε τὴν γῆν· αὐτὸ δὲ τὸ σῶμα, φύσιν ἔχον θνητήν, ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀνέστη διὰ τὸν ἐν αὐτῷ Λόγον· καὶ πέπαυται μὲν τῆς κατὰ φύσιν φθορᾶς,

1. Ματθ. 1, 23. 2. Ῥωμ. 9, 5. 3. Ἰω. 20, 28.

ἐνδυσάμενον δὲ τὸν ὑπὲρ ἄνθρωπον Λόγον, γέγονεν ἄφθαρτον.

11. Περὶ δὲ τοῦ φαντάζεσθαί τινας καὶ λέγειν, ὅτι, ὥσπερ ἐφ' ἕκαστον τῶν προφητῶν ἐγίνετο, οὕτω καὶ ἐπὶ ἕνα τινὰ ἄνθρωπον ἐκ Μαρίας ἦλθεν οὕτω καὶ ἐπὶ ἕνα τινὰ ἄνθρωπον ἐκ Μαρίας ἦλθεν ὁ Λόγος, περιττόν ἐστι γυμνάζειν, φανερὰν ἐχούσης τῆς μανίας αὐτῶν τὴν κατάγνωσιν. Εἰ γὰρ οὕτως ἦλθε, διὰ τί οὗτος ἐκ Παρθένου, καὶ μὴ καὶ αὐτὸς ἐξ ἀνδρὸς καὶ γυναικός; Οὕτως γὰρ καὶ ἕκαστος τῶν ἁγίων ἐγεννήθη. Ἢ διὰ τί, οὕτως ἐλθόντος τοῦ Λόγου, οὐχ ὁ ἑκάστου θάνατος λέγεται ὑπὲρ ἡμῶν γεγενῆσθαι, ἀλλ' ὁ τούτου μόνος; Διὰ τί δέ, καθ' ἕκαστον τῶν προφητῶν ἐπιδημοῦντος τοῦ Λόγου, λέγεται ἐπὶ μόνου τοῦ ἐκ Μαρίας, ὡς ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐπιδημήσαντος; Ἢ διὰ τί, ἐλθόντος αὐτοῦ, ὡς ἦλθεν ἐν τοῖς ἔμπροσθεν ἁγίοις, οἱ μὲν ἄλλοι πάντες, ἀποθανόντες, οὔπω ἀνέστησαν, ὁ δὲ ἐκ Μαρίας μόνος τριήμερος ἀνέστη; Ἢ διὰ τί, ὁμοίως τοῖς ἄλλοις ἐλθόντος τοῦ Λόγου, λέγεται μόνος ὁ ἐκ Μαρίας Ἐμμανουήλ, ὡς σώματος πεπληρωμένου θεότητος, τεχθέντος ἐξ αὐτῆς; Τὸ γὰρ Ἐμμανουὴλ ἑρμηνεύεται, «Μεθ' ἡμῶν ὁ Θεός.» Ἢ διὰ τί, εἴπερ οὕτως ἦλθεν, ἐσθίοντος ἑκάστου τῶν ἁγίων, καὶ πίνοντος, καὶ κοπιῶντος, καὶ ἀποθνήσκοντος, οὐ λέγεται ὡς αὐτὸς ἐσθίων, καὶ πίνων, καὶ κοπιῶν, καὶ ἀποθνήσκων, ἀλλ' ἐπὶ μόνου τοῦ ἐκ Μαρίας; Ἃ γὰρ ἔπασχε τοῦτο τὸ σῶμα, ταῦτα ὡς αὐτοῦ πάσχοντος εἴρηται. Καὶ τῶν ἄλλων δὲ πάντων λεγομένων μόνον, ὅτι ἐτέχθησαν καὶ ἐγεννήθησαν, ἐπὶ τοῦ ἐκ Μαρίας μόνου εἴρηται· «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο».[1]

12. Ἐξ ὧν δείκνυται, ὅτι πρὸς μὲν τοὺς ἄλλους ἅπαντας γέγονεν ὁ Λόγος, τοῦ προφητεύειν χάριν· ἐκ δὲ Μαρίας αὐτὸς ὁ Λόγος, σάρκα λαβών, προῆλθεν ἄνθρωπος, τῇ μὲν φύσει καὶ τῇ οὐσίᾳ Λόγος ὢν τοῦ Θεοῦ, κατὰ δὲ σάρκα ἐκ σπέρματος Δαβὶδ καὶ τῆς σαρκὸς Μαρίας γενόμενος ἄνθρωπος, ὡς εἶπεν ὁ Παῦλος. Τοῦτον ὁ Πατὴρ ἐδείκνυε, καὶ ἐν Ἰορδάνῃ καὶ ἐν τῷ ὄρει λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.[2]» Τοῦτον οἱ μὲν Ἀρειανοὶ ἠρνήσαντο, ἡμεῖς δὲ ἐπιγινώσκοντες, προσκυνοῦμεν, οὐ διαιροῦντες τὸν Υἱὸν καὶ τὸν Λόγον, ἀλλ' αὐτὸν τὸν Λόγον εἰδότες εἶναι τὸν Υἱόν, δι' οὗ τὰ πάντα γέγονε, καὶ ἡμεῖς ἐλυτρώθημεν. Διὸ καὶ ἐθαυμάσαμεν, πῶς ὅλως ἐν ὑμῖν περὶ τῶν οὕτω φανερῶν γέγονε φιλονεικία. Ἀλλὰ χάρις τῷ Κυρίῳ, ὅτι, ὅσον ἐλυπήθημεν ἐντυχόντες τοῖς ὑπομνήμασι, τοσοῦτον ἐχάρημεν ἐπὶ τῷ τέλει τούτων. Μετὰ γὰρ συμφωνίας ἀνεχώρησαν, καὶ εἰρήνευσαν ἐπὶ τῇ ὁμολογίᾳ τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου πίστεως. Τοῦτο γοῦν κἀμέ, πολλὰ πρότερον σκεψάμενον, πέπεικε γράψαι τὰ ὀλίγα ταῦτα, λογισάμενον, μὴ ἄρα ταῦτα ἐκ τῆς σιωπῆς ἀντὶ χαρᾶς λύπη γένηται τοῖς ἐκ τῆς συμφωνίας πρόφασιν τοῦ χαίρειν παρασχοῦσιν ἡμῖν. Ἀξιῶ τοίνυν προηγουμένως τὴν σὴν εὐλάβειαν,

1. Ἰω. 1, 14. 2. Ματθ. 3, 17.

καὶ δεύτερον τοὺς ἀκούοντας, μετὰ συνειδήσεως ἀγαθῆς ταῦτα δέξασθαι· καὶ εἰ μέν τι πρὸς εὐσέβειαν λείπει, τοῦτο διορθώσασθαι καὶ δηλῶσαί μοι· εἰ δὲ ὡς παρὰ ἰδιώτου τῷ Λόγῳ μὴ κατ᾽ ἀξίαν, μηδὲ τελείως γέγραπται, συγγνῶναι πάντας τῇ ἡμετέρᾳ περὶ τὸ λέγειν ἀσθενείᾳ. Προσαγόρευε πάντας τοὺς μετὰ σοῦ ἀδελφούς. Σὲ οἱ σὺν ἡμῖν πάντες προσαγορεύουσιν. Ἐρρωμένως ἐν Κυρίῳ διάγοις, ἀγαπητὲ καὶ ἀληθῶς ποθεινότατε.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΔΕΛΦΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΗΝ, ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ*

1. Ἐντυχόντες τοῖς παρὰ τῆς σῆς θεοσεβείας γραφεῖσι, τὴν μὲν σὴν εἰς Χριστὸν εὐσέβειαν ἀληθῶς ἀπεδεξάμεθα, καὶ τὸν μὲν Θεὸν προηγουμένως ἐδοξάσαμεν, δεδωκότα σοι τὴν τοιαύτην χάριν, ὥστε καὶ τὴν φρόνησιν ἔχειν ὀρθήν, καὶ μὴ ἀγνοεῖν κατὰ τὸ δυνατὸν τὰς μεθοδείας τοῦ διαβόλου· τὴν δὲ τῶν αἱρετικῶν κακόνοιαν ἐθαυμάσαμεν, θεωροῦντες πῶς τοσοῦτον εἰς ἀσεβείας βάραθρον πεπτώκασιν, ὡς μηκέτι μηδὲ τὰς αἰσθήσεις σῴζειν, ἀλλὰ πανταχόθεν διεφθαρμένην ἔχειν τὴν διάνοιαν. Τοῦτο δὲ τὸ ἐπιχείρημα διαβόλου μέν ἐστιν ὑποβολή, τῶν δὲ παρανόμων Ἰουδαίων μίμησις. Ὥσπερ γὰρ ἐκεῖνοι, πανταχόθεν ἐλεγχόμενοι, προφάσεις ἐπενόουν καθ' ἑαυτῶν, ἵνα μόνον τὸν Κύριον ἀρνήσωνται, καὶ τὰ προφητευθέντα καθ' ἑαυτῶν ἐπισπάσωνται, τὸν αὐτὸν τρόπον καὶ οὗτοι, θεωροῦντες ἑαυτοὺς πανταχόθεν στηλιτευομένους, καὶ βλέποντες γενομένην βδελυκτὴν παρὰ πᾶσι τὴν αἵρεσιν αὐτῶν, ἐφευρεταὶ γίνονται κακῶν, ἵνα μή, παυόμενοι ταῖς πρὸς τὴν ἀλήθειαν μάχαις, ἀληθῶς Χριστομάχοι διαμείνωσι. Πόθεν γὰρ αὐτοῖς, ἀνέδυ καὶ τοῦτο τὸ κακόν; Πῶς ὅλως τετολμήκασι τὴν καινὴν ταύτην δυσφημίαν φθέγξασθαι κατὰ τοῦ Σωτῆρος; ἀλλ', ὡς ἔοικε, πονηρὸν ὁ ἀσεβής, καὶ ἀδόκιμος ὄντως περὶ τὴν πίστιν.[1] Πρότερον γάρ, ἀρνούμενοι τὴν θεότητα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ὑπεκρίνοντο κἂν τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐπιγινώσκειν· νῦν δέ, κατ' ὀλίγον ὑποκαταβαίνοντες, ἐξέπεσαν καὶ ταύτης αὐτῶν τῆς οἰήσεως, καὶ πανταχόθεν ἄθεοι γεγόνασιν, ὥστε μήτε Θεὸν αὐτὸν ἐπιγινώσκειν, μήθ' ὅτι ἄνθρωπος γέγονε πιστεύειν. Εἰ γὰρ ἐπίστευον, οὐκ ἂν τοιαῦτα ἐφθέγξαντο, οἷα ἔγραψεν ἡ σὴ θεοσέβεια κατ' αὐτῶν.

2. Σὺ μὲν οὖν, ἀγαπητὲ καὶ ἀληθῶς ποθεινότατε, πρέποντα τῇ ἐκκλησιαστικῇ παραδόσει καὶ τῇ εἰς τὸν Κύριον εὐσεβείᾳ πεποίηκας, ἐλέγξας, καὶ παραινέσας, καὶ ἐπιτιμήσας τοῖς τοιούτοις· ἐπειδὴ δέ, παροξυνόμενοι παρὰ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου, οὐκ ἔγνω-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologia Cursus Completus. Series Graeca, τ. 26, σ. 1072-1084.

1. Πρβλ. Β' Τιμ. 3, 8.

σαν, οὐδὲ συνῆκαν, κατὰ τὸ γεγραμμένον, ἀλλὰ ἐν σκότει διαπορεύονται·[1] μανθανέτωσαν παρὰ τῆς σῆς εὐλαβείας, ὡς ἡ τοιαύτη αὐτῶν κακόνοια Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ Μανιχαίου ἐστίν· ὧν οἱ μὲν ἀντὶ ἀληθείας δόκησιν εἰσηγήσαντο, οἱ δὲ διαιροῦντες τὰ ἀδιαίρετα ἠρνήσαντο τό, «Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.[2]» Διὰ τί οὖν, τὰ τούτων φρονοῦντες, οὐχὶ καὶ τῶν ὀνομάτων αὐτῶν γίνονται κληρονόμοι; Εὔλογον γὰρ ὧν τὴν κακοδοξίαν ἔχουσι, τούτων ἔχειν καὶ τὰ ὀνόματα, ἵνα λοιπὸν Οὐαλεντινιανοὶ καὶ Μαρκιωνισταὶ καὶ Μανιχαῖοι καλῶνται. Τάχα κἂν οὕτως διὰ τὴν τῶν ὀνομάτων δυσωδίαν αἰσχυνόμενοι κατανοῆσαι δυνηθῶσιν, εἰς ὅσον βάθος ἀσεβείας πεπτώκασι. Καὶ ἦν μὲν δίκαιον μηκέτι τούτοις ἀποκρίνασθαι, κατὰ τὴν παραίνεσιν τὴν ἀποστολικήν. «Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδώς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος·[3]» μάλιστα ὅτι καὶ ὁ προφήτης περὶ τῶν τοιούτων φησίν· «Ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει·[4]» ἐπειδὴ δὲ κατὰ τὸν ἡγούμενον αὐτῶν περιέρχονται καὶ αὐτοί, ὡς λέοντες, ζητοῦντες τίνα καταπίωσι τῶν ἀκεραίων·[5] τούτου ἕνεκεν ἀναγκαῖον γέγονεν ἡμῖν τῇ σῇ εὐλαβείᾳ ἀντιγράψαι, ἵνα, πάλιν διὰ τῆς σῆς νουθεσίας μαθόντες οἱ ἀδελφοί, καταγινώσκωσιν ἐπὶ πλεῖον τῆς ἐκείνων ματαιολογίας.

3. Οὐ κτίσμα προσκυνοῦμεν· μὴ γένοιτο! Ἐθνικῶν γὰρ καὶ Ἀρειανῶν ἡ τοιαύτη πλάνη· ἀλλὰ τὸν Κύριον τῆς κτίσεως σαρκωθέντα τὸν τοῦ Θεοῦ Λόγον προσκυνοῦμεν. Εἰ γὰρ καὶ ἡ σὰρξ αὐτὴ καθ' ἑαυτὴν μέρος ἐστὶ τῶν κτισμάτων, ἀλλὰ Θεοῦ γέγονε σῶμα. Καὶ οὔτε τὸ τοιοῦτον σῶμα καθ' ἑαυτὸ διαιροῦντες ἀπὸ τοῦ Λόγου προσκυνοῦμεν· οὔτε τὸν Λόγον προσκυνῆσαι θέλοντες, μακρύνομεν αὐτὸν ἀπὸ τῆς σαρκός· ἀλλ' εἰδότες, καθὰ προείπομεν, τό, «Ὁ Λόγος σὰρξ ἐγένετο», τοῦτον καὶ ἐν σαρκὶ γενόμενον, ἐπιγινώσκομεν Θεόν. Τίς τοιγαροῦν οὕτως ἄφρων ἐστίν, ὡς λέγειν τῷ Κυρίῳ· Ἀπόστα ἀπὸ τοῦ σώματος, ἵνα σε προσκυνήσω; Ἢ τίς οὕτως ἀσεβής ἐστιν, ὡς μετὰ τῶν ἀφρόνων Ἰουδαίων διὰ τὸ σῶμα λέγειν αὐτῷ· «Διὰ τί σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν;[6] Ἀλλ' οὐ τοιοῦτος ὁ λεπρός· προσεκύνει γὰρ τὸν Θεὸν ἐν σώματι ὄντα, καὶ ἐγίνωσκεν, ὅτι Θεὸς ἦν, λέγων· «Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.[7]» Καὶ οὔτε διὰ τὴν σάρκα ἐνόμισε κτίσμα τὸν τοῦ Θεοῦ Λόγον· οὔτε διὰ τὸ εἶναι τὸν Λόγον δημιουργὸν πάσης κτίσεως, ἐξουθένει τὴν σάρκα, ἣν ἐνδεδυμένος ἦν· ἀλλ' ὡς ἐν κτιστῷ ναῷ τὸν κτίστην τοῦ παντὸς προσεκύνει, καὶ ἐκαθαρίζετο. Οὕτως καὶ ἡ αἱμορροοῦσα γυνή, πιστεύσασα καὶ μόνον ἁψαμένη τοῦ κρασπέδου, ἰάθη·[8] καὶ ἡ μὲν θάλαττα ἐπαφρίζουσα τοῖς κύμασιν

1. Ψαλμ. 81, 5. 2. Ἰω. 1, 14. 3. Τίτ. 3, 10-11. 4. Ἠσ. 32, 6. 5. Πρβλ. Α' Πέτρ. 5, 8. 6. Ἰω. 10, 33. 7. Ματθ. 8, 2. 8. Πρβλ. Ματθ. 9, 20-22.

ἤκουε τοῦ σαρκωθέντος Λόγου, καὶ πέπαυται τοῦ χειμῶνος·[1] ὁ δὲ ἐκ γενετῆς τυφλός, πτύσματι τῆς σαρκὸς τεθεράπευται παρὰ τοῦ Λόγου.[2] Καὶ τό γε μεῖζον καὶ παραδοξότερον (ἴσως γὰρ τοῦτο καὶ τοὺς ἀσεβεστάτους ἐσκανδάλισε), καὶ ἐπ' αὐτοῦ τοῦ σταυροῦ, κρεμαμένου τοῦ Κυρίου (αὐτοῦ γὰρ ἦν τὸ σῶμα, καὶ ἐν αὐτῷ ἦν ὁ Λόγος), ὁ μὲν ἥλιος ἐσκοτίσθη, ἡ δὲ γῆ ἐτρόμασεν, αἱ πέτραι ἐσχίσθησαν, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη[3], καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστη.[4]

4. Ταῦτα δὲ γέγονε, καὶ οὐδείς, ὥσπερ νῦν οἱ Ἀρειανοὶ τολμῶσι, διελογίσατο, εἰ δεῖ σαρκωθέντι τῷ Λόγῳ πείθεσθαι· ἀλλὰ καὶ ἄνθρωπον βλέποντες, ἐπεγίνωσκον αὐτὸν ὄντα δημιουργὸν αὐτῶν· καὶ ἀνθρωπίνης φωνῆς ἀκούοντες, οὐ διὰ τὸ ἀνθρώπινον ἔλεγον, ὅτι ὁ Λόγος κτίσμα ἐστίν· ἀλλὰ καὶ μᾶλλον ἔτρεμον, καὶ οὐδὲν ἧττον ἐγίνωσκον, ἢ ὅτι ἐκ ναοῦ ἁγίου ἐφθέγγετο. Πῶς τοίνυν οἱ ἀσεβεῖς οὐ φοβοῦνται μή, καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παραδοθῶσιν εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα;[5] Οὐ γὰρ κτίσματι ἡ κτίσις προσκυνεῖ· οὐδὲ πάλιν διὰ τὴν σάρκα παρῃτεῖτο τὸν Κύριον ἑαυτῆς προσκυνεῖν, ἀλλὰ τὸν ἑαυτῆς δημιουργὸν ἔβλεπεν ἐν σώματι· καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ ἔκαμπτε, καὶ κάμψει δέ, ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, κἂν τοῖς Ἀρειανοῖς μὴ δοκῇ, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.[6] Οὐ γὰρ ἀδοξίαν ἤνεγκεν ἡ σὰρξ τῷ Λόγῳ· μὴ γένοιτο! ἀλλὰ μᾶλλον αὕτη δεδόξασται παρ' αὐτοῦ. Οὐδέ, ἐπειδὴ δούλου μορφὴν ἀνέλαβεν ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων Υἱός[7], ἠλαττώθη τῆς θεότητος· ἀλλὰ μᾶλλον αὐτὸς ἐλευθερωτὴς πάσης σαρκὸς καὶ πάσης κτίσεως γέγονε. Καὶ εἰ ὁ Θεὸς δὲ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ γεννώμενον ἐκ γυναικός, οὐκ αἰσχύνην ἡμῖν ἐπάγει τὸ πρᾶγμα, ἀλλὰ μᾶλλον εὐδοξίαν καὶ μεγάλην χάριν. Γέγονε γὰρ ἄνθρωπος, ἵν' ἡμᾶς ἐν ἑαυτῷ θεοποιήσῃ· καὶ γέγονεν ἐκ γυναικός, καὶ γεγέννηται ἐκ Παρθένου, ἵνα τὴν ἡμῶν πλανηθεῖσαν γέννησιν εἰς ἑαυτὸν μετενέγκῃ, καὶ γενώμεθα λοιπὸν γένος ἅγιον, καὶ κοινωνοὶ θείας φύσεως[8], ὡς ἔγραψεν ὁ μακάριος Πέτρος. Καὶ τὸ ἀδύνατον δὲ τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί.[9]

5. Τὴν τοίνυν προσληφθεῖσαν ὑπὸ τοῦ Λόγου σάρκα, ἐπὶ τῷ πάντας ἀνθρώπους ἐλευθερῶσαι, καὶ πάντας ἐκ νεκρῶν ἀναστῆσαι, καὶ ἁμαρτίας λυτρώσασθαι, πῶς οἱ ταύτην ἐξουδενοῦντες, ἢ οἱ διὰ ταύτην κατηγοροῦντες τοῦ Υἱοῦ τοῦ Θεοῦ ὡς ποιήματος ἢ κτίσματος, οὐκ ἀχάριστοι φαίνονται, καὶ παντός εἰσι μίσους ἄξιοι; Μόνον γὰρ οὐχὶ

---

1. Πρβλ. Ματθ. 8, 26. 2. Πρβλ. Ἰω. 9, 6. 3. Πρβλ. Λουκ. 23, 45. 4. Πρβλ. Ματθ. 27, 51-52. 5. Ῥωμ. 1, 28. 6. Φιλιπ. 2, 10-11. 7. Πρβλ. Φιλιπ. 2, 6-7. 8. Β' Πέτρ. 1, 4. 9. Ῥωμ. 8, 3.

βοῶσι τῷ Θεῷ λέγοντες· Μὴ πέμψῃς σου τὸν Υἱὸν τὸν μονογενῆ ἐν σαρκί· μὴ ποιήσῃς αὐτὸν ἐκ Παρθένου σάρκα λαβεῖν, ἵνα μὴ λυτρώσηται ἡμᾶς τοῦ θανάτου καὶ τῆς ἁμαρτίας. Οὐ θέλομεν αὐτὸν ἐν σώματι γενέσθαι, ἵνα μὴ τὸν ὑπὲρ ἡμῶν ἀναδέξηται θάνατον· οὐ βουλόμεθα τὸν Λόγον σάρκα γενέσθαι, ἵνα μὴ ἐν ταύτῃ μεσίτης ἡμῶν γένηται τῆς πρὸς σὲ προσόδου καὶ τὰς ἐν οὐρανοῖς οἰκήσωμεν μονάς. Κλεισθήτωσαν αἱ πύλαι τῶν οὐρανῶν, ἵνα μὴ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ τὴν ἐν οὐρανοῖς ἡμῖν ὁδὸν ἐγκαινίσῃ ὁ σὸς Λόγος. Αὗται μὲν αἱ ἐκείνων φωναὶ μετὰ διαβολικῆς τόλμης εἰσὶ προφερόμεναι, δι' ἧς ἐπενόησαν ἑαυτοῖς κακονοίας· οἱ γὰρ μὴ θέλοντες σάρκα γενόμενον τὸν Λόγον προσκυνεῖν, ἀχαριστοῦσι τῇ ἐνανθρωπήσει αὐτοῦ· καὶ οἱ διαιροῦντες τὸν Λόγον ἀπὸ τῆς σαρκὸς οὐδὲ μίαν λύτρωσιν τῆς ἁμαρτίας γενέσθαι, οὐδὲ κατάλυσιν τοῦ θανάτου νομίζουσι. Ποῦ δὲ ὅλως οἱ ἀσεβεῖς καὶ καθ' ἑαυτὴν εὑρήσουσι τὴν σάρκα, ἣν ἔλαβεν ὁ Σωτήρ, ἵνα καὶ τολμῶσι λέγειν· Οὐ προσκυνοῦμεν ἡμεῖς τὸν Κύριον μετὰ τῆς σαρκός· ἀλλὰ διαιροῦμεν τὸ σῶμα, καὶ μόνῳ τούτῳ λατρεύομεν; Ὁ μὲν οὖν μακάριος Στέφανος ἐν οὐρανοῖς εἶδε τὸν Κύριον ἐκ δεξιῶν ἑστῶτα·[1] οἱ δὲ ἄγγελοι ἔλεγον τοῖς μαθηταῖς· «Οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.[2]» Καὶ αὐτὸς δὲ ὁ Κύριος εἴρηκε, προσφωνῶν τῷ Πατρί· «Θέλω, ὅπου εἰμὶ ἐγώ, ἵνα καὶ αὐτοὶ πάντοτε μετ' ἐμοῦ ὦσι.[3]» Καὶ ὅλως, εἰ ἀδιαίρετός ἐστιν ἡ σὰρξ ἀπὸ τοῦ Λόγου, πῶς οὐκ ἀνάγκη τούτους ἀποθέσθαι τὴν πλάνην, καὶ προσκυνεῖν λοιπὸν τὸν Πατέρα ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἤ, μὴ προσκυνοῦντας, μηδὲ λατρεύοντας τῷ ἐν σαρκὶ γενομένῳ Λόγῳ, πανταχόθεν ἐκβάλλεσθαι, καὶ μηκέτι Χριστιανούς, ἀλλ' ἢ μετὰ τῶν Ἰουδαίων συναριθμεῖσθαι;

6. Ἐκείνων μὲν οὖν, καθὰ προείπομεν, ἡ τοιαύτη μανία καὶ τόλμα· ἡμῶν δὲ ἡ πίστις ἐστὶν ὀρθὴ καὶ ἐκ διδασκαλίας ἀποστολικῆς ὁρμωμένη καὶ παραδόσεως τῶν Πατέρων, βεβαιουμένη ἔκ τε Νέας καὶ Παλαιᾶς Διαθήκης, τῶν μὲν προφητῶν λεγόντων· «Ἀπόστειλον τὸν Λόγον σου καὶ τὴν ἀλήθειάν σου·[4]» καί, «Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ[5], ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός.[6]» Τί δὲ τοῦτό ἐστιν ἢ Θεὸν ἐν σαρκὶ γεγενῆσθαι; Ἡ δὲ ἀποστολικὴ παράδοσις διδάσκει, τοῦ μὲν μακαρίου Πέτρου λέγοντος· «Χριστοῦ οὖν ὑπὲρ ἡμῶν παθόντος σαρκί·[7]» τοῦ δὲ Παύλου γράφοντος· «Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[8]», ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, καὶ ζηλωτὴν

---

1. Πρβλ. Πράξ. 7, 55. 2. Πράξ. 1, 11. 3. Ἰω. 17, 24. 4. Ψαλμ. 42, 3. 5. Ἡσ. 7, 14. 6. Ματθ. 1, 23. 7. Α' Πέτρ. 4, 1. 8. Τίτ. 2, 13.

καλῶν ἔργων. Πῶς οὖν δέδωκεν αὐτὸν ὑπὲρ ἡμῶν, εἰ μὴ σάρκα φορέσας ἦν; ταύτην γὰρ προσενέγκας, ἑαυτὸν ὑπὲρ ἡμῶν δέδωκεν, ἵν', ἐν ἐκείνῃ τὸν θάνατον ἀναδεξάμενος, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου διάβολον.[1] Διὸ καὶ πάντοτε εὐχαριστοῦμεν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· καὶ οὐκ ἀθετοῦμεν τὴν δι' αὐτοῦ γενομένην χάριν εἰς ἡμᾶς. Ἡ γὰρ ἔνσαρκος παρουσία τοῦ Σωτῆρος θανάτου λύτρον καὶ κτίσεως πάσης σωτηρία γέγονεν. Ὥστε, ἀγαπητὲ καὶ ποθεινότατε, οἱ μὲν ἀγαπῶντες τὸν Κύριον ὑπομιμνησκέσθωσαν ἐκ τούτων· οἱ δὲ τὸν Ἰούδα τρόπον μιμησάμενοι, καὶ καταλιπόντες τὸν Κύριον, ἵνα μετὰ τοῦ Καϊάφα γένωνται, μεταπαιδευέσθωσαν ἐν τούτοις, ἐὰν ἄρα θελήσωσιν, ἐὰν ἄρα αἰσχυνθῶσι. Καὶ γινωσκέτωσαν, ὅτι, τὸν Κύριον ἐν σαρκὶ προσκυνοῦντες, οὐ κτίσματι προσκυνοῦμεν, ἀλλὰ τὸν κτίστην ἐνδυσάμενον τὸ κτιστὸν σῶμα, καθὰ προείπομεν.

7. Ἐβουλόμεθα δὲ τὴν σὴν εὐλάβειαν πυθέσθαι παρ' αὐτῶν τοῦτο· ἡνίκα ὁ Ἰσραὴλ ἐκελεύετο ἀνέρχεσθαι εἰς τὴν Ἱερουσαλὴμ προσκυνεῖν ἐν τῷ ναῷ Κυρίου, ἔνθα ἡ κιβωτὸς καὶ ὑπεράνω ταύτης τὰ χερουβὶμ τῆς δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, καλῶς ἐποίουν ἢ τοὐναντίον; Εἰ μὲ οὖν φαύλως ἔπραττον, πῶς οἱ τοῦ νόμου τούτου κατολιγωροῦντες ὑπὸ ἐπιτιμίαν ἐγίνοντο; Γέγραπται γάρ· «Ὃς ἐὰν ἐξουθενήσῃ καὶ μὴ ἀναβῇ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ·» εἰ δὲ καλῶς ἔπραττον, καὶ ἐν τούτῳ εὐάρεστοι τῷ Θεῷ ἐγίνοντο· πῶς οὐκ ἀπολωλέναι πολλάκις εἰσὶν ἄξιοι οἱ μιαροὶ καὶ πάσης αἱρέσεως αἴσχιστοι Ἀρειανοί, ὅτι, τὸν πάλαι λαὸν ἀποδεχόμενοι διὰ τὴν πρὸς τὸν ναὸν τιμήν, οὐ βούλονται τὸν Κύριον ἐν σαρκί, ὡς ἐν ναῷ ὄντα, προσκυνεῖν; Καίτοι ὁ πάλαι ναὸς ἐκ λίθων ἦν καὶ χρυσοῦ κατασκευασθείς, ὡς σκιά· ἐλθούσης δὲ τῆς ἀληθείας, πέπαυται λοιπὸν ὁ τύπος, καὶ οὐκ ἔμεινε, κατὰ τὴν Κυριακὴν φωνήν, λίθος ἐπὶ λίθον ἐν αὐτῷ, ὃς οὐ κατελύθη. Καὶ οὔτε, τὸν ναὸν βλέποντες ἐκ λίθων, ἐνόμιζον καὶ τὸν ἐν αὐτῷ ναῷ λαλοῦντα Κύριον εἶναι κτίσμα, οὔτε, τὸν ναὸν ἐξουθενοῦντες, ἀπερχόμενοι μακρὰν προσεκύνουν· ἀλλ' εἰς αὐτὸν ἐρχόμενοι νομίμως ἐλάτρευον τῷ Θεῷ ἀπὸ τοῦ ναοῦ χρηματίζοντι. Τούτου δὲ οὕτως γενομένου, πῶς τὸ σῶμα τοῦ Κυρίου, τὸ πανάγιον καὶ πάνσεπτον ἀληθῶς, ὑπὸ μὲν τοῦ ἀρχαγγέλου Γαβριὴλ εὐαγγελισθέν, ὑπὸ δὲ τοῦ ἁγίου Πνεύματος πλασθέν[2], καὶ τοῦ Λόγου γεγονὸς ἔνδυμα, οὐ προσκυνητόν; Χεῖρα γοῦν σωματικὴν ἐκτείνας ὁ Λόγος, ἤγειρε τὴν πυρέσσουσαν·[3] καὶ φωνὴν ἀνθρωπίνην ἀφείς, ἤγειρε τὸν Λάζαρον ἐκ νεκρῶν·[4] καὶ πάλιν τὰς χεῖρας ἐκτείνας ἐπὶ τοῦ σταυροῦ, τὸν μὲν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας[5], κατέβαλε, τὴν δὲ ὁδὸν ἡμῖν ἐν τοῖς οὐρανοῖς καθαρὰν ἐποίει.

8. Οὐκοῦν ὁ τὸν ναὸν ἀτιμάζων, ἀτιμάζει τὸν ἐν τῷ ναῷ Κύριον·

---

1. Ἑβρ. 2, 14. 2. Πρβλ. Ματθ. 1, 20. 3. Πρβλ. Λουκ. 4, 39.
4. Πρβλ. Ἰω. 11, 43. 5. Ἐφεσ. 2, 2.

καὶ ὁ διαιρῶν τὸν Λόγον ἀπὸ τοῦ σώματος, ἀθετεῖ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν αὐτῷ. Καὶ ἀσεβέστατοι δὲ Ἀρειομανῖται μή, ἐπειδὴ τὸ σῶμα κτιστόν ἐστι, νομιζέτωσαν καὶ τὸν Λόγον εἶναι κτίσμα, μηδὲ διὰ τὸ μὴ εἶναι τὸν Λόγον κτίσμα, διαβαλλέτωσαν τὸ σῶμα αὐτοῦ. Θαυμάσαι γάρ ἐστιν αὐτῶν τὴν κακόνοιαν, ὅτι καὶ πάντα κυκῶσι καὶ φύρουσι, καὶ προφάσεις ἐφευρίσκουσιν, ἵνα μόνον τὸν κτίστην τοῖς κτίσμασι συναριθμήσωσιν. Ἀλλ' ἀκουέτωσαν· Εἰ κτίσμα ἦν ὁ Λόγος, οὐ προσελάμβανε τὸ κτιστὸν σῶμα, ἵνα αὐτὸ ζωοποιήσῃ. Ποία γὰρ τοῖς κτίσμασι παρὰ κτίσματος ἔσται βοήθεια, δεομένου καὶ αὐτοῦ σωτηρίας; Ἀλλ' ἐπειδή, κτίστης ὢν ὁ Λόγος, αὐτὸς δημιουργὸς γέγονε τῶν κτισμάτων· διὰ τοῦτο καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων τὸ κτιστὸν αὐτὸς ἐνεδύσατο, ἵνα πάλιν αὐτός, ὡς κτίστης, ἀνακαινίσῃ, καὶ ἀναστῆσαι τοῦτο δυνηθῇ. Κτίσμα δὲ ὑπὸ κτίσματος οὐκ ἄν ποτε σωθῇ, ὥσπερ οὐδὲ ὑπὸ κτίσματος ἐκτίσθησαν τὰ κτίσματα, εἰ μὴ κτίστης ἦν ὁ Λόγος. Ὅθεν μὴ καταψευδέσθωσαν τῶν θείων Γραφῶν, μηδὲ σκανδαλιζέτωσαν τοὺς ἀκεραίους τῶν ἀδελφῶν· ἀλλ' εἰ μὲν βούλωνται, μεταγινωσκέτωσάν καὶ αὐτοί, καὶ μηκέτι τῇ κτίσει λατρευέτωσαν παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν·[1] ἐὰν δὲ ταῖς ἀσεβείαις αὐτῶν ἐμμένειν ἐθέλωσι, μόνοι τούτων ἐμφορείσθωσαν, καὶ τριζέτωσαν τοὺς ὀδόντας κατὰ τὸν πατέρα αὐτῶν τὸν διάβολον, ὅτι ἡ πίστις τῆς καθολικῆς Ἐκκλησίας, κτίστην οἶδε τὸν τοῦ Θεοῦ Λόγον καὶ δημιουργὸν τῶν ἁπάντων, καὶ οἴδαμεν, ὅτι «Ἐν ἀρχῇ μὲν ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν·[2]» γενόμενον δὲ αὐτὸν καὶ ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν προσκυνοῦμεν, οὐχ ὡς ἴσον ἐν ἴσῳ γενόμενον τῷ σώματι, ἀλλ' ὡς Δεσπότην προσλαβόντα τὴν τοῦ δούλου μορφήν, καὶ δημιουργὸν καὶ κτίστην ἐν κτίσματι γινόμενον, ἵν' αὐτῷ τὰ πάντα ἐλευθερώσας, τὸν κόσμον προσαγάγῃ τῷ Πατρί, καὶ εἰρηνοποιήσῃ τὰ πάντα, τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς.[3] Οὕτω γὰρ καὶ τὴν πατρικὴν αὐτοῦ θεότητα ἐπιγινώσκομεν, καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν προσκυνοῦμεν, κἂν Ἀρειομανῖται διαρρηγνύωσιν ἑαυτούς. Προσαγόρευε πάντας τοὺς ἀγαπῶντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῷ Κυρίῳ εὐχόμεθα, ἀγαπητὲ καὶ ὡς ἀληθῶς ποθεινότατε, ἐὰν χρείᾳ ᾖ ἀναγνωσθῆναι ταῦτα Ἱερακᾷ τῷ πρεσβυτέρῳ.

---

1. Πρβλ. Ῥωμ. 1, 25. 2. Ἰω. 1, 1. 3. Πρβλ. Κολ. 1, 20.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣ ΜΑΞΙΜΟΝ ΦΙΛΟΣΟΦΟΝ *

Τῷ καὶ ἀγαπητῷ ἀληθῶς ποθεινοτάτῳ υἱῷ Μαξίμῳ φιλοσόφῳ, Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

1. Ἐντυχὼν τοῖς νῦν γραφεῖσι παρὰ σοῦ, τὴν μὲν σὴν εὐλάβειαν ἀπεδεξάμην, τὴν δὲ προπέτειαν τῶν μὴ νοούντων μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται [1], ἐπὶ πολὺ θαυμάσας, ἐβουλευσάμην ἀληθῶς σιωπῆσαι. Τὸ γὰρ ἐπὶ τοῖς οὕτω φανεροῖς καὶ πλέον φωτὸς λάμπουσιν ἀποκρίνασθαι, οὐδὲν ἕτερόν ἐστιν ἢ προφάσεις ἀναισχυντίας τοῖς οὕτω παρανομοῦσι παρέχειν. Καὶ τοῦτο παρὰ τοῦ Σωτῆρος μεμαθήκαμεν. Νιψαμένῳ γὰρ τῷ Πιλάτῳ [2] καὶ καταλαβομένῳ τὴν συκοφαντίαν τῶν τότε Ἰουδαίων, οὐκ ἔτι ἀπεκρίνατο αὐτῷ ὁ Κύριος, ἀλλὰ μᾶλλον ἐχρημάτιζε τῇ τούτου γυναικί [3], ἵνα μὴ ἐν λόγῳ, ἀλλὰ ἐν δυνάμει πιστεύηται ὁ κρινόμενος εἶναι Θεός. Τῷ δὲ Καϊάφα μὴ ἀποκρινόμενος πρὸς τὴν φλυαρίαν [4], αὐτὸς τῇ ἐπαγγελίᾳ τοὺς πάντας εἰς γνῶσιν μετήγαγεν. Ἐπὶ πολὺ γοῦν ὑπερτιθέμενος καὶ ὁρῶν τὴν τῶν ἀναιδευομένων λογομαχίαν, μόλις ἠδέσθην τὸν σὸν ὑπὲρ τῆς ἀληθείας ζῆλον, καὶ ὑπηγόρευσα οὐδὲν πλέον τῶν παρὰ σοῦ γραφέντων, ἵν᾽ οἷς ἀντείρηκεν ὁ ἐναντίος, τούτοις λοιπὸν πεισθείς, παύσῃ τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον.[5] Καὶ γένοιτο μὲν τοὺς τοιούτους μηκέτι ὀνειδίσαι μετὰ τῶν παροδευόντων τότε Ἰουδαίων τὸν κρεμάμενον ἐπὶ ξύλου. Εἰ Υἱός ἐστι τοῦ Θεοῦ, σώσει αὐτόν· [6] ἐὰν δὲ ἄρα μηδὲ οὕτως καταδύωνται, ἀλλὰ σὺ τῆς ἀποστολικῆς μνημονεύων παραγγελίας, «αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδώς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.[7]» Εἰ μὲν γὰρ Ἕλληνες ἢ τῶν Ἰουδαϊζόντων εἰσὶν οἱ τὰ τοιαῦτα τολμῶντες, ὡς μὲν Ἰουδαῖοι σκάνδαλον, ὡς δὲ Ἕλληνες μωρίαν νομιζέτωσαν τὸν σταυρὸν τοῦ Χριστοῦ· [8] εἰ δὲ ὑποκρίνονται ὡς Χριστιανοί, μαθέ-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1085-1089.

1. Α' Τιμ. 1, 7. 2. Πρβλ. Ματθ. 27, 24. 3. Πρβλ. Ματθ. 27, 19. 4. Πρβλ. Ματθ. 26, 63. 5. Ψαλμ. 33, 1. 6. Πρβλ. Ματθ. 27, 40. 7. Τίτ. 3, 10-11. 8. Πρβλ. Α' Κορ. 1, 23.

τωσαν τὸν σταυρωθέντα Χριστόν, Κύριον μὲν τῆς δόξης[1], δύναμιν δὲ Θεοῦ καὶ Θεοῦ σοφίαν αὐτὸν εἶναι.[2]

2. Εἰ δὲ ἀμφιβάλλουσιν, ὅτι καὶ Θεός ἐστιν, αἰδείσθωσαν τὸν Θωμᾶν τὸν ψηλαφήσαντα τὸν ἐσταυρωμένον, καὶ λέγοντα Κύριον αὐτὸν εἶναι καὶ Θεόν.[3] Καὶ φοβείσθωσαν αὐτὸν τὸν Κύριον, τὸν μετὰ τὸ νίψαι τοὺς πόδας τῶν μαθητῶν λέγοντα· «Ὑμεῖς φωνεῖτέ με ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ.[4]» Ἐν ᾧ δὲ σώματι τυγχάνων ἔνιψε τοὺς πόδας, ἐν τούτῳ τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐπὶ τὸ ξύλον.[5] Ἐμαρτυρεῖτό τε δεσπότης τῆς κτίσεως, συστείλαντος μὲν τοῦ ἡλίου τὰς ἀκτῖνας, καὶ τῆς γῆς τρεμούσης, καὶ τῶν πετρῶν σχιζομένων, καὶ τῶν δημίων ἐπιγνόντων, ὅτι ἀληθῶς Θεοῦ Υἱός ἐστιν ὁ σταυρωθείς. Οὐ γὰρ ἀνθρώπου τινὸς ἦν τὸ βλεπόμενον σῶμα ἀλλὰ Θεοῦ, ἐν ᾧ τυγχάνων καὶ ὅτε ἐσταυροῦτο, ἤγειρε νεκρούς. Διὸ οὐδὲ καλὸν ἐκεῖνο αὐτῶν τόλμημα τὸ λέγον, ὅτι εἰς ἄνθρωπόν τινα ἅγιον ἐγένετο ὁ Θεοῦ Λόγος (τοῦτο γὰρ ἐν ἑκάστῳ ἐγένετο τῶν προφητῶν καὶ τῶν ἄλλων ἁγίων), ἵνα μὴ καθ' ἕκαστον γεννώμενος, καὶ πάλιν ἀποθνήσκων φαίνηται. Οὐκ ἔτι δὲ οὕτως· μὴ γένοιτο! Ἀλλ' ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῆς ἁμαρτίας αὐτὸς ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐκ Μαρίας τῆς Παρθένου προῆλθεν ἄνθρωπος καθ' ὁμοίωσιν ἡμετέραν, ὡς καὶ πρὸς Ἰουδαίους ἔφη· «Τί ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;[6]» Οὐκ ἀνθρώπου τέ τινος μετέχοντες, σώματος, ἀλλὰ αὐτοῦ τοῦ Λόγου σῶμα λαμβάνοντες, θεοποιούμεθα.

3. Ἀμέλει κἀκεῖνο τεθαύμακα, πῶς ὅλως κἂν ἐννοῆσαι τετολμήκασιν, ὅτι φύσεως ἀκολουθίᾳ γεγένηται ἄνθρωπος. Εἰ γὰρ οὕτως ἦν, περιττὴ τῆς Μαρίας ἡ μνήμη. Οὐδὲ γὰρ οἶδεν ἡ φύσις παρθένον χωρὶς ἀνδρὸς τίκτουσαν. Ὅθεν εὐδοκίᾳ τοῦ Πατρὸς Θεὸς ὢν ἀληθινός, καὶ φύσει Λόγος, καὶ σοφία τοῦ Πατρός, γέγονε σωματικῶς ἄνθρωπος, διὰ τὴν ἡμετέραν σωτηρίαν, ἵν' ἔχων ὃ προσενέγκῃ ὑπὲρ ἡμῶν, σώσῃ πάντας ἡμᾶς, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.[7] Οὐ γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν· ἐπεὶ πᾶς ἄνθρωπος ὑπεύθυνός ἐστι θανάτῳ, κατὰ τό, «Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ[8]», ἐν τῷ Ἀδὰμ εἰρημένον πρὸς πάντας· ἀλλ' οὐδὲ ἕτερόν τι τῶν κτισμάτων· ἐπεὶ πᾶσα κτίσις ὕποπτός ἐστι τροπῆς. Ἀλλ' αὐτὸς ὁ Λόγος τὸ ἴδιον σῶμα προσήνεγκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπίς, ἀλλ' εἰς αὐτὸν τὸν Θεὸν Λόγον, τὴν πίστιν ἔχωμεν. Ἀμέλει καὶ ἀνθρώπου γενομένου αὐτοῦ, θεωροῦμεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας.[9] Ἃ γὰρ διὰ τοῦ σώματος ὑπέμεινε, ταῦτα ὡς Θεὸς

---

1. Πρβλ. Α' Κορ. 2, 8. 2. Πρβλ. Α' Κορ. 1, 24. 3. Πρβλ. Ἰω. 20,28. 4. Ἰω. 13, 13. 5. Α' Πέτρ. 2, 24. 6. Ἰω. 8, 40. 7. Ἑβρ. 2, 15. 8. Γεν. 3, 19. 9. Ἰω. 1, 14.

ἐμεγάλυνε· καὶ ἐπείνα μὲν σαρκί, θεϊκῶς δὲ τοὺς πεινῶντας ἐχόρταζε. Καὶ εἰ σκανδαλίζεταί τις ἐπὶ τοῖς σωματικοῖς, πιστευέτω ἐφ' οἷς ὁ Θεὸς ἐργάζεται. Πυνθάνεται γὰρ ἀνθρωπίνως, ποῦ Λάζαρος κεῖται [1], ἐγείρει δὲ τοῦτον θεϊκῶς.[2] Ὅθεν μηδὲ γελάτω τις λέγων παιδίον καὶ ἡλικίαν ὀνομάζων, καὶ αὔξησιν, καὶ φαγεῖν, καὶ πιεῖν, καὶ παθεῖν, ἵνα μή, τὰ ἴδια τοῦ σώματος ἀρνούμενος, ἀρνήσηται τέλεον καὶ τὴν δι' ἡμᾶς ἐπιδημίαν αὐτοῦ. Καὶ ὥσπερ οὐκ ἀκολουθίᾳ φύσεως ἄνθρωπος γεγένηται, οὕτως ἀκόλουθον ἦν σῶμα λαβόντα αὐτὸν δεικνύναι τὰ ἴδια τούτου, ἵνα μὴ ἡ φαντασία τοῦ Μανιχαίου κρατήσῃ. Ἀκόλουθον δὲ πάλιν ἦν σωματικῶς αὐτὸν χρηματίζοντα μὴ κρύψαι τὰ τῆς θεότητος, ἵνα μὴ ὁ Σαμοσατεὺς πρόφασιν εὕρῃ, ἄνθρωπον αὐτὸν λέγων, ὡς ἄλλον ὄντα παρὰ τὸν Θεὸν Λόγον.

4. Ταῦτα τοίνυν κατανοῶν ὁ ἄπιστος, μαθέτω ὅτι βρέφος μὲν ἦν ἐπὶ φάτνης, τοὺς δὲ μάγους ὑπέταξε προσκυνούμενος ὑπ' αὐτῶν· καὶ παιδίον μὲν εἰς Αἴγυπτον κατῆλθε, τὰ δὲ χειροποίητα τῆς εἰδωλολατρείας κατήργησε· καὶ ἐσταυρωμένος σαρκί, νεκροὺς ἐκ πολλοῦ χρόνου σαπέντας ἤγειρε. Καὶ δέδεικται πᾶσιν, ὅτι οὐ δι' ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς ὑπέμεινε πάντα, ἵν' ἡμεῖς, τοῖς ἐκείνου παθήμασι ἀπάθειαν καὶ ἀφθαρσίαν ἐνδυσάμενοι [3], διαμείνωμεν εἰς ζωὴν αἰώνιον.

5. Ταῦτα δέ σοι συντόμως ἐκ τῶν σῶν, καθὼς προεῖπον, δεξάμενος ὑπηγόρευσα, οὐδὲν πλέον ἐπεξεργασάμενος, ἀλλὰ μόνον τὸ περὶ τοῦ θείου σταυροῦ μνημονεύσας, ἵνα ἐν οἷς ἐσκανδαλίσθησαν οἱ ὀλίγωροι, ἐν τούτοις μεταπαιδευθέντες προσκυνήσωσι τὸν ἐσταυρωμένον. Σὺ δὲ γνησίως τοὺς ἀπίστους πεῖθε· τάχα πως ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν ἔλθωσι, καὶ πιστεύσωσι καλῶς. Καὶ εἰ καὶ αὐτάρκη αὐτὰ τὰ παρὰ σοῦ γραφέντα, ὅμως ὑπομνήσεως ἕνεκεν πρὸς τοὺς φιλονείκους προσθεῖναι καὶ ταῦτα καλόν· ἵνα μὴ ὡς ἐλεγχόμενοι, ἐξ ὧν τετολμήκασιν, αἰσχυνθῶσιν, ἀλλ' ὡς ὑπομιμνησκόμενοι μὴ ἐπιλάθωνται τῆς ἀληθείας. Κρατείτω γὰρ τὰ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθέντα· ὀρθὰ γάρ ἐστι καὶ ἱκανὰ πᾶσαν ἀσεβεστάτην αἵρεσιν ἀνατρέψαι, καὶ μάλιστα τὴν Ἀρειανήν, τὴν εἰς τὸν Λόγον τοῦ Θεοῦ δυσφημοῦσαν καὶ ἐξ ἀνάγκης εἰς τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον δυσσεβοῦσαν. Προσαγόρευε πάντας τοὺς ὀρθῶς φρονοῦντας. Προσαγορεύουσί σε πάντες οἱ σὺν ἡμῖν.

1. Πρβλ. Ἰω. 11, 34. 2. Πρβλ. Ἰω. 11, 43. 3. Πρβλ. Α' Κορ. 15,53.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΔΡΑΚΟΝΤΙΟΝ *

1. Ἀπορῶ τί γράψω. Ἆρα γὰρ ὡς παραιτούμενον μέμψομαί σε, ἢ ὡς τὸν καιρὸν ὁρῶντα, καὶ κρυπτόμενον διὰ τὸν φόβον τῶν Ἰουδαίων; Πλὴν εἴτε ἄλλως, εἴτε οὕτως, ἄξιον μέμψεως τὸ παρὰ σοῦ γεγενημένον, ἀγαπητὲ Δρακόντιε. Οὐ γὰρ ἔπρεπε λαβόντα σε τὴν χάριν κρύπτεσθαι, οὐδὲ φρόνιμον ὄντα, διδόναι τοῖς ἄλλοις προφάσεις φυγῆς. Πολλοὶ γὰρ ἀκούσαντες σκανδαλίζονται· οὐχ ὡς ἁπλῶς τοῦτό σου ποιοῦντος, ἀλλὰ συνορῶντος τὸν καιρόν, καὶ τὰς ἐπικειμένας θλίψεις τῇ Ἐκκλησίᾳ. Καὶ φοβοῦμαι μή, διὰ σαυτὸν φεύγων, δι' ἄλλους εὑρεθῇς κινδυνεύων παρὰ τῷ Κυρίῳ. Εἰ γὰρ «ὁ ἕνα τῶν μικρῶν σκανδαλίζων, ἔλοιτ' ἂν μύλον ὀνικὸν περὶ τὸν τράχηλον αὐτοῦ κρεμασθῆναι, καὶ καταποντισθῆναι·[1]» τί ἂν πάθοις σὺ τοσούτοις γινόμενος σκάνδαλον; Καὶ γὰρ ἡ ἐκ παραδόξου γενομένη συμφωνία ἐν τῇ Ἀλεξανδρέων χώρᾳ, ἐν τῇ σῇ καταστάσει, ἐξ ἀνάγκης σχισθήσεται διὰ τὴν σὴν ἀναχώρησιν· καὶ ἡ ἐπισκοπὴ δὲ τῆς χώρας αὐτῆς ὑπὸ πολλῶν ἁρπαγήσεται· καὶ πολλῶν οὐκ ὀρθῶν, ἀλλ' ὧν οἶδας καὶ αὐτός. Καὶ ἐθνικοὶ δὲ οἱ ἐπαγγελλόμενοι Χριστιανοὶ γίνεσθαι ἐπὶ τῇ σῇ καταστάσει, ἀπομενοῦσιν Ἕλληνες, τῆς σῆς εὐλαβείας ἐξουθενούσης τὴν δοθεῖσαν χάριν.

2. Ποία οὖν ἐπὶ τοῖς τοιούτοις ἀπολογία παρὰ σοῦ δοθήσεται; Ποίοις ἂν ἀπονίψασθαι καὶ ἀπομάξασθαι λόγοις τὰς τοιαύτας αἰτίας δυνήσῃ; Πῶς θεραπεύσεις τοὺς διὰ σὲ πεσόντας καὶ σκανδαλιζομένους; Ἢ πῶς, μετὰ τὸ σχισθῆναι τὴν εἰρήνην, συρράψαι ταύτην δυνήσῃ; Ὦ ἀγαπητὲ Δρακόντιε, ἀντὶ χαρᾶς λύπην ἡμῖν πεποίηκας, ἀντὶ παραμυθίας στεναγμόν. Προσεδοκοῦμεν γὰρ παραμυθίαν ἔχειν σε μεθ' ἡμῶν, καὶ νῦν βλέπομεν φεύγοντά σε, καὶ ὁρῶμεν, ὅτι κρινόμενος μὲν ἐλεγχθήσῃ, κινδυνεύων δὲ μεταμεληθήσῃ. Καὶ τίς φείσεται, ὡς ὁ προφήτης εἴρηκεν, ἐπὶ σοί;[2] Τίς ἀνακάμψει ἐπὶ σὲ εἰς εἰρήνην, ὁρῶν τοὺς ἀδελφούς, δι' οὓς Χριστὸς ἀπέθανε, βλαβέντας ἐπὶ τῇ σῇ φυγῇ; Δεῖ γὰρ εἰδέναι τε καὶ μὴ ἀμφιβάλλειν ὅτι πρὶν μὲν κατασταθῆς σαυτῷ ἔζης, κατασταθεὶς δέ, οἷς κατεστάθης. Καὶ πρὶν μὲν λά-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 25, σ. 524-533.

1. Πρβλ. Ματθ. 18, 6. 2. Ἱερ. 15, 5.

βης τὴν τῆς ἐπισκοπῆς χάριν, οὐδεὶς ἐγίνωσκέ σε· γενόμενον δὲ λοιπόν, οἱ λαοὶ προσδοκῶσι φέροντά σε τροφὴν αὐτοῖς, τὴν ἐκ τῶν Γραφῶν διδασκαλίαν· ὅταν τοίνυν οἱ προσδοκῶντες λιμώττωσι, σὺ δὲ σαυτὸν μόνον τρέφῃς, καὶ ἔλθῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἡμεῖς τε αὐτῷ παραστῶμεν, ποίαν σχοίῃς ἀπολογίαν, ὁρῶντος αὐτοῦ τὰ ἴδια πρόβατα λιμώττοντα; Εἰ μὲν γὰρ μὴ εἰλήφεις τὰ δηνάρια, οὐκ ἂν ἐμέμψατό σε· λαβόντα δὲ καὶ χώσαντα καὶ κρύψαντα, μέμψαιτ' ἂν εἰκότως, λέγων ἐκεῖνα τὰ ῥήματα, ἃ μὴ γένοιτο, κἂν ἀκοῦσαι τὴν σὴν εὐλάβειαν· «Ἔδει σε βαλεῖν τὰ δηνάριά μου τοῖς τραπεζίταις[1], ἵνα ἐλθὼν κἀγὼ παρ' ἐκείνων ἀπαιτήσω.»

3. Παρακαλῶ φεῖσαι σεαυτοῦ καὶ ἡμῶν· σαυτοῦ μέν, ἵνα μὴ κινδυνεύσῃς· ἡμῶν δέ, ἵνα μὴ λυπηθῶμεν ἐπὶ σοί. Φρόντιζε τῆς Ἐκκλησίας, ἵνα μὴ διὰ σὲ πολλοὶ τῶν μικρῶν βλαβῶσι, καὶ οἱ ἄλλοι δὲ πρόφασιν λάβωσιν εἰς τὸ ἀναχωρεῖν. Εἰ μὲν οὖν τὸν καιρὸν ἐφοβήθης, καὶ καταπτήξας τοῦτο ἐποίησας, οὐκ ἀνδρικὸν τὸ φρόνημα· ἔδει γὰρ τὸν κατὰ Χριστὸν ζῆλον ἐν τοῖς τοιούτοις ἐπιδείκνυσθαι, καὶ μᾶλλον ἐν ταῖς περιστάσεσι παρρησιάζεσθαι, λέγειν τε τὰ τοῦ μακαρίου Παύλου ῥήματα· «Ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν·[2]» καὶ μάλιστα, ὅτι οὐ πρέπει τῷ καιρῷ δουλεύειν, ἀλλὰ τῷ Κυρίῳ· εἰ δὲ τῶν Ἐκκλησιῶν ἡ διάταξις οὐκ ἀρέσκει σοι, οὐδὲ νομίζεις τὸ τῆς ἐπισκοπῆς λειτούργημα μισθὸν ἔχειν, ἀλλὰ καταφρονεῖν τοῦ ταῦτα διαταξαμένου Σωτῆρος πεποίηκας σαυτόν· παρακαλῶ, μὴ τοιαῦτα λογίζου, μηδὲ ἀνέχου τῶν ταῦτα συμβουλευόντων· οὐ γὰρ ἄξια Δρακοντίου ταῦτα. Ἃ γὰρ ὁ Κύριος διὰ τῶν ἀποστόλων τετύπωκε, ταῦτα καλὰ καὶ βέβαια μένει· ἡ δὲ τῶν ἀδελφῶν δειλία παύσεται.

4. Εἰ γὰρ τὸν αὐτὸν νοῦν εἶχον πάντες, οἷον νῦν ἔχουσιν οἱ συμβουλεύοντές σοι, πῶς ἂν ἐγένου σὺ Χριστιανός, ἐπισκόπων μὴ ὄντων; Ἐὰν δὲ καὶ οἱ μεθ' ἡμᾶς ἀναλάβωσι τὸν τοιοῦτον νοῦν, πῶς ἂν συστῆναι δυνήσωνται αἱ Ἐκκλησίαι; Ἢ νομίζουσιν οἱ συμβουλεύοντές σοι μηδὲν εἰληφέναι σε, ὅτι καταφρονοῦσιν; Ἀλλὰ καὶ τοῦτο ψευδῶς. Ὥρα γὰρ αὐτοὺς νομίζειν μηδὲν εἶναι μηδὲ τὴν τοῦ λουτροῦ χάριν, ἐάν τινες τούτου καταφρονῶσι. Ἀλλ' εἴληφας, ὦ ἀγαπητὲ Δρακόντιε· μὴ ἀνέχου τῶν συμβουλευόντων σοι, μηδὲ ἀπάτα σαυτόν. Ἀπαιτηθήσεται γὰρ τοῦτο παρὰ τοῦ δεδωκότος Θεοῦ. Ἢ οὐκ ἤκουσας τοῦ Ἀποστόλου λέγοντος· «Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος;[3]» Ἢ οὐκ ἀνέγνως, πῶς μὲν τὸν διπλασιάσαντα ἀποδέχεται, τὸν δὲ κρύψαντα κατεδίκασε; Γένοιτο δὲ ταχέως ἐπανελθεῖν σε, ἵνα καὶ σὺ τῶν ἐπαινουμένων γένῃ. Ἢ εἰπέ, τίνος σε θέλουσιν εἶναι μιμητὴν οἱ συμβουλεύοντές σοι; Δεῖ γὰρ ἡμᾶς κατὰ σκοπὸν τῶν ἁγίων καὶ τῶν Πατέρων πολιτεύεσθαι, καὶ τούτους μιμεῖσθαι· εἰδέναι δέ, ὅτι, τούτων ἀφιστάμενοι, ἀλλότριοι καὶ τῆς τούτων κοινωνίας γενόμεθα. Τίνα μὲν μιμεῖσθαί

1. Ματθ. 25, 7. Λουκ. 19, 23. 2. Ῥωμ. 8, 37. 3. Α' Τιμ. 14, 4.

σε θέλουσιν ἐκεῖνοι; Τὸν διστάζοντα καὶ θέλοντα μὲν ἀκολουθῆσαι, ὑπερτιθέμενον δὲ καὶ συμβουλευόμενον διὰ τοὺς ἰδίους· ἢ τὸν μακάριον Παῦλον, τὸν ἅμα τῷ τὴν οἰκονομίαν ἐγχειρισθῆναι, μὴ προσαναθέμενον σαρκὶ καὶ αἵματι; Διὸ γὰρ καὶ ἔλεγεν, «Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος [1]», ὅμως γινώσκων ὃ ἔλαβε, καὶ οὐκ ἀγνοῶν τὸν δεδωκότα, ἔγραφεν· «Οὐαὶ γάρ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι· [2]» ὥσπερ δὲ τὸ οὐαί μοι οὐκ εὐαγγελιζόμενος, οὕτως διδάσκων καὶ κηρύσσων τὸ Εὐαγγέλιον, χαρὰν καὶ στέφανον εἶχε τοὺς μαθητευομένους· διὰ τοῦτο καὶ σπουδὴ τῶν ἁγίων μέχρι τοῦ Ἰλλυρικοῦ κηρύττειν [3], καὶ μὴ ὀκνεῖν μηδὲ εἰς τὴν Ῥώμην ἀπελθεῖν, μηδὲ εἰς τὰς Σπανίας ἀναβῆναι, ἵνα ὅσον κοπιᾷ, τοσοῦτον καὶ τοῦ κόπου τὸν μισθὸν μείζονα ἀπολάβῃ. Ἐκαυχᾶτο οὖν τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος καὶ ἐθάρρει τὸν μέγαν στέφανον ἀποληψόμενος. Οὐκοῦν, ἀγαπητὲ Δρακόντιε, τίνα μιμούμενος τοῦτο ποιεῖς; τοῦτον, ἢ τοὺς μὴ τοιούτους; Ἐγὼ μὲν εὔχομαί σε καὶ ἐμαυτὸν πάντων τῶν ἁγίων μιμητὴν γενέσθαι.

5. Ἢ τάχα τινὲς οἱ διὰ τοῦτο συμβουλεύοντές σοι κρύπτεσθαι, ὡς λόγον καὶ ὅρκον σου δεδωκότος μὴ στῆναι, ἐὰν κατασταθῇς; Τοιαῦτα γὰρ αὐτοὺς ἀκούω περιβομβεῖν ταῖς ἀκοαῖς, καὶ δοκεῖν ἐν τούτοις εὐλαβεῖσθαι· ἀλλ' εἰ ἦσαν ἀληθῶς εὐλαβεῖς, ηὐλαβήθησαν ἂν μάλιστα τὸν ἐπιθέντα σοι Θεὸν τὸ λειτούργημα. Εἰ δὲ ἀναγνόντες ἦσαν τὰς θείας Γραφάς, οὐκ ἂν παρὰ ταύτας συνεβούλευον. Ὥρα γὰρ αὐτοὺς καὶ τὸν Ἱερεμίαν καταμέμφεσθαι, καὶ τὸν μέγαν αἰτιᾶσθαι Μωσῆν, ὅτι τὴν τούτων συμβουλὴν οὐκ ἤκουσαν, ἀλλὰ τὸν Θεὸν φοβηθέντες, τὴν διακονίαν ἐτέλεσαν, καὶ προφητεύοντες ἐτελειώθησαν. Καὶ γὰρ αὐτοὶ ἀποσταλέντες, καὶ λαβόντες ἤδη τὴν τῆς προφητείας χάριν, παρῃτήσαντο μέν, ἐφοβήθησαν δὲ μετὰ ταῦτα, καὶ οὐκ ἐξουδένωσαν τὸν ἀποστείλαντα. Εἴτε τοίνυν ἰσχνόφωνος εἶ, καὶ βραδύγλωσσος [4], ἀλλὰ φοβήθητι τὸν πλάσαντά σε Θεόν· εἴτε νεώτερον σαυτὸν λέγεις πρὸς τὸ κήρυγμα, ἀλλ' εὐλαβοῦ τὸν γινώσκοντά σε πρὸ τοῦ πλασθῆναι· εἴτε λόγον δέδωκας (ὁ δὲ λόγος τοῖς ἁγίοις ὡς ὅρκος ἦν), ἀλλὰ ἀνάγνωθι τὸν Ἱερεμίαν, πῶς καὶ αὐτὸς εἰρηκώς, «Οὐ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου [5]», ὕστερον δὲ φοβηθεὶς τὸ ἐν αὐτῷ πῦρ γενόμενον, οὐκέτι, ὡς εἴρηκε, πεποίηκεν, οὐδὲ ὡς προληφθεὶς τῷ ὅρκῳ ἐκρύβη· ἀλλὰ τὸν ἐγχειρίσαντα εὐλαβούμενος, τετελείωκε τὴν προφητείαν. Ἢ οὐκ οἶδας, ἀγαπητέ, ὅτι καὶ Ἰωνᾶς φεύγων γέγονε μέν, ὡς γέγονε, μετὰ δὲ ταῦτα πάλιν προεφήτευσεν;

6. Μὴ τοίνυν ἄλλα παρὰ ταῦτα συμβουλεύου. Μᾶλλον γὰρ ἡμῶν οἶδεν ὁ Κύριος τὰ ἡμῶν, καὶ οἶδε τίσιν ἐγχειρίζει τὰς ἑαυτοῦ Ἐκκλησίας. Κἂν γὰρ μὴ ἄξιός τις τυγχάνῃ, ἀλλὰ μὴ πρὸς τὸν πρότερον βίον

---

1. Α' Κορ. 15, 9. 2. Α, Κορ. 9, 16. 3. Πρβλ. Ῥωμ. 15, 19. 4. Πρβλ. Ἔξ. 4, 10. 5. Ἱερ. 20, 9.

ἀποβλεπέτω, ἀλλὰ τὴν διακονίαν ἐκτελείτω· ἵνα μὴ πρὸς τῷ βίῳ καὶ τὴν ἐκ τῆς ἀμελείας κατάραν ἀπενέγκηται. Ἆρα γάρ, ἀγαπητὲ Δρακόντιε, ταῦτα γινώσκων καὶ συνετὸς τυγχάνων, οὐ κατανύττῃ τὴν ψυχήν; Οὐ φροντίζεις μὴ ἀπόληταί τις τῶν ἐγχειρισθέντων σοι; Οὐ φλέγῃ ὡς ἀπὸ πυρὸς τοῦ συνειδότος; Οὐ φοβῇ τὴν ἡμέραν τῆς κρίσεως, ἐν ᾗ οὐδεὶς τῶν συμβουλευόντων νῦν ἐκεῖ γενήσεται βοηθός; Ἕκαστος γὰρ τῶν ἐγχειρισθέντων αὐτῷ καὶ λόγον ἀποδώσει. Τί γὰρ ὤνησε τὸν κρύψαντα τὸ δηνάριον ἡ πρόφασις; Ἢ τί ὠφέλησε τὸν Ἀδὰμ εἰρηκότα, «Ἡ γυνή με ἠπάτησεν;[1]» Ἀγαπητὲ Δρακόντιε, εἰ καὶ ἀληθῶς ἀσθενὴς τυγχάνεις, ἀλλὰ ἀναλαβεῖν σε τὴν φροντίδα πρέπει, ἵνα μή, τῆς Ἐκκλησίας ἐρήμου τυγχανούσης οἱ ἐχθροὶ ταύτην βλάψωσι, πρόφασιν εὑρόντες τὴν σὴν φυγήν. Πρέπει σὲ ἀναζώσασθαι, ἵνα μὴ μόνους ἡμᾶς ἀφῇς ἐν τῷ ἀγῶνι· πρέπει σε συγκαμεῖν, ἵνα μετὰ πάντων καὶ τὸν μισθὸν ἀπολάβῃς

7. Σπεῦδε τοιγαροῦν, ἀγαπητέ, μηκέτι βραδύνων, μηδὲ ἀνέχου τῶν σε κωλυόντων, ἀλλὰ τοῦ δεδωκότος μνήσθητι· καὶ δεῦρο πρὸς ἡμᾶς τοὺς ἀγαπῶντάς σε, τοὺς συμβουλεύοντάς σοι τὰ τῶν Γραφῶν, ἵνα καὶ παρ' ἡμῶν προπεμφθῇς, καὶ λειτουργῶν ἐν ταῖς Ἐκκλησίαις μνημονεύσῃς καὶ ὑπὲρ ἡμῶν. Οὐ γὰρ σὺ μόνος ἐκ μοναχῶν κατεστάθης, οὐδὲ σὺ μόνος προέστης μοναστηρίου, ἢ μόνος ὑπὸ μοναχῶν ἠγαπήθης· ἀλλ' οἶδας, ὅτι καὶ Σεραπίων μοναχός ἐστι, καὶ τόσων μοναχῶν προέστη· οὐκ ἔλαθέ σε, πόσων μοναχῶν πατὴρ γέγονεν Ἀπολλώς. Οἶδας Ἀγάθωνα, καὶ οὐκ ἀγνοεῖς Ἀρίστωνα· μνημονεύεις Ἀμμωνίου, τοῦ μετὰ Σαραπίωνος ἀποδημήσαντος· ἴσως δὲ ἤκουσας καὶ περὶ Μουΐτου ἐν τῇ ἄνω Θηβαΐδι, καὶ δύνασαι μαθεῖν περὶ Παύλου τοῦ ἐν τῷ Λατῷ, καὶ περὶ ἄλλων πολλῶν. Καὶ ὅμως οὗτοι, κατασταθέντες, οὐκ ἀντειρήκασιν, ἀλλ' ἔχοντες τύπον τὸν Ἐλισσαῖον, καὶ εἰδότες τὰ κατὰ Ἠλίαν, μαθόντες τε τὰ κατὰ τοὺς μαθητὰς καὶ ἀποστόλους, ἀντελάβοντο τῆς φροντίδος, καὶ οὐ κατεφρόνησαν τῆς λειτουργίας, καὶ οὔτε χείρους ἑαυτῶν γεγόνασιν, ἀλλὰ καὶ μᾶλλον τοῦ καμάτου τὸν μισθὸν προσδοκῶσι, προκόπτοντες καὶ προκόπτειν ἄλλους νουθετοῦντες. Πόσους ἀπὸ τῶν εἰδώλων ἐπέστρεψαν; Πόσους ἀπὸ τῆς δαιμονιώδους συνηθείας ἔπαυσαν νουθετοῦντες; Πόσους παρέστησαν τῷ Κυρίῳ δούλους, ὥστε καὶ τοὺς ὁρῶντας τὰ σημεῖα ταῦτα βλέποντας θαυμάζειν; Ἢ οὐχὶ μέγα σημεῖον κόρην ποιῆσαι παρθενεύειν, καὶ νεώτερον ἐγκρατεύεσθαι, καὶ εἰδωλολάτρην ἐπιγνῶναι τὸν Χριστόν;

8. Μὴ τοίνυν κωλυέτωσάν σε μοναχοί, ὡς μόνον ἐκ μοναχῶν κατασταθέντα, μηδὲ σὺ προφασίζου, ὡς χείρων σεαυτοῦ ἐσόμενος· δύνασαι γὰρ καὶ καλλίων γενέσθαι μιμούμενος τὸν Παῦλον, ζηλῶν τῶν ἁγίων τὰς πράξεις. Οἶδας γάρ, ὅτι οἱ τοιοῦτοι, οἰκονόμοι τῶν μυ-

---

1. Πρβλ. Γεν. 3, 12.

στηρίων κατασταθέντες, μᾶλλον κατὰ σκοπὸν ἐδίωκον εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Πότε Παῦλος ἐμαρτύρησε, καὶ τὸν στέφανον λαβεῖν προσεδόκησεν, εἰ μὴ ὅτε ἀπεστάλη διδάσκειν; Πότε Πέτρος ὡμολόγησεν, εἰ μὴ ὅτε εὐηγγελίζετο, καὶ ἁλιεὺς ἀνθρώπων γέγονε; Πότε 'Ηλίας ἀνελήφθη, εἰ μὴ ὅτε πᾶσαν τὴν προφητείαν ἐπλήρωσε; Πότε 'Ελισσαῖος ἐν πνεύματι ἔσχε διπλᾶ, εἰ μὴ ὅτε πάντα καταλιπὼν ἠκολούθησε τῷ 'Ηλίᾳ; Διὰ τί δὲ καὶ ἐξελέξατο μαθητὰς ὁ Σωτήρ, εἰ μὴ ἵνα καὶ ἀποστείλῃ ;

9. Ὅθεν, τούτους ἔχων τύπον, ἀγαπητὲ Δρακόντιε, μὴ λέγε, μηδὲ πείθου τοῖς λέγουσιν ἁμαρτίας εἶναι πρόφασιν τὴν ἐπισκοπήν, μηδὲ ὅτι ἐκ ταύτης ἀφορμὴ τοῦ ἁμαρτάνειν ἐστίν. Ἔξεστι γὰρ καὶ ἐπίσκοπον ὄντα σε πεινᾶν, καὶ διψῆν, ὡς ὁ Παῦλος· δύνασαι μὴ πιεῖν οἶνον, ὡς ὁ Τιμόθεος· καὶ νηστεύειν καὶ αὐτὸς συνεχῶς, ὡς ὁ Παῦλος ἐποίει· ἵνα κατ' ἐκεῖνον οὕτως νηστεύων, χορτάζῃς ἄλλους ἐν τοῖς λόγοις, καὶ διψῶν ἐν τῷ μὴ πιεῖν, ποτίζῃς ἄλλους διδάσκων. Μὴ οὖν ταῦτα προβαλλέτωσαν οἱ συμβουλεύοντές σοι. Οἴδαμεν γὰρ καὶ ἐπισκόπους νηστεύοντας, καὶ μοναχοὺς ἐσθίοντας. Οἴδαμεν καὶ ἐπισκόπους μὴ πίνοντας οἶνον, μοναχοὺς δὲ πίνοντας· οἴδαμεν καὶ σημεῖα ποιοῦντας ἐπισκόπους, μοναχοὺς δὲ μὴ ποιοῦντας. Πολλοὶ δὲ τῶν ἐπισκόπων οὐδὲ γεγαμήκασι, μοναχοὶ δὲ πατέρες τέκνων γεγόνασιν· ὥσπερ καὶ ἐπισκόπους πατέρας τέκνων, καὶ μοναχοὺς ἐξ ὁλοκλήρου γένους τυγχάνοντας. Καὶ πάλιν οἴδαμεν κληρικοὺς πεινῶντας, μοναχοὺς δὲ νηστεύοντας. Ἔξεστι γὰρ καὶ οὕτως, καὶ ἐκείνως οὐ κεκώλυται. Ἀλλὰ πανταχοῦ τις ἀγωνιζέσθω· καὶ γὰρ ὁ στέφανος οὐ κατὰ τόπον, ἀλλὰ κατὰ τὴν πρᾶξιν ἀποδίδοται.

10. Οὐκοῦν μὴ ἀνέχου τῶν ἕτερα παρὰ ταῦτα συμβουλευόντων, ἀλλὰ μᾶλλον ἐπείγου, καὶ μὴ μέλλε· μάλιστα ὅτι καὶ ἡ ἁγία ἑορτὴ ἐγγίζει, ἵνα μὴ χωρὶς σοῦ οἱ λαοὶ τὴν ἑορτὴν ποιήσωσι, καὶ μέγαν κίνδυνον ἐπισπάσῃ κατὰ σαυτοῦ. Τίς γὰρ αὐτοῖς εὐαγγελίσεται τὸ Πάσχα, μὴ παρόντος σου; Τίς αὐτοῖς τὴν ἡμέραν ἀναγγελεῖ τῆς ἀναστάσεως, κρυπτομένου σου; Τίς αὐτοῖς συμβουλεύσει δεόντως ἑορτάζειν, φεύγοντός σου; Ὦ πόσοι μὲν ὠφεληθήσονται παραγενομένου σου, πόσοι δὲ βλαβήσονται φεύγοντός σου! Καὶ τίς ἐπὶ τούτοις ἀποδέξεταί σε; Καὶ διὰ τί συμβουλεύουσί σοι μὴ ἀντιλαμβάνεσθαί σε τῆς ἐπισκοπῆς, αὐτοὶ θέλοντες ἔχειν πρεσβυτέρους; Εἰ γὰρ φαῦλος τυγχάνεις, μὴ συνέστωσάν σοι· εἰ δὲ ἐπιτήδειον εἶναί σε ἐπιγινώσκουσι, μὴ φθονείτωσαν τοῖς ἄλλοις· εἰ γὰρ τὸ διδάσκειν καὶ προΐστασθαι πρόφασίς ἐστιν ἁμαρτίας κατ' ἐκείνους, μὴ διδασκέσθωσαν αὐτοί, μηδὲ πρεσβυτέρους ἐχέτωσαν, ἵνα μὴ χείρους ἑαυτῶν γένωνται αὐτοί τε καὶ οἱ διδάσκοντες αὐτούς. Ἀλλὰ μὴ πρόσεχε τούτοις τοῖς ἀνθρωπίνοις ῥήμασι, μηδὲ ἀνέχου τῶν ταῦτα συμβουλευόντων, καθὰ πολλάκις προεῖπον· σπεῦδε δὲ μᾶλλον καὶ ἐπίστρεφε πρὸς τὸν Κύριον, ἵνα, τῶν προβάτων αὐτοῦ φροντίζων, μνημονεύσῃς καὶ ἡμῶν.

Τούτου δὲ χάριν προετρεψάμην ἐλθεῖν τοὺς ἀγαπητοὺς ἡμῶν Ἱέρακα τὸν πρεσβύτερον, καὶ Μάξιμον τὸν ἀναγνώστην· ἵνα καὶ διὰ λόγων σε προτρέψωνται, καὶ μαθεῖν δυνηθῇς ἐκ τούτου τήν τε διάθεσιν ἣν ἔχων ἔγραψα, καὶ τὸν ἐκ τοῦ ἀντιλέγειν τῇ ἐκκλησιαστικῇ διατάξει κίνδυνον.

Μ. ΑΘΑΝΑΣΙΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΣΕΡΑΠΙΩΝΑ*

'Αθανάσιος Σεραπίωνι ἀδελφῷ καὶ συλλειτουργῷ ἐν κυρίῳ χαίρειν.

'Ενέτυχον τοῖς παρὰ τῆς σῆς εὐλαβείας γραφεῖσιν, ἐν οἷς προέτρεπες ἡμᾶς τά τε καθ' ἡμᾶς καὶ νῦν γενόμενα δηλῶσαί σοι καὶ περὶ τῆς ἀσεβεστάτης αἱρέσεως τῶν 'Αρειανῶν, δι' ἣν καὶ ταῦτα πεπόνθαμεν, καὶ ὁποῖον ἔσχε τὸ τέλος τοῦ βίου Ἄρειος. τριῶν τοίνυν ὄντων τῶν ἐπιταγμάτων τὰ μὲν δύο προθύμως ἐποίησα καὶ ἀπέστειλα τῇ σῇ θεοσεβείᾳ ἅπερ ἔγραψα τοῖς μοναχοῖς· ἐκ γὰρ τούτων τά τε καθ' ἡμᾶς καὶ τὰ κατὰ τὴν αἵρεσιν δύνασαι μαθεῖν· τὸ δὲ ἕτερον, φημὶ δὴ περὶ τοῦ θανάτου, πολλὰ μὲν ἐλογισάμην εὐλαβούμενος, μὴ ὡς ἐπεμβαίνοντά μέ τις τῷ θανάτῳ τοῦ ἀνθρώπου λογίσηται, ὅμως δέ, ἐπειδὴ διαλέξεως γενομένης παρ' ὑμῖν περὶ τῆς αἱρέσεως εἰς τοῦτο τὸ τέλος ἔληξεν ἡ ζήτησις, εἰ κοινωνήσας τῇ ἐκκλησίᾳ Ἄρειος ἐτελεύτησε, διὰ τοῦτο ὡς διαλυομένης τῆς ζητήσεως ἐκ τοῦ περὶ τοῦ θανάτου διηγήματος ἀναγκαίως δηλῶσαι ἐσπούδασα ἴσον ἡγούμενος τὸ σημᾶναι τοῦτο καὶ τὸ παῦσαι λοιπὸν τοὺς φιλονεικοῦντας. ἡγοῦμαι γὰρ ὅτι γνωσθέντος τοῦ περὶ τοῦ θανάτου θαύματος μηκέτι μηδὲ αὐτοὺς τοὺς πρότερον ζητήσαντας τολμᾶν ἀμφιβάλλειν, ὡς θεοστυγής ἐστιν ἡ ἀρειανὴ αἵρεσις.

'Εγὼ μὲν οὐ παρήμην ἐν Κωνσταντινουπόλει, ὅτε ἐτελεύτησεν ἐκεῖνος, Μακάριος δὲ ὁ πρεσβύτερος παρῆν, κἀκείνου λέγοντος ἤκουσα. ἐκέκλητο μὲν παρὰ Κωνσταντίνου τοῦ βασιλέως Ἄρειος ἐκ σπουδῆς τῶν περὶ Εὐσέβιον. εἰσελθόντα δὲ τὸν Ἄρειον ἀνέκρινε ὁ βασιλεύς, εἰ τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας ἔχει· αὐτός τε ὤμοσε πιστεύειν ὀρθῶς καὶ ἔγγραφον ἐπιδέδωκε πίστεως κρύψας μὲν ἐφ' οἷς ἐξεβλήθη τῆς 'Εκκλησίας παρὰ 'Αλεξάνδρου τοῦ ἐπισκόπου, | ὑποκρινόμενος δὲ τὰς ἀπὸ τῶν γραφῶν λέξεις. ὀμόσαντα τοίνυν αὐτὸν μὴ πεφρονηκέναι ἐφ' οἷς ἐξέβαλεν 'Αλέξανδρος αὐτόν, ἀπέλυσεν εἰρηκώς· 'εἰ ὀρθή σού ἐστιν ἡ πίστις, καλῶς ὤμοσας· εἰ δὲ ἀσεβής ἐστιν ἡ πίστις σου, καὶ ὤμοσας, ὁ θεὸς ἐκ τοῦ ὅρκου κρίναι τὸ κατὰ σέ.' οὕτω δὴ οὖν αὐτὸν ἐξελθόντα παρὰ τοῦ βασιλέως ἠθέλησαν εἰσαγαγεῖν εἰς τὴν ἐκκλησίαν οἱ περὶ Εὐσέβιον τῇ συνήθει ἑαυτῶν βίᾳ. ἀλλ' ὁ τῆς Κωνσταντινουπόλεως ἐπίσκοπος, ὁ μακαρίτης 'Αλέξανδρος, ἀντέλεγε φάσκων· μὴ δεῖν εἰς κοινωνίαν δεχθῆναι τὸν τῆς αἱρέσεως

---

* Κατὰ τὴν ἔκδοσιν H. G. Opitz, Athanasius Werke, Berlin und Leipzig, 1934 τ. II, σ. 178-180.

εὑρετήν. καὶ λοιπὸν οἱ περὶ Εὐσέβιον ἠπείλησαν ὅτι 'ὥσπερ μὴ θελόντων ὑμῶν ἐποιήσαμεν αὐτὸν κληθῆναι παρὰ βασιλέως, οὕτως αὔριον, κἂν μὴ κατὰ γνώμην σοι τυγχάνῃ, συναχθήσεται Ἄρειος μεθ' ἡμῶν ἐν τῇ ἐκκλησίᾳ ταύτῃ.' σάββατον δὲ ἦν, ὅτε ταῦτα ἔλεγον.

Ὁ τοίνυν ἐπίσκοπος Ἀλέξανδρος ἀκούσας ταῦτα καὶ πάνυ λυπηθεὶς εἰσελθὼν εἰς τὴν ἐκκλησίαν τάς τε χεῖρας ἐκτείνας πρὸς τὸν θεὸν ἀπωδύρετο καὶ ῥίψας ἑαυτὸν ἐπὶ πρόσωπον ἐν τῷ ἱερατείῳ, κείμενος ἐπὶ τοῦ ἐδάφους ηὔχετο. παρῆν δὲ καὶ Μακάριος εὐχόμενος σὺν αὐτῷ καὶ ἀκούσας τῆς φωνῆς αὐτοῦ. παρεκάλει δὲ δύο ταῦτα λέγων· 'εἰ Ἄρειος αὔριον συνάγεται, ἀπόλυσον ἐμὲ τὸν δοῦλόν σου καὶ μὴ συναπολέσῃς εὐσεβῆ μετὰ ἀσεβοῦς[1], εἰ δὲ φείδῃ τῆς ἐκκλησίας σου (οἶδα δὲ ὅτι φείδῃ) ἔπιδε ἐπὶ τὰ ῥήματα τῶν περὶ Εὐσέβιον καὶ μὴ δῷς εἰς ἀφανισμὸν καὶ ὄνειδος τὴν κληρονομίαν σου[2], καὶ ἆρον Ἄρειον, ἵνα μὴ εἰσελθόντος αὐτοῦ εἰς τὴν ἐκκλησίαν δόξῃ καὶ ἡ αἵρεσις συνεισέρχεσθαι αὐτῷ καὶ λοιπὸν ἡ ἀσέβεια ὡς εὐσέβεια νομισθῇ.' ταῦτα εὐξάμενος ὁ ἐπίσκοπος ἀνεχώρησε πάνυ φροντίζων. καὶ γέγονέ τι θαυμαστὸν καὶ παράδοξον· τῶν γὰρ περὶ Εὐσέβιον ἀπειλησάντων ὁ μὲν ἐπίσκοπος ηὔξατο, ὁ δὲ Ἄρειος ἐθάρρει τοῖς περὶ Εὐσέβιον πολλά τε φλυαρῶν εἰσῆλθεν εἰς θάκας ὡς διὰ χρείαν τῆς γαστρὸς καὶ ἐξαίφνης κατὰ τὸ γεγραμμένον «πρηνὴς γενόμενος ἐλάκησε μέσος[3]» καὶ πεσὼν ἀπέψυξεν ἀμφοτέρων τε τῆς τε κοινωνίας καὶ τοῦ ζῆν ἐστερήθη.

Τὸ μὲν οὖν τέλος τοῦ Ἀρείου τοιοῦτον γέγονε· καὶ οἱ περὶ Εὐσέβιον μεγάλως αἰσχυνθέντες ἔθαψαν τὸν συνωμότην ἑαυτῶν, ὁ δὲ μακαρίτης Ἀλέξανδρος χαιρούσης τῆς ἐκκλησίας τὴν σύναξιν ἐπετέλεσεν ἐν εὐσεβείᾳ καὶ ὀρθοδοξίᾳ σὺν πᾶσι τοῖς ἀδελφοῖς εὐχόμενος καὶ δοξάζων μεγάλως τὸν θεὸν οὐχ ὡς ἐπιχαίρων τῷ θανάτῳ, μὴ γένοιτο («πᾶσι» γὰρ «ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν[4]») ἀλλ' ὅτι τοῦτο ὑπὲρ τὰς ἀνθρώπων κρίσεις ἐδείχθη. | αὐτὸς γὰρ ὁ κύριος δικάσας ταῖς ἀπειλαῖς τῶν περὶ Εὐσέβιον καὶ τῇ εὐχῇ Ἀλεξάνδρου κατέκρινε τὴν ἀρειανὴν αἵρεσιν δείξας | αὐτὴν ἀνάξιον οὖσαν τῆς ἐκκλησιαστικῆς κοινωνίας καὶ πᾶσι φανερώσας ὅτι, κἂν παρὰ βασιλέως καὶ πάντων ἀνθρώπων ἔχῃ τὴν προστασίαν, ἀλλὰ παρ' αὐτῆς τῆς ἐκκλησίας κατεκρίθη. δέδεικται οὖν οὐ θεοφιλὲς ἀλλ' ἀσεβὲς τὸ χριστομάχον ἐργαστήριον τῶν Ἀρειομανιτῶν. καὶ πολλοὶ τῶν πρότερον ἀπατηθέντων μετέθεντο. οὐ γὰρ ἄλλος ἀλλ' αὐτὸς ὁ βλασφημούμενος παρ' αὐτῶν κύριος κατέκρινε τὴν κατ' αὐτοῦ συστᾶσαν αἵρεσιν καὶ πάλιν ἔδειξεν ὅτι, κἂν νῦν ὁ βασιλεὺς Κωνστάντιος βιάζηται τοὺς ἐπισκόπους ὑπὲρ αὐτῆς, ἀλλ' ἀκοινώνητός ἐστι τῆς ἐκκλησίας καὶ τῶν οὐρανῶν ἀλλοτρία. οὐκοῦν καὶ ἡ παρ' ὑμῖν λοιπὸν πεπαύσθω ζήτησις· αὕτη γὰρ ἦν ἡ γενομένη συνθήκη· καὶ μηδεὶς προστιθέσθω τῇ αἱρέσει,

1. Πρβλ. Γεν. 18, 23. 2. Πρβλ. Ἰωὴλ 2, 12. 3. Πράξ. 1, 18. 4. Ἑβρ. 9, 27.

ἀλλὰ καὶ οἱ ἀπατηθέντες μεταγινωσκέτωσαν. ἣν γὰρ ὁ κύριος κατέκρινε, τίς ἀποδέξεται; καὶ ἣν ἀκοινώνητον αὐτὸς πεποίηκε, πῶς ὁ προσλαμβανόμενος οὐ μεγάλως ἀσεβεῖ καὶ φανερῶς ἐστι χριστομάχος;

Ἱκανὸν μὲν οὖν καὶ τοῦτο δυσωπῆσαι τοὺς ἐριστικούς, ἀνάγνωθι δὲ ὅμως τοῖς τότε ζητήσασι καὶ τὰ κατὰ τῆς αἱρέσεως δι' ὀλίγων γραφέντα πρὸς τοὺς μοναχούς, ἵνα καὶ ἐξ αὐτῶν ἔτι μᾶλλον καταγινώσκωσι τῆς ἀσεβείας καὶ τῆς πονηρίας τῶν Ἀρειομανιτῶν. μηδενὶ μέντοι θελήσῃς ἐκδοῦναι τούτων ἀντίγραφον μηδὲ σαυτῷ μεταγράψαι, καὶ γὰρ καὶ τοῖς μοναχοῖς τοῦτο δεδήλωκα. ἀλλ' ὡς γνήσιος, εἰ μέν τι λείπει τοῖς γραφεῖσι, πρόσθες, εὐθὺς δὲ πρὸς ἡμᾶς ἀντίπεμψον. καὶ γὰρ καὶ ἐκ τῆς ἐπιστολῆς, ἧς ἔγραψα τοῖς ἀδελφοῖς, δύνασαι μαθεῖν, ὃ πέπονθα γράφων, καὶ γνῶναι, ὅτι καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀσφαλὲς ἐκδίδοσθαι γράμματα ἰδιώτου καὶ μάλιστα περὶ τῶν ἀνωτάτω καὶ κορυφαιοτάτων δογμάτων, μήποτε τὸ δι' ἀσθένειαν ἢ τὸ ἀδιατράνωτον τῆς γλώττης ἐνδεῶς εἰρημένον βλάβην τοῖς ἀναγινώσκουσιν ἐμποιήσῃ. οἱ γὰρ πολλοὶ οὐ τὴν πίστιν οὐδὲ τὸν σκοπὸν τοῦ γράψαντος σκοποῦσιν, ἀλλ' ἢ διὰ φθόνον ἢ δι' ἔριν ἧς προελήφθησαν κατὰ διάνοιαν δόξης, ὡς ἂν θέλωσιν αὐτοί, δέχονται καὶ μεταποιοῦσι τὰ γραφέντα κατὰ τὴν ἰδίαν ἡδονήν. δῴη δὲ ὁ κύριος παρὰ πᾶσι καὶ μάλιστα οἷς ἀναγινώσκεις ταῦτα κρατεῖν τήν τε ἀλήθειαν καὶ τὴν ὑγιαίνουσαν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν. ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΔΥΟ ΠΡΟΣ ΩΡΣΙΣΙΟΝ*

ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ ΠΡΟΣ ΩΡΣΙΣΙΟΝ

Ex Appendice in Acta Sanctorum ad decimam quartam Maii, p. 49.

Καὶ ἡμέρας ὀλίγας ποιήσας ἐκεῖ, λέγει τῷ ἀββᾷ Θεοδώρῳ· Ἐπειδὴ ἐγγύς ἐστι τὸ Πάσχα, κατάλαβε τοὺς ἀδελφοὺς κατὰ τὸν τύπον ὃν ἔχετε, καὶ ἐγώ, ὡς ὁ Κύριος οἰκονομήσει με, ποιῶ. Καὶ ἀσπασάμενος αὐτὸν ἀπέλυσεν, γράψας ἐπιστολὴν δι' αὐτοῦ τῷ ἀββᾷ Ὡρσισίῳ καὶ τοῖς ἀδελφοῖς, οὕτως ἔχουσαν τὴν διάνοιαν·

Εἶδον τὸν συνεργόν σου καὶ Πατέρα τῶν ἀδελφῶν Θεόδωρον, καὶ ἐν αὐτῷ τὸν Κύριον τοῦ Πατρὸς ἡμῶν Παχουμίου· καὶ ὁρῶν ἠγαλλιασάμην τῆς Ἐκκλησίας τὰ τέκνα, καὶ ηὔφραναν ἡμᾶς τῇ παρουσίᾳ. Ὁ δὲ Κύριος μισθαποδότης αὐτῶν ἐστι. Μέλλων δὲ ἀποδημῆσαι Θεόδωρος πρὸς ὑμᾶς, ἔλεγέ μοι τοῦτο· Μνήσθητί μου· κἀγὼ αὐτῷ ἔλεγον· «Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ.[1]»

ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΩΡΣΙΣΙΟΝ

In Actis Sanctorum, ex appendice tom. III mensis Maii, p. 50 in, Vita sancti Pachomii.

Ἀκούσας δὲ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Ἀθανάσιος περὶ τοῦ Πατρὸς ἡμῶν Θεοδώρου, ἐλυπήθη, καὶ ἔπεμψε ταύτην τὴν ἐπιστολὴν τῷ ἀββᾷ Ὡρσισίῳ καὶ τοῖς ἀδελφοῖς, παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ κοιμήσει αὐτοῦ οὕτως·

Ἀθανάσιος ἀββᾷ Ὡρσισίῳ, Πατρὶ μοναχῶν, καὶ πᾶσι τοῖς σὺν αὐτῷ τοῖς τὸν μονήρη βίον ἀσκοῦσιν, καὶ ἐν πίστει Θεοῦ ἱδρυμένοις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν Κυρίῳ χαίρειν.

Ἤκουσα περὶ τῆς κοιμήσεως τοῦ μακαρίου Θεοδώρου, καὶ πάνυ μετὰ πολλῆς φροντίδος ἤνεγκα τὴν ἀκοήν, εἰδὼς αὐτοῦ τὸ πρὸς ὑμᾶς χρήσιμον. Εἰ μὲν οὖν μὴ ἦν Θεόδωρος, πολλοῖς ἂν ὑμῖν μετὰ δακρύων ἐχρησάμην λόγοις, λογιζόμενος τὸ μετὰ θάνατον· ἐπειδὴ δὲ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 977-980.

1. Ψαλμ. 136, 5-6.

Θεόδωρός ἐστιν, ὃν ὑμεῖς τε καὶ ἡμεῖς ἐγνώκαμεν, τί δεῖ γράφοντά με λέγειν, ἤ· Μακάριος Θεόδωρος·« ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν;[1]» Ἀλλ' εἰ μακάριός ἐστιν ὁ φοβούμενος τὸν Κύριον· νῦν γὰρ μακαρίζειν τεθαρρήκαμεν, ἔχοντες ἀσφαλῆ τὸν λόγον, ὅτι, καταντήσας ὥσπερ εἰς λιμένα, ἀμέριμνον βίον ἔχει. Εἴθε καὶ ἐφ' ἑκάστου ἡμῶν τοῦτο ἔφθανεν! εἴθε τρέχων ἕκαστος οὕτως καταντήσειεν! εἴθε πλέων ἕκαστος προσορμήσειε τὸ ἴδιον σκάφος πρὸς τὸν ἀχείμαστον ἐκεῖ λιμένα, ἵνα μετὰ τῶν πατέρων ἀναπαυόμενος λέγῃ· «Ὧδε κατοικήσω, ὅτι ἡρέθην αὐτήν![2]» Οὐκοῦν, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί, μὴ κλαίετε Θεόδωρον· οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύδει. Μὴ δασκρυέτω τις μνημονεύων αὐτοῦ, ἀλλὰ ζηλούτω τὸν βίον αὐτοῦ. Οὐ δεῖ γὰρ ἐπὶ τῷ ἀπελθόντι εἰς τὸν ἄλυπον τόπον λυπεῖσθαι. Ταῦτα δὲ κοινῇ ὑμῖν γράφω· ἐξαιρέτως δὲ σοί, ὦ ἀγαπητὲ καὶ ποθεινότατε Ὡρσίσιε, ἵνα, κοιμηθέντος ἐκείνου, σὺ τὴν ὅλην φροντίδα ἀναδέξῃ· καὶ γενοῦ ἀντ' αὐτοῦ τοῖς ἀδελφοῖς. Καὶ γὰρ περιόντος ἐκείνου, ἀμφότεροι ὡς εἷς ἐτυγχάνετε· καὶ ἑνὸς ἀποδημοῦντος, ἐπληροῦτο ἡ τῶν δύο χρεία, καὶ τῶν δύο παρόντων ὡς εἷς ἐγίνεσθε, τοῖς ἀγαπητοῖς τὰ πρὸς ὠφέλειαν ὁμιλοῦντες. Οὕτως οὖν πρᾶττε, οὕτω ποιῶν γράφε καὶ σήμαινε ἡμῖν περὶ τῆς σεαυτοῦ καὶ τῆς ἀδελφότητος σωτηρίας. Καὶ εὔχεσθε, παρακαλῶ, κοινῇ πάντες, ἵνα ἐπὶ πλέον εἰρήνην βραβεύσῃ ταῖς Ἐκκλησίαις ὁ Κύριος. Καὶ γὰρ καὶ νῦν μετ' εὐθυμία, ἑορτάσωμεν τό τε Πάσχα καὶ τὴν Πεντηκοστήν, καὶ εὐφραίνωμεν ἐπὶ ταῖς τοῦ Κυρίου εὐεργεσίαις. Ἐγράψαμεν ὑμῖν. Προσαγορεύετε πάντας τοὺς φοβουμένους τὸν Κύριον. Προσαγορεύουσιν ὑμᾶς οἱ σὺν ἐμοί. Ἐρρῶσθαι ὑμᾶς ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

1. Ψαλμ. 1, 1. 2. Ψαλμ. 131, 14.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ *

ΠΡΟΣ ΜΟΝΑΧΟΥΣ

Τοῖς τὸν μονήρη βίον ἀσκοῦσι, καὶ ἐν πίστει Θεοῦ ἱδρυμένοις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς ἐν Κυρίῳ χαίρειν.

Εὐχαριστῶν μὲν τῷ Κυρίῳ, τῷ δόντι ὑμῖν εἰς αὐτὸν πιστεῦσαι, ἵνα μετὰ τῶν ἁγίων καὶ ὑμεῖς ἔχητε τὴν ζωὴν τὴν αἰώνιον· ἐπειδὴ δὲ εἰσί τινες οἱ τὰ Ἀρείου φρονοῦντες, περιερχόμενοι τὰ μοναστήρια, δι' οὐδὲν ἄλλο εἰ μὴ ἵνα, ὡς πρὸς ὑμᾶς ἐλθόντες καὶ ἀφ' ἡμῶν ὑποστρέφοντες, τοὺς ἀκεραίους ἐξαπατῶσι· τινὲς δέ εἰσιν οἱ διαβεβαιοῦντες μὲν τὰ Ἀρείου μὴ φρονεῖν, συγκαταβαίνοντες δέ, καὶ μετ' αὐτῶν εὐχόμενοι ἐπὶ τὸ αὐτό· ἀναγκαίως, παρακελευόντων τινῶν εἰλικρινεστάτων ἀδελφῶν, πρὸς ὑμᾶς γράφειν ἐσπούδασα, ἵνα τὴν εὐσεβῆ πίστιν, ἣν ἡ τοῦ Θεοῦ χάρις ἐν ὑμῖν ἐργάζεται, ἀκεραίως καὶ ἀδόλως φυλάττοντες, οὐ μὴ πρόφασιν δῶτε σκανδάλου τοῖς ἀδελφοῖς. Ὅταν γάρ τινες ὑμᾶς τοὺς ἐν Χριστῷ πιστοὺς θεωρήσαντες μετ' αὐτῶν συνερχομένους καὶ κοινωνοῦντας, πάντως ὑπονοήσαντες ἀδιάφορον εἶναι τὸ τοιοῦτον, εἰς τὸν τῆς ἀσεβείας ἐμπεσοῦνται βόρβορον. Ἵν' οὖν μὴ τοῦτο γένηται, θελήσατε, ἀγαπητοί, τοὺς μὲν φανερῶς φρονοῦντας τὰ τῆς ἀσεβείας ἀποστρέφεσθαι, τοὺς δὲ νομίζοντας τὰ Ἀρείου μὴ φρονεῖν, κοινωνοῦντας δὲ μετὰ τῶν ἀσεβῶν φυλάττεσθαι· καὶ μάλιστα ὧν τὸ φρόνημα ἀποστρεφόμεθα, τούτους ἀπὸ τῆς κοινωνίας προσήκει φεύγειν. Εἰ δέ τις προσποιεῖται μὲν ὁμολογεῖν ὀρθὴν πίστιν, φαίνεται δὲ κοινωνῶν ἐκείνοις, τὸν τοιοῦτον προτρέψασθε ἀπέχεσθαι τῆς τοιαύτης συνηθείας· καὶ ἐὰν μὲν ἐπαγγέλληται, ἔχετε τὸν τοιοῦτον ὡς ἀδελφόν· ἐὰν δὲ φιλονείκως ἐπιμένῃ, τὸν τοιοῦτον παραιτεῖσθε. Οὕτω γὰρ διατελοῦντες καθαρὰν τὴν πίστιν διατηρήσετε· κἀκεῖνοι βλέποντες ὑμᾶς ὠφεληθήσονται, φοβηθέντες μὴ ἄρα ὡς ἀσεβεῖς καὶ τὰ ἐκείνων φρονοῦντες νομισθῶσιν.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1185-1188.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΑΠΟΣΠΑΣΜΑΤΑ ΔΙΑΦΟΡΑ*

ΔΙΗΓΗΣΙΣ ΑΘΑΝΑΣΙΟΥ ΠΡΟΣ ΑΜΜΩΝΙΟΝ ΕΠΙΣΚΟΠΟΝ

Excerpta ex appendice ad Acta Sanctorum tomo III mensis Maii, p. 71: digna sane quae hic apponatur (25).

Ἐπειδὴ δὲ φθάσας ὁ μακάριος πάπας Ἀθανάσιος, παρούσης τῆς ἐμῆς βραχύτητος, καὶ ἄλλων κληρικῶν τῆς Ἀλεξανδρέων Ἐκκλησίας, ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, τῷ μακαρίῳ τῇ μνήμῃ Ἀμμωνίῳ ἐπισκόπῳ γενομένῳ τῆς Ἐλαιαρχίας, καὶ Ἕρμωνι τῷ τῆς Βουμαστικῶν, εἶπέ τι περὶ Θεοδώρου· νομίζω δὲ καὶ τὴν σὴν ἁγιότητα παροῦσαν τότε ἀκηκοέναι· ἀναγκαῖον πρὸς ὑπόμνησιν τῆς σῆς εὐλαβείας ἃ εἶπεν γράφω. Τῶν μνημονευθέντων ἐπισκόπων θαυμαζόντων τὸν μακάριον Ἀντώνιον (πολλάκις γὰρ αὐτῷ Ἀντώνιος συντυχὼν ἦν), ὁ πάπας Ἀθανάσιος πρὸς αὐτοὺς ἔφη·

Εἶδον καὶ ἐν τοῖς καιροῖς τούτοις ἀνθρώπους τοῦ Θεοῦ μεγάλους, Θεόδωρον τὸν ἡγιασμένον τῶν Ταβεννησίων μοναχῶν, καὶ περὶ τὴν Ἀντινόου μοναχῶν Πατέρα, ἀββὰ Πάμμων τοὔνομα, οἳ πρὸ ὀλίγου κεκοίμηνται. Ὡς γὰρ ἤμην διωχθεὶς ὑπὸ Ἰουλιανοῦ, καὶ προσδοκῶν ἀναιρεθῆναι ἀπ᾽ αὐτοῦ (δεδήλωτο γάρ μοι τοῦτο ὑπὸ γνησίων) ἦλθον, οἱ δύο οὗτοι εἰς τὴν Ἀντινόου πρός με ἐν μιᾷ ἡμέρᾳ. Καὶ βουλευσάμενος κρυβῆναι παρὰ Θεοδώρου, ἐπέβην τῷ ἐκείνου πλοίῳ πάντοθεν κεκαλυμμένῳ, προπέμποντος ἡμᾶς καὶ ἀββᾶ Πάμμωνος. Καὶ τοῦ ἀνέμου ἀνεπιτηδείου γενομένου, ἐγὼ μὲν ἀγωνιῶν τῇ καρδίᾳ προσηυχόμην· οἱ δὲ μετὰ Θεοδώρου μονάζοντες, ἐξελθόντες παρεῖλκον τὸ πλοῖον. Καὶ ἀββᾶ Πάμμων ἀγωνιῶντά με παραμυθούμενος ἔλεγεν· Πίστευσόν μοι λέγοντι, οὐχ οὕτως ἔχω πεποιθυῖαν τὴν καρδίαν μου ἐν καιρῷ εἰρήνης, ὡς ἐν τοῖς τοῦ διωγμοῦ καιροῖς. Τεθάρρηκα γάρ, ὅτι ὑπὲρ Χριστοῦ πάσχων, καὶ τῷ ἐλέει αὐτοῦ δυναμούμενος, κἂν ἀναιρεθῶ, ἔτι μᾶλλον εὑρίσκω παρ᾽ αὐτῷ ἔλεος. Καὶ ἔτι μου λέγοντος ταῦτα, Θεόδωρος ἐνατενίσας ἀββᾷ Πάμμωνι ἐμειδίασε· καὶ σχεδὸν γελάσαντος ἀββᾶ Πάμμωνος, ἐγὼ μὲν πρὸς αὐτοὺς ἔφην· Διατί ἐγελάσατε, ταῦτά μου λέγοντος; ἄρα δειλείας μου κατέγνωτε; Θεόδωρος δὲ πρὸς ἀββᾶ Πάμμωνα ἔφη· Εἰπὲ αὐτῷ διὰ τί ἐμειδιάσαμεν. Καὶ ἀββᾶ Πάμμωνος εἰπόντος, Σὺ εἰπεῖν ὀφείλεις, Θεόδωρος ἔφη· Ταύτῃ τῇ ὥρᾳ ἀνῃρέθη Ἰουλιανὸς ἐν Περσίδι· προειρήκει γὰρ περὶ αὐτοῦ ὁ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 980-981 καὶ 1217 ἑξ.

Θεὸς οὕτως. «Ὁ δὲ κατοιόμενος, καταφρονητής, ἀνὴρ ἀλαζὼν οὐδὲν οὐ μὴ περανεῖ.[1]» Ἀναστήσεται δὲ βασιλεὺς Χριστιανός, ὅστις λαμπρὸς μέν, ὀλιγόβιος δὲ ἔσται. Διὸ οὐκ ὀφείλεις ἐπὶ τὴν Θηβαΐδα σκυλλόμενος ἀπελθεῖν, ἀλλ' εἰς τὸν κομιτάτον λεληθότως γενέσθαι· συντεύξῃ γὰρ αὐτῷ καθ' ὁδόν, καὶ γνησίως ὑποδεχθεὶς παρ' αὐτοῦ, ἐπανήξεις εἰς τὴν Ἐκκλησίαν. Καὶ οὕτως ἐκεῖνος τάχιον ὑπὸ τοῦ Θεοῦ προληφθήσεται. Καὶ γέγονεν οὕτως. Ὅθεν πιστεύω πολλοὺς εὐαρεστοῦντας τῷ Θεῷ ἐν τοῖς μονάζουσιν μάλιστα κρύπτεσθαι· κἀκεῖνοι γὰρ λανθάνοντες ἦσαν, ὥσπερ καὶ ὁ μακάριος Ἀμοῦν, καὶ ὁ ἅγιος Θεόδωρος ἐν τῷ ὄρει τῆς Νιτρίας, καὶ ὁ δοῦλος τοῦ Θεοῦ ὁ εὐγηρότατος Πάμμων.

ΑΠΟΣΠΑΣΜΑ ΟΜΙΛΙΑΣ

«Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον.[2]»

Ἀλλ' ἄνωθεν πάλιν ἴδωμεν τίς ἐστιν ἡ ἀρχὴ τοῦ λόγου· αὐτὸς ἐφεξῆς τίθησι λέγων· «Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας [3]», καὶ τὰ ἑξῆς. Εἰ δὲ τοῦτο ἀρχή, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων, καὶ διὰ τοῦ πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν καὶ κρίματος αἰωνίου; Τί δέ ἐστιν ἀρχή; οὐδὲν ἄλλο ἢ τοῦτο. Ἀρχή, φησίν, ὅταν μὴ βίος ἀκριβὴς παρῇ. Καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερχόμενον τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι, οὕτω καὶ τὸν Χριστιανὸν ταῦτα εἰδέναι ἀκριβῶς πρῶτον χρή, καὶ μηδὲ ἀμφιβάλλειν περὶ αὐτῶν. Εἰ δὲ δέοιτο πάλιν διδασκαλίαν, οὔπω τὸν θεμέλιον ἔχει. Τὸ γὰρ ἑδραῖον πεπηγέναι χρὴ καὶ ἑστάναι, καὶ μὴ μετακινεῖσθαι. Εἰ δὲ μέλλοι τις, κατηχηθεὶς καὶ βαπτισθείς, μετὰ ἔτη δέκα περὶ πίστεως πάλιν ἀκούειν, καὶ ὅτε πιστεῦσαι χρὴ εἰς ἀνάστασιν νεκρῶν, οὔπω τὸν θεμέλιον ἔχει· πάλιν τὴν ἀρχὴν τοῦ Χριστιανισμοῦ ζητεῖ. Ὅτι γὰρ ἡ πίστις θεμέλιος, τὸ δὲ λοιπὸν οἰκοδομεῖ, ἄκουε αὐτοῦ λέγοντος· «Ἐγὼ θεμέλιον τέθεικα· ἄλλος ἐποικοδομεῖ.[4]» Τί δέ ἐστιν, «Ἐπὶ τὴν τελειότητα φερώμεθα; [5]» Πρὸς αὐτὴν χωρῶμεν λοιπόν, φησί, τὴν ὀροφήν, τουτέστι, βίον ἄριστον ἔχωμεν. Ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν οἰκοδομήν, οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα ἡ περὶ τὴν πίστιν πληροφορία· ταύτης δὲ ἄνευ οὐκ ἔστιν εἶναι Χριστιανόν, ὥσπερ οὐδὲ θεμελίων ἄνευ οἰκοδομήν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων γενέσθαι. Ἀλλ' ἐάν τις ἀεὶ περὶ τὰ στοιχεῖα στρέφηται, ἢ εἴ τις περὶ τὸν θεμέλιον, οὐδέπω ἔσται αὐτῷ τι πλέον· οὕτω καὶ ἐφ' ἡμῶν. Ἂν γὰρ ἀεὶ ἐν τῇ ἀρχῇ τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τῷ τέλει ταύτης ἀνα-

---

1. Ἀββ. 2, 5. 2. Ἑβρ. 6, 1. 3. Ἑβρ. 6, 1. 4. Α' Κορ. 3, 10. 5. Ἑβρ. 6, 1.

βησόμεθα. Σὺ δὲ μὴ νομίσῃς ἠλαττῶσθαι τὴν πίστιν, διὰ τὸ στοιχεῖον κληθῆναι. Ἡ γὰρ πᾶσα δύναμις αὕτη ἐστίν. Ὅταν γοῦν λέγει· «Πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστιν·[1]» οὐ γάλα ταύτην καλεῖ· ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, τοῦτό ἐστιν ἀσθενοῦς διανοίας, καὶ λόγων δεομένης πολλῶν. Τὰ γὰρ δόγματα ταῦτά ἐστι τὰ ὑγιῆ· τέλειον γὰρ ἐκεῖνον καλοῦμεν, τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν. Ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρά, καὶ περὶ αὐτῆς δὲ ταύτης ἀμφιβάλλῃ, καὶ ὑβρίζῃ τὴν διδασκαλίαν, εἰκότως αὐτὸν φήσομεν νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. Ὥστε, κἂν μυρία ἔτη ἐν τῇ πίστει ἔχωμεν, καὶ μὴ βέβαιοι ὦμεν, ἐν αὐτῇ νήπιοί ἐσμεν· ὅταν βίον αὐτῇ μὴ συμβαίνοντα ἐπιδεικνύμεθα· ὅταν ἔτι θεμέλιον καταβαλλόμεθα. Τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο ἐγκαλεῖ, ὡς παρασαλευθείσῃ καὶ δεομένοις θεμέλιον καταβάλλειν μετανοίας ἀπὸ νεκρῶν ἔργων. Τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον, καὶ τὸ μὲν ἀφιέντα, τὸ δὲ αἱρούμενον· πρότερον αὐτοῦ καταγνῶναι χρή, καὶ ἀποστῆναι τῇ διαθέσει καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον. Εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι; πῶς τοῦ δευτέρου ἅψεται; Τί φής, κατέγνωμεν τοῦ νόμου, καὶ πάλιν ἐπ' αὐτὸν ἀνατρέχειν κελεύεις; Τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ γὰρ ἐνταῦθα ἔχομεν νόμον. Νόμον οὖν, φησί, καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο! ἀλλὰ νόμον ἱστῶμεν. Ἐγὼ δὲ περὶ πονηρῶν εἶπον πραγμάτων, ἀλλ' οὐ περὶ νόμου. Ὁ γὰρ μέλλων ἐπ' ἀρετὴν ἐπιέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε αὐτὴν μετελθεῖν. Καλῶς δὲ τῇ μετανοίᾳ καὶ τὸ βάπτισμα προσέθηκεν. Οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι. Διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο· ἵν' ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένοιτο χάριτος. Οὔτε οὖν μετάνοια ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν. Ἐπὶ γοῦν τὸ βάπτισμα ἔδει ἔρχεσθαι, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ· καὶ καταψηφισάμενον. Τί δέ ἐστιν «Βαπτισμῶν, διδαχῆς;[2]» οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν, ἀλλ' ἑνός. Τί οὖν αὐτὸ πληθυντικῶς εἶπε; διὰ τὸ εἰπεῖν· «Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας.[3]» Εἰ γὰρ πάλιν αὐτοὺς ἐβάπτιζε, καὶ ἄνωθεν κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν. «Ἐπιθέσεως δὲ χειρῶν[4]», εἶπεν· οὕτω γὰρ τὸ Πνεῦμα ἐλάμβανον, ἐπιθέντος αὐτοῖς τὰς χεῖρας τοῦ Παύλου, φησί. «Ἀναστάσεώς τε νεκρῶν·[5]» τοῦτο γὰρ ἔν τε τῷ βαπτίσματι γίνεται καὶ ἐν τῆς ὁμολογίᾳ βεβαιοῦται. Καὶ κρίματος αἰωνίου. Διὰ τί δὲ ταῦτά φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ περισαλεύεσθαι, ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥᾳθύμως. Νήψατε, φησίν, οὐκ ἔνι εἰπεῖν· Ἐὰν ῥᾳ-

1. Ἑβρ. 5, 13. 2. Ἑβρ. 6, 2. 3. Ἑβρ. 6, 1. 4. Ἑβρ. 6, 2.
5. Ἑβρ. 6, 2.

θύμως ζήσωμεν, πάλιν βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, πάλιν ληψόμεθα Πνεῦμα. Κἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνησόμεθα βαπτιζόμενοι τὰ ἁμαρτήματα ἀπολούσασθαι, καὶ τῶν αὐτῶν τυχεῖν, ὧνπερ καὶ πρότερον. Θεμέλιον, φησί, κατεβαλόμεθα ἐν τῷ βαπτίζεσθαι, τουτέστιν ἀποταγὴν τῶν ἔργων τοῦ Σατανᾶ. Ἅπαξ γὰρ μετανοήσαντες, ἐπ' αὐτοῖς ἐβαπτίσθημεν. Οὐκέτι οὖν δὴ [δεῖ] ταῦτα ἐξ ἀρχῆς ποιεῖν. Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, τὸ περὶ βαπτίσματος λέγειν, καὶ χειρῶν ἐπιθέσεως, δι' ἣν τὸ Πνεῦμα ἐλάβατε, καὶ νεκρῶν ἀναστάσεως καὶ κρίσεως, ἐπὶ τὴν τελειότητα φερώμεθα. Οὐ δεῖ γὰρ ἀεὶ τὰ αὐτὰ λέγεσθαι. Εἴρηται γὰρ ἅπαξ καὶ γεγένηται. Ἀλλὰ δεῖ καὶ τὰ παρ' ἡμῶν εἰσφέρεσθαι· τουτέστι χρηστὴν πολιτείαν, καὶ τῆς πίστεως ἀξίαν. Αὕτη γὰρ ἡ τελειότης τὸ ἀμφιδέξιον εἶναι τὴν ἀρετήν· ὡσεὶ ἔλεγε· Νήψατε· οὐκ ἔνι γὰρ ζῆσαι ῥαθύμως, καὶ πάλιν βαπτισθῆναι, καὶ δι' ἐπιθέσεως χειρῶν λαβεῖν Πνεύματος ἁγίου ἐπιφοίτησιν. Τάχα δὲ οὗτοι, Ἰουδαϊκώτερον φρονοῦντες, διὰ τὸ διαφόρους ἐν τῷ νόμῳ εἶναι βαπτισμούς, ἐβούλοντο καὶ τὸ τῆς Νέας βάπτισμα, τὸ τὴν παλιγγενεσίαν δωρούμενον, πολλάκις βαπτίζεσθαι· διὰ τὸ ἀφέσεως ἁμαρτιῶν πολλάκις ἐθέλειν ἀξιοῦσθαι· διὸ ἐπάγει· «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας [1]», κτλ.

ΤΟΥ ΑΥΤΟΥ (ΑΘΑΝΑΣΙΟΥ) ΚΑΤΑ ΟΥΑΛΕΝΤΙΝΟΥ, ΤΑ ΠΟΛΛΑ ΣΥΜΦΩΝΟΥ ΟΝΤΟΣ ΤΟΙΣ ΠΡΟΔΗΛΩΘΕΙΣΙΝ ΑΙΡΕΤΙΚΟΙΣ

Πῶς λέγετε Χριστὸν οὐρανίαν σάρκα περιβεβλῆσθαι, καὶ οὐκ ἀνθρωπίνην, καίτοι τοῦ Ἀποστόλου φάσκοντος· «Ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες; Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται, φησίν, ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.[2]» Ἐξ ἑνὸς δέ, τίνος; Τοῦ Ἀδὰμ δηλονότι, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν· καὶ πάλιν· «Ἐπεὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως ἐπέσχε τῶν αὐτῶν.[3]» Ἀναιρῶν δὲ καὶ τὴν ὑπόληψιν τῆς οὐρανίου σαρκός, ἐπήγαγεν· «Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.[4]» Καὶ πολλὰ τοιαῦτα. Ἀλλ' ὁ Κύριος, φασίν, εἴρηκεν ἐν τοῖς Εὐαγγελίοις· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου [5]», ὁ ὢν ἐν τῷ οὐρανῷ· καὶ ὁ Ἀπόστολος πάλιν· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· [6]» ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος, ἐξ οὐρανοῦ οὐράνιος.[7] Ἰδοὺ γὰρ ἀμφοτέρωθεν οὐράνιος ἄνθρωπος ὀνομάζεται. Πρὸς οὓς ἐροῦμεν,

1. Ἑβρ. 6, 4. 2. Ἑβρ. 2, 11-12. 3. Ἑβρ. 2, 14. 4. Ἑβρ. 2, 16-17. 5. Ἰω. 3, 13. 6. Α' Κορ. 15, 47. 7. Πρβλ. Α' Κορ. 15, 47.

ὅτι ἐπεὶ διπλοῦς ὢν ταῖς φύσεσιν ὁ Χριστός, μοναδικός ἐστι τὴν ὑπόστασιν, ἰδιοποιεῖται τὰ τῆς ἑκατέρας φύσεως. Καὶ καθάπερ ὁ 'Απόστολος εἰπὼν περὶ τῶν Χριστοκτόνων ὅτι· «Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν [1]», οὐ τὴν θεότητα πεπονθέναι φησίν, ἥτις ἐστὶ Κύριος τῆς δόξης, ἀλλὰ τὸ πρόσλημμα· οὕτω καὶ ἐπὶ τῶν ῥητῶν τούτων αὐτὸς μὲν ὁ Υἱὸς καὶ Θεὸς πεπονθέναι λέγεται, διὰ τὴν μίαν ὑπόστασιν τῆς θεότητος, ἥτις καὶ τῇ ἀνθρωπίνῃ φύσει γέγονεν ὑπόστασις· πεπονθέναι δὲ κατὰ τὴν ἀνθρωπίνην φύσιν αὐτοῦ, καὶ ἐκ τοῦ οὐρανοῦ μὲν καταβεβηκέναι, καὶ ἐν τῷ οὐρανῷ εἶναι, κατὰ τὴν ὑπόστασιν τῆς θεότητος· Υἱὸν δὲ ἀνθρώπου εἶναι κατὰ τὴν ὕστερον προσληφθεῖσαν φύσιν, μετὰ τὴν ἐξ οὐρανοῦ κάθοδον. Καὶ πάλιν ὁ αὐτὸς Κύριος διὰ τὴν μίαν ὑπόστασιν· δεύτερος μὲν ἄνθρωπος κατὰ τὴν ἡνωμένην ἀνθρωπότητα, ἐξ οὐρανοῦ δὲ κατὰ τὴν θεότητα· εἰ γὰρ μὴ νοήσωμεν ἑκάστην οἰκείως, ἐναντιολογίαις ὑποβαλοῦμεν τὸν 'Απόστολον. Πῶς γὰρ κατὰ πάντα ὅμοιος ἡμῖν τοῖς γηΐνοις; Πῶς δὲ ἀδελφὸς ἡμῶν, ὁ σάρκα οὐρανίαν περιβεβλημένος; Καὶ ἄλλα δὲ μυρία ἄτοπα ἕψεται.

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΣΥΜΒΟΛΟΝ

Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον 'Ιησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρός, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, ὁρατά τε καὶ ἀόρατα· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, τουτέστι γεννηθέντα τελείως ἐκ Μαρίας τῆς ἀειπαρθένου διὰ Πνεύματος ἁγίου, σῶμα καὶ ψυχὴν καὶ νοῦν, καὶ πάντα ὅσα ἐστὶν ἀνθρώποις, χωρὶς ἁμαρτίας, ἀληθινῶς καὶ οὐ δοκήσει ἐσχηκότα· παθόντα, τουτέστι σταυρωθέντα, ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς οὐρανοὺς ἐν αὐτῷ τῷ σώματι ἐνδόξως· καθίσαντα ἐν δεξιᾷ τοῦ Πατρός, ἐρχόμενον ἐν αὐτῷ τῷ σώματι ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ πιστεύομεν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ὁμοούσιον ὂν Πατρὶ καὶ Υἱῷ, τὸ ἄκτιστον, τὸ τέλειον, τὸ Παράκλητον, τὸ λαλῆσαν ἐν νόμῳ, καὶ ἐν προφήταις, καὶ ἐν Εὐαγγελίοις καταβὰν ἐπὶ τὸν 'Ιορδάνην, κηρύξαν ἀποστόλοις, οἰκοῦν ἐν ἁγίοις. Καὶ πιστεύομεν εἰς μίαν μόνην ταύτην καθολικὴν καὶ ἀποστολικὴν 'Εκκλη-

1. Α' Κορ. 2, 8.

σίαν, εἰς ἓν βάπτισμα μετανοίας, καὶ ἀφέσεως ἁμαρτιῶν, εἰς ἀνάστασιν νεκρῶν, εἰς κρίσιν αἰώνιον ψυχῶν τε καὶ σωμάτων, εἰς βασιλείαν οὐρανῶν καὶ ζωὴν αἰώνιον. Τοὺς δὲ λέγοντας, ὅτι ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱός, ἤ, Ἦν ποτε ὅτε οὐκ ἦν τὸ ἅγιον Πνεῦμα· ἢ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, τρεπτὸν ἢ ἀλλοιωτόν, τούτους ἀναθεματίζομεν, ὅτι αὐτοὺς ἀναθεματίζει ἡ καθολικὴ μήτηρ ἡμῶν καὶ ἀποστολικὴ Ἐκκλησία. Καὶ ἀναθεματίζομεν πάντας τοὺς μὴ ὁμολογοῦντας ἀνάστασιν σαρκὸς καὶ πᾶσαν αἵρεσιν, τουτέστι τοὺς μὴ ὄντας ἐκ ταύτης τῆς πίστεως τῆς ἁγίας καὶ μόνης καθολικῆς Ἐκκλησίας.

ΤΟΥ ΑΥΤΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΤΟΝ ΚΟΙΝΟΝ ΑΝΘΡΩΠΟΝ
ΥΠΟΔΕΙΓΜΑΤΟΣ

Πολλὴν τῶν ἐναντίων τὴν περὶ τὸ κακὸν ἐπιμέλειαν θεασάμενοι, πολλὴν ἔχομεν καὶ ἡμεῖς ἀνάγκην μακροτέρας πρὸς αὐτοὺς ἀντιστήσασθαι τὰς ἀντιρρήσεις. Μηδεὶς οὖν ἡμῖν ἐγκαλείτω τὴν ἀμνηστίαν· τοῖς δὲ τὴν ἀνάγκην ἐπάγουσιν ἐπιγραφέτω τὰς αἰτίας. Ἰδοὺ γὰρ καὶ ἕτερον παραλογισμὸν κατὰ τῆς ἀληθείας ἐγέννησαν. Ὥσπερ, φησίν, ὁ ἄνθρωπος, ἐκ δύο συνεστώς, μία φύσις λέγεται, οὕτω καὶ ὁ Δεσπότης Χριστός, ἐκ Λόγου καὶ σαρκὸς συνεστώς, μία οὐσία δείκνυται. Τὸ μὲν οὖν δύνασθαι τὰ τοσοῦτον ἀλλήλων παρηλλαγμένα καὶ τέλεια μίαν οὐσίαν ἀποτελεῖν, καὶ τροπὴν μὴ ποιεῖν, συντόμως προείρηται· τὸ δὲ μηδὲ αὐτοῖς κατὰ σκοπὸν ἀπαντᾶν ἐκ τοῦδε τοῦ ὑποδείγματος αὐτίκα δειχθήσεται. Ἄνθρωπος μὲν γὰρ ἐκ ψυχῆς νοητῆς καὶ σώματος αἰσθητοῦ ζῷον γνωρίζεται εἰκότως, διὰ τὸ μηδέτερον χωρὶς τοῦ ἑτέρου προάγουσαν ἔχειν ὑπόστασιν, μηδὲ σῴζειν τὸν ὅρον τῆς φύσεως, κατὰ ταυτὸ μὲν ἀρχὴν τοῦ εἶναι λαβόντα ἐκ γαστρός, καὶ οὕτως εἰς τὸν βίον ἐρχόμενα, ἑνὸς δὲ ζῴου σύστασιν ἐργαζόμενα· ὁ δὲ Κύριος Ἰησοῦς οὐκ ἐξ ἀτελῶν πραγμάτων τὸ εἶναι δέχεται, ἀλλὰ τελείων φύσεων ἐν ἑαυτῷ σύνοδον δείκνυσι· κἀκεῖ μὲν μέρη ἀνθρώπου ψυχὴ καὶ σῶμα· ἐνταῦθα δὲ οὔτε ἡ σὰρξ μέρος τοῦ Λόγου, οὔτε ὁ Λόγος μέρος τῆς σαρκός· ἑκάτερον γὰρ αὐτῶν, καὶ πρὸ τῆς ἑνώσεως, τελείαν δείκνυσι τὴν φύσιν, ὡς μηδὲν ὅλως λείπειν, μήτε τῇ θεότητι εἰς τὸν ἴδιον λόγον, μήτε τῇ ἀνθρωπότητι· ἄλλο γάρ ἐστι τὸ ἀναπληροῦσθαι οὐσίαν ἐκ δύο μερῶν, καὶ ἄλλο τὸ ἑνοῦσθαι δύο οὐσίας, ὧν ἑκατέρα τὸ τέλειον ἔχει· διὸ καὶ μορφὴ Θεοῦ λέγεται, καὶ μορφὴ δούλου. Ἐπὶ δὲ τοῦ ἀνθρώπου οὔτε ἡ ψυχὴ μόνη ἄνθρωπος οὔτε ἡ σάρξ. Εἰ γὰρ ἦν τι τούτων τελεία φύσις εἰς ἐνέργειαν, ἔπραξεν ἄν τι καὶ δίχα τοῦ ἄλλου. Ὅταν δέ τι τούτων μνημο-

νευθῇ, δηλοῖ τὸ πᾶν ἀπὸ μέρους· οὐ τελείαν φύσιν εἰς ἐνέργειαν τὸ μέρος. Καὶ τοῦτο ἄνθρωπος οὐ μόνον παρὰ τοῖς θείοις νόμοις, ἀλλὰ δὴ καὶ παρὰ τοῖς ἀνθρωπίνοις λόγοις. Ὁρίζονται γοῦν τὸν ἄνθρωπον οἱ περὶ ταῦτα δεινοὶ ζῷον λογικὸν θνητόν, τὸ μὲν λογικὸν ἐκ τῆς ψυχῆς ἑρμηνεύοντες, τὸ δὲ θνητὸν ἐκ τοῦ σώματος ἀποφαίνοντες. Οὕτως ἀμφότερα μέρη ἑνὸς προσώπου, καὶ οὐ δύο ἐνόμισεν τὸν ἴσον τρόπον καὶ ἡ θεία Γραφή· τὸν γὰρ αὐτὸν ἄνθρωπον κατὰ εἰκόνα Θεοῦ μηνύεται κατὰ τὸ ἐξαίρετον τοῦ προσώπου· καὶ ἄρσεν καὶ θῆλυ προσαγορεύεται κατὰ τὸ ἰδίωμα τῆς σαρκός, ἵνα δείξῃ τὴν ψυχὴν καὶ τὸ σῶμα μέρη ἑνὸς προσώπου, οὐ δύο. Πῶς οὖν κέχρηνται τῷδε τῷ ὑποδείγματι, μηδὲν ὅμοιον ἔχοντι; Εἰ δύο πρόσωπα τέλεια ὑποδείξειαν εἰς μίαν μεθαρμοσθέντα οὐσίαν, καλῶς προέφερον τὸ ὑπόδειγμα· δύο δὲ μέρη ἑνὸς προσώπου λέγοντες, οὐ δύο πρόσωπα λέγουσιν. Ὥσπερ οὐδὲ ψυχὴ καὶ σῶμα δύο τέλεια ζῷα· τοῦ δεσπότου Χριστοῦ τὰ δύο καλουμένου, καὶ θείου καὶ ἀνθρωπίνου, διὰ τὸ τέλειον ἀμφοτέρων. Οὕτω γοῦν ἡ Σωτῆρος τοῦ Χριστοῦ προσηγορία νῦν μὲν δηλοῖ μόνην τὴν θεότητα ὡς ἀνενδεῆ καὶ τελείαν, νῦν δὲ τὸ συναμφότερον, ἵνα δειχθῇ καὶ τῶν δύο φύσεων τὸ διάφορόν τε καὶ τέλειον, καὶ τῆς ξένης ἑνώσεως τὸ πρόσωπον ἄτμητον· «Εἷς», φησί, «Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα·[1]» αὐτὴ δήλωσις τῆς Θεότητος· οὐ γὰρ μετὰ σαρκὸς ὢν τὰ πάντα ἐδημιούργησε. Πάλιν, εἰ παθητὸς ὁ Χριστός, ἵνα δειχθῇ τὸ τῆς παθούσης ἀνθρωπότητος τέλειον. Οὐ γὰρ εἶπε παθητὸν τὸ μέρος, ὡς οἱ νέοι δογματισταί· Οὐδὲ γὰρ εἶπε Παθητὸς ὁ Λόγος τῇ σαρκί. Δηλοῦται δὴ τῇ τοιαύτῃ προσηγορίᾳ καὶ τὸ συναμφότερον, ὡς προείρηται· «Ἰησοῦς Χριστὸς χθές, καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.[2]» Οὐ μέρος μὲν οὐσίας χθές, καὶ σήμερον, μέρος δὲ εἰς τοὺς αἰῶνας· ἀλλὰ ὁ αὐτὸς χθές, καὶ σήμερον κατὰ τὴν τελείαν ἀνθρωπότητα· καὶ εἰς τοὺς αἰῶνας, κατὰ τὴν τελείαν θεότητα· λοιπὸν δὲ καὶ καθ' ἑκατέραν τούτων αἰώνιος· ὡς καὶ τῆς σαρκὸς λαβούσης τῇ πρὸς τὸν ἀίδιον συναφείῃ, τὸ ἀπαθές τε καὶ ἀτελεύτητον. Ἐπὶ τούτοις ἐκεῖνοι μὲν εἰς τροπὴν θεότητος, καὶ εἰς ἀνατροπὴν τῶν συνόντων ταῖς φύσεσι, καὶ εἰς ἀναρμόστους φλυαρίας ἐχρήσαντο τῇ κατὰ τὸν ἄνθρωπον θεωρίᾳ· ὑμεῖς δὲ εἰς ἀπόδειξιν καὶ μαρτυρίαν τοῦ δυνατὸν εἶναι καὶ δύο τινῶν σύνοδον νοεῖσθαι, καὶ ἓν πρόσωπον δι' ἀμφοτέρων ὁρᾶσθαι. Εἰ γὰρ ἀνθρώπου φύσις οὐκ ἐκωλύθη δύο μὲν ἔχειν τὰ μέρη, ἐξ ὧν τὸ πρόσωπον, ἓν δὲ δεικνύναι πρόσωπον τὸν οὕτως συνεστῶτα ἄνθρωπον· πόσῳ μᾶλλον ἡ θεία χάρις ἱκανὴ δεῖξαι δυνατὸν καὶ ἀκόλουθον τὸ καὶ δύο φύσεις τελείας εἰς ἕνωσιν ἀσύγχυτον συνδραμεῖν, καὶ τοῦ προσώπου τὸ μοναδικὸν μηδαμῶς ἀμελεῖν; ψυχὴ μὲν γὰρ καὶ σῶμα συναρμοσθέντα ἓν ζῷον ἐργάζονται· δύο δὲ φύσεις ἑτεροούσιοι συνα-

1. Α' Κορ. 8, 6. 2. Ἑβρ. 13, 8.

φθεῖσαι μίαν υἱότητα ἀτρέπτως οὐ σχεδιάζουσιν. Ὥσπερ γὰρ ἀκούσαντες· Εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, τῇ θεότητι μόνῃ τὸ ποιεῖσθαι τὰ πάντα κατὰ τὸ εἰκὸς ἐπιγράφομεν, οὕτως ἀκούσαντες τό, Ἀπάθητος ὁ Χριστός, τῆς ἡνωμένης σαρκὸς τὸ πάθος γινώσκομεν. Ἐπεὶ πῶς νοήσομεν τῆς αὐτῆς οὐσίας καὶ τὴν ἀσθένειαν ἐν ταυτῷ καὶ τὴν δύναμιν; «Τὸ πνεῦμα πρόθυμον, ἡ σὰρξ ἀσθενής·[1]» οὐ μέρος πνεύματος, οὐδὲ μέρος σαρκός· καὶ πάλιν «Εἰ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως.[2]» Ἄλλα τὰ ὀνόματα, ἄλλα τὰ πράγματα· πνεῦμα καὶ σάρξ, δύναμις καὶ ἀσθένεια, σταυρὸς καὶ ζωή, τὸ ἐγεῖρον τὸ ἐγειρόμενον, τὸ ὑπερυψοῦν τὸ ὑπερυψούμενον. Ἐν ἑνὶ δὲ προσώπῳ, οὐ κατὰ σύνθεσιν μερῶν, ἀλλὰ κατὰ ἕνωσιν τελείων φύσεων. Οὐ μίαν οὐσίαν τὰς δύο ποιούσας· ἀλλὰ μίαν ἀξίαν καὶ δόξαν δηλοῦσαν. Οὕτως οὐκ ἀρνούμεθα τὴν ἕνωσιν, παραιτούμεθα δὲ τὴν οὐσίωσιν. Ὅτι γὰρ ἀδύνατον τὰς δύο οὐσίας γενέσθαι μίαν, διδάσκει μὲν ὁ τῆς φύσεως νόμος, διδάσκει δὲ ὁ τοῦ κηρύγματος λόγος, πείθει δὲ διὰ παντὸς γένους ἡ πεῖρα, θεσπίζει δὲ προδήλως ὁ Κύριος. Μηκέτι γοῦν τὴν ἀνάστασιν ἀπιστούντων ἔτι τῶν μαθητῶν, «Ψηλαφήσατέ με», φησί, «καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ ἑωρᾶτε ἔχοντα.[3]» Ψηλαφήσατε πρότερον, ἵνα δειχθῇ οὐ φαντασία πνεύματος ἀπατῶσα τοὺς θεωμένους, ἀλλὰ ἀντιτυπία σώματος πληροφοροῦσα τοὺς ἁπτομένους. Τίς οὖν οὐχ ὁρᾷ τὰ τῶν φύσεων ἴδια· ὅτι τοῦ πνεύματος μήτε τὸ μὲν ἔχειν σάρκα, μήτε ὀστᾶ, τοῦ σώματος δὲ τὸ ἔχειν· καὶ τοῦ μὲν τὸ θεωρεῖσθαι, τοῦ δὲ τὸ μὴ ὁρᾶσθαι· τούτου τὸ ἀφῇ ὑποβάλλεσθαι, ἐκείνου τὴν ἀφὴν μὴ προσίεσθαι. Πῶς οὖν μία οὐσία, τοιαύτης οὔσης παραλλαγῆς; Εἰ πνεῦμα μόνον, πόθεν σαρκεύς; εἰ σῶμα μόνον, πόθεν δόξα; Ἀλλὰ πνεῦμα μὲν ἄσαρκον, τὴν φύσιν Θεός, σῶμα δὲ ἔμψυχον, λογικῷ μὲν κάλλει κοσμούμενον, δι' ὀστέων δὲ καὶ σαρκῶν γνωριζόμενον τῇ ἀφῇ. Οὕτω δείκνυται τὸ τῶν δύο φύσεων διάφορον, καὶ τὸ τῆς ἑνώσεως ἀσύγχυτον, καὶ τὸ τῆς προσκυνήσεως ἀδιαίρετον.

ΕΤΕΡΑ ΤΟΥ ΑΥΤΟΥ Μ. ΑΘΑΝΑΣΙΟΥ ΑΠΟΣΠΑΣΜΑΤΑ

Theodoretus, Dialogo primo τῷ ἀτρέπτῳ ἀπὸ τοῦ λόγου Περὶ τῆς πίστεως τοῦ μείζονος, Athanasii hæc citat, quæ nullibi in editis **habentur.**

Τὸ γεγράφθαι· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος[4]» φανερῶς τὴν θεότητα δηλοῖ· τὸ δέ, «Ὁ Λόγος σὰρξ ἐγένετο[5]», τὸν ἄνθρωπον τοῦ Κυρίου δείκνυσιν.

---

1. Ματθ. 26, 41. 2. Β' Κορ. 13, 4. 3. Λουκ. 24, 39-40. 4. Ἰω. 1,1. 5. Ἰω. 1, 14.

Addit: Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου. Καὶ τό, «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ [1]», τουτέστι, τῷ ἰδίῳ αἵματι τὸ σῶμα, τὴν περιβολὴν τῆς θεότητος.

Et adhuc: Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου. Τὸ γὰρ ἦν, ἐπὶ τῆς θεότητος αὐτοῦ ἀναφέρεται, κ.τ.λ.

Item Theodoretus, Dial. II τῷ ἀσυγχύτῳ, eumdem Περὶ πίστεως λόγον τὸν μείζονα citans, hæc inde decerpsit.

Ἃ δὲ παρεθέμεθα περὶ τοῦ «Κάθου ἐκ δεξιῶν μου [2]», ὅτι εἰς τὸ Κυριακὸν σῶμα λέλεκται. Εἰ γὰρ «τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ [3]», λέγει Κύριος, ὥς φησιν Ἱερεμίας· πάντα δὲ χωρεῖ ὁ Θεός, ὑπ' οὐδενὸς δὲ χωρεῖται· εἰς ποῖον καθέζεται θρόνον; Τὸ σῶμα τοίνυν ἐστίν, ᾧ λέγει· Κάθου ἐκ δεξιῶν μου.

Et alia hæc: Τὸ σῶμα τοίνυν ἐστίν, ᾧ λέγει· Κάθου ἐκ δεξιῶν μου· οὗ καὶ γέγονεν ἐχθρὸς ὁ διάβολος σὺν ταῖς πονηραῖς δυνάμεσι, καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες. Δι' οὗ σώματος ἀρχιερεὺς καὶ ἀπόστολος γέγονε καὶ ἐχρημάτισε· δι' οὗ παρέδωκεν ἡμῖν μυστηρίου λέγων· «Τοῦτο ἐστί μου τὸ σῶμα [4]», τὸ ὑπὲρ ἡμῶν (Sic ibi), καὶ τὸ αἷμα τῆς Καινῆς Διαθήκης, οὐ τῆς Παλαιᾶς, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.[5] Θεότης δὲ οὔτε σῶμα, οὔτε αἷμα ἔχει· ἀλλ' ὃν ἐφόρεσεν ἐκ τῆς Μαρίας ἄνθρωπον, αἴτιος τούτων γέγονε· περὶ οὗ εἶπον οἱ ἀπόστολοι· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ἄνδρα ἀπὸ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς.[6]»

Similiter, Dial. II τῷ ἀπαθεῖ, ex eodem opere citat.

Τὸ ἐγειρόμενον ἐκ νεκρῶν, ἄνθρωπος ἦν, ἢ Θεός; κ.τ.λ.

Rursum Theodoretus et Gelasius, lib. de duab. nat. contra Nestorium et Eutychen, hæc:

Ἡ γοῦν ζωὴ οὐκ ἀποθνήσκει, κ.τ.λ.

Et rursum sequentia:

Ζῶν ἀποθανεῖν οὐ δύναται, κ.τ.λ.
Ἐγένετο Λάζαρον, κ.τ.λ.

Idem Theodoretus, lib. Hist. ecclesiasticæ, cap. 4 meminit περὶ τῶν παραμυθητικῶν πρὸς τὰς παρθένους λόγων ipsius Athanasii, ex quibus hoc excerptum affert.

Διὰ τοῦτο μηδὲ γενέσθω τις ὑμῶν περίλυπος, εἰ καὶ θαπτομένας ὑμῖν φθονοῦσιν οἱ δυσσεβεῖς, καὶ κωλύουσι τὰς ἐκφοράς· καὶ μέχρι

1. Γεν. 49, 11. 2. Ψαλμ. 109, 1. 3. Ἱερ. 23, 24. 4. Ματθ. 26, 26. 5. Πρβλ. Ματθ. 26, 28. 6. Πράξ. 2, 22.

γὰρ τούτων ἡ καταστροφὴ τῶν 'Αρειανῶν ἔφθασε. Καὶ τὰς μὲν πύλας κλείουσι· περὶ δὲ τὰ μνήματα ὡς δαίμονες καθέζονται, ἵνα μή τις τῶν ἀπογενομένων ἀποτεθῇ.

Synodus VI æcumenica, act. 14, in fine hoc fragmentum ex Athanasii tractatu in illud, «Nunc anima mea turbata est», adducit.

Τῆς ὁμοιώσεως τοῦ Κυρίου τῆς πρὸς ἡμᾶς ἡ ὠφέλεια μεγάλη, ὅτι καὶ ἡμεῖς ὁμοιούμεθα πρὸς αὐτόν. Εἰ γὰρ μὴ αὐτὸς ὡμοίωτο πρὸς ἀνθρώπους, οὐκ ἠδύναντο οἱ ἄνθρωποι ὁμοιοῦσθαι πρὸς Θεόν. 'Αλλὰ πρὸς Θεὸν ἄνθρωπον γενόμενον ὁμοιοῦνται ἄνθρωποι. Ἔδει δὲ τὸν εἰς ὁμοίωσιν ἡμῶν καταβαίνοντα, κατὰ τοῦτο μάλιστα ὁμοιωθῆναι, καθ' ὃ μεταβολῆς ἐδεόμεθα. 'Εδεόμεθα δὲ κατὰ τὰ πάθη, ἵνα ταῦτα εἰς ἀπάθειαν μεταστῇ. Μηδεὶς δὴ ἀπιστείτω περὶ τῶν παθῶν οἰόμενος τρέπεσθαι τὴν θεότητα, ἀλλὰ προσγενόμενον αὐτῇ τὸ πάθος ἀπὸ τοῦ σαρκικοῦ καὶ ψυχικοῦ κινήματος ἐνθυμείσθω, καὶ προσγινόμενον καὶ νικώμενον. Διὰ γὰρ τοῦτο προσγέγονεν, ἵνα νικηθῇ· καὶ ἀπὸ τούτου νενίκηται, ἵνα ἡ πᾶσα ἀνθρώπων φύσις κατὰ τὸ συγγενὲς εὐεργετηθῇ. 'Εκεῖθεν γὰρ ἀρξάμενοι μετασχηματιζόμεθα πάντες ἐκ πασχόντων ἀπαθεῖς, καὶ ἀπὸ νεκρῶν ζῶντες καθιστάμενοι. Μὴ οὖν ταραττέσθω τις εἰς ἀπιστίαν, εἰ λέγει Θεὸς ὢν ὁ Κύριος ἅμα καὶ ἄνθρωπος· «Νῦν ἡ ψυχή μου τετάρακται.[1]» Τοῦτο γὰρ ἐγένετο, τῆς μὲν θεότητος εἰκούσης, τῆς δὲ σαρκὸς ἐγειρομένης· δυνατὸν ὂν τῇ θεότητι κωλῦσαι τὴν ταραχήν, ἀλλ' οὐ βουλομένης αὐτῆς, ἵνα μὴ τὴν ὁμοίωσιν τὴν πρὸς ἡμᾶς διαλύσῃ. Τοιοῦτο δή τι νοητέον ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων· κεκραμένον μέλι πρὸς ὕδωρ, οὐ δὴ τὸ μέλι μεταβέβληται, ἀλλὰ τὸ ὕδωρ ἐπλεόνασεν. Ὅτε δὴ κίνημά τι τῆς σαρκός ἐστιν ἐν τῷ Κυρίῳ, τοιοῦτό τι λάβωμεν ὁμοίωμα, ὥσπερ ὕδατος ἐν μελικράτῳ πλεονασμόν. Ὅταν δὲ πάλιν τὸ θεϊκὸν ἐμφαίνηται, καὶ ἐνεργῇ δυνάμεις, καὶ δείκνυσι τὴν ἐξουσίαν, τοιαύτην ὁμοίωσιν λάβωμεν, ὥσπερ τοῦ μέλιτος ἐπικρατοῦντος τὸ ὕδωρ. Δυνατὸν γὰρ τῇ θεότητι τοῦτο, ποτὲ μὲν τῇ σαρκὶ παραχωρεῖν εἰς τὸ πλεονάσαι, ποτὲ δὲ αὐτὴν ἐπικρατῆσαι ἀναιροῦσαν τὸ πάθος καὶ τὸ τῆς σαρκὸς ἀσθενές. Τεκμήριον δὲ τεσσαράκοντα ὅλας ἡμέρας ἀπέχεται τροφῆς σωματικῆς καὶ οὐ πεινᾷ τὸ σῶμα. Μετὰ γὰρ ταῦτα, καθὼς γέγραπται, πεπείνακεν. 'Ενταῦθα σαρκὸς πλεονασμός· εἶτα ἐπείνασε μετὰ τὸν τοσοῦτον χρόνον. 'Επλεόνασε τὸ τῆς σαρκὸς διὰ τοῦτο, ἵνα καὶ πεῖρα προσενεχθῇ, καὶ ὁ πειράζων καταισχυνθῇ, καὶ ὁ ἐξ ἀρχῆς ἄνθρωπος διὰ βρῶμα πεσὼν δι' ἐγκράτειαν βρώματος ἀναστῇ. Φέρει δὲ καὶ τὴν ταραχὴν τῆς σαρκὸς ἐπὶ τῷ θανάτῳ προσιόντι. Καὶ πῶς γὰρ ἔμελλεν ὑπήκοος γενέσθαι τὴν ἡμετέραν ὑπακοὴν πληρῶν ἀνθ' ἡμῶν, εἰ μὴ καὶ προσεναντίωμα ἔσχε, καὶ τοῦ ἐναντιώματος ἐπεκράτησεν; Ἡμῖν γὰρ ἐπειδάν τι ἐκ σαρκὸς

1. 'Ιω. 12, 27.

ἐναντίωμα γένηται, εἰ παρακούσαιμεν τοῦ προστάγματος, νικηθέντες σαρκί, τοῦτον τὸν τρόπον ἡ ἁμαρτία συμβαίνει. Οὐκοῦν ἐν τῷ Κυρίῳ τὸ μὲν ἐναντίωμα ἔδει γενέσθαι τὸ ἀπὸ τῆς σαρκός, νικῆσαι δὲ τὴν ὑπακοήν. Εἰ γὰρ καὶ Θεός, ἀλλ' ἐν σαρκὶ καὶ κατὰ σάρκα τὴν ὑπακοὴν πληροῖ, καὶ τοῦ θελήματος τῆς σαρκὸς τῷ θελήματι τῆς θεότητος κρατεῖ, καθάπερ εἴρηκεν· «Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με [1]» Πατρός, ἴδιον λέγων θέλημα αὐτοῦ τὸ τῆς σαρκός. Ἐπεὶ καὶ ἡ σὰρξ ἰδία αὐτοῦ γέγονεν· οὐ γάρ ἐστι θέλημα Υἱοῦ θεϊκὸν θελήματος Θεοῦ κεχωρισμένον. Ἔδει δὲ τὸ τῆς σαρκὸς θέλημα κινηθῆναι, ὑποταγῆναι δὲ τῷ θελήματι τῷ θεϊκῷ. Καὶ οὕτως αἱ τῶν ἀνθρώπων παρακοαὶ λύονται διὰ τῆς παραδόξου ταύτης ὑπακοῆς, ἣν Χριστὸς ὑπήκουσεν ὑπὲρ ἡμῶν. Ὅρα δή, τοῦ κινήματος τοῦ σαρκικοῦ γενομένου, τί φησι· «Καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸ ὄνομα.[2]» Τό, τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης, ἐφθέγξατο κατὰ τὴν κίνησιν τῆς σαρκός· τό, διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην, θεότητος ὑπερνικώσης φθέγγεται, σχεδόν τοι μηδὲ φανῆναι τῷ σαρκικῷ θελήματι συγχωροῦντος τοῦ θεϊκοῦ. Τὸ γάρ, Τί εἴπω; ὥσπερ ἐγκόπτοντός ἐστι ῥῆμα, ὡς φανῆναι μὲν ἡμῖν, ὅτι καὶ σὰρξ ἀληθής, ὑποταττομένη δέ, καὶ οὐ δυναμένη περισπᾶσαι, καθάπερ ἵππος τὸν ἐπιβάτην, οὐδὲ ὅσον ὀκλάσαι τὴν χεῖρα τὴν ἡνιοχοῦσαν. Καὶ δὴ καὶ τί λογίζεται τὸ πάθος; Οὐκ ἀδοξίαν, οὐκ αἰσχύνην, ἀλλὰ δόξαν ἑαυτοῦ καὶ τοῦ Πατρός. Καὶ ἐπισπεύδει μᾶλλον, ἢ ἀποτρέπει τὸ πάθος. Πάτερ, δόξασόν του τὸ ὄνομα· οὐκ ἔσται, φησίν, οὐδεμία παραίτησις παρ' ἐμοῦ, ἀλλ' εἴξει τὸ παραιτούμενον, καὶ κρατήσει τὸ μὴ παραιτούμενον. Σαρκικὴ μὲν γὰρ φύσις παραιτεῖται τὸν θάνατον, καὶ ἦν τοῦτο ἐν Χριστῷ, ἐπειδὴ καὶ γέγονε σὰρξ ὁ Λόγος ἀληθῶς· θεϊκὴ δὲ βούλησις αἱρεῖται τὴν κόσμου σωτηρίαν, ἣν ὁ θάνατος κατειργάσατο. Εἶτα πληρούμενον φαίνεται τό, Ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με. Λέγει ὁ Χριστός· «Πάτερ, δόξασόν σου τὸ ὄνομα·» καὶ ἀπόκρισις ἐξ οὐρανοῦ· «Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω·[3]» ἵνα εἰδῶμεν, ὅτι διάστασις οὐδεμία, οὐδὲ χωρισμὸς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· μᾶλλον δὲ ἵνα κερδάνωμεν τὴν συνάφειαν ἡμῶν τὴν πρὸς Θεὸν ἐν Χριστῷ γινομένην. Οὐδεὶς μὲν γὰρ ἀνθρώπων, ὃς οὐκ ἀπέσπασεν ἑαυτὸν ἀπὸ θελήματος Θεοῦ κατά τι μέρος ἢ πράγματος ἢ χρόνου. Ἐν μόνῳ δὲ Χριστῷ τὸ ἀχώριστον τῆς θελήσεως ἐφυλάχθη· ᾧ συνακολουθοῦντες κερδαίνομεν τὴν συνάφειαν τὴν πρὸς Θεόν, καὶ τὴν ἕνωσιν τὴν σωτήριον καθ' ὁμοίωσιν αὐτοῦ, καθ' ὁμοίωσιν τῆς θείας ἑνώσεως, ὡς αὐτὸς εἴρηκεν. «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[4], οὕτω καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσι.[5]»

---

1. Ἰω. 6, 38. 2. Ἰω. 12, 27-28. 3. Ἰω. 12, 28. 4. Ἰω. 10, 30. 5. Πρβλ. Ἰω. 17, 22.

Est in illustr. biblioth. archipalatina codex ms. vetust. continens Catenam expositionum ab incerto auctore ex Patribus Græcis in Evangelium D. Luce collectam, in qua ad cap. XXIII, fol. solide hæc verba leguntur:

Τοῦ ἁγίου Ἀθανασίου εἰς τό· «Καὶ ταῦτα εἰπών, ἐξέπνευσεν.» Οὕτω γὰρ καὶ ὁ θάνατος γέγονε, τοῦ μὲν σώματος κατὰ φύσιν δεχομένου, τοῦ δὲ Λόγου κατὰ θέλησιν ἀνεχομένου, καὶ ἐξουσιαστικῶς τὸ ἴδιον σῶμα εἰς θάνατον προϊεμένου, ἵνα καὶ πάθῃ φυσικῶς ὑπὲρ ἡμῶν, καὶ ἀναστῇ θεϊκῶς ὑπὲρ ἡμῶν. Καὶ ὅλη τῆς γενέσεως καὶ τοῦ θανάτου ἡ πραγματεία εἰς τὴν ἡμετέραν ζήτησιν, καὶ ἀνάκλησιν θεωρεῖται.

Et quia mentinonem codicis fecimus, ascribam etiam locum ex eodem. Sic igitur 15; fol. 20, A, ad cap. ι Lucæ.

Ἀθανασίου. Ἐν ᾗ ὁ πρὸ αἰώνων ἐκ Πατρός, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου γεννᾶται, καὶ ὁ ἀόρατος τὸ πρὶν καὶ ταῖς ἐν οὐρανῷ ἁγίαις δυνάμεσιν, ὁρατὸς γίνεται διὰ τὴν πρὸς τὸν ὁρώμενον ἄνθρωπον ἕνωσιν. Ὁρώμενος δέ φημι οὐ τῇ ἀοράτῳ θεότητι, ἀλλὰ τῇ τῆς θεότητος ἐνεργείᾳ διὰ τοῦ ἀνθρωπίνου σώματος καὶ ὅλου ἀνθρώπου, ὃν ἀνεκαίνισεν, τῇ οἰκειώσει τῇ πρὸς ἑαυτόν. Κτίστης γὰρ ὢν ὁ Λόγος, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων τὸ κτιστὸν ἐνεδύσατο· ἵνα πάλιν τοῦτο ἀνακαινίσῃ· χρεία γὰρ ἦν πρὸς τὴν ἀνάκλησιν τοῦ καὶ κατ' ἀρχὰς ἐκ τοῦ μὴ ὄντος πεποιηκότος Θεοῦ Λόγου. Τούτου δὴ ἕνεκεν ὁ ἀσώματος εἰς τὴν ἡμετέραν χώραν παραγίνεται, καὶ λαμβάνειν ἑαυτῷ σῶμα οὐκ ἀλλότριον τοῦ ἡμετέρου, ἐξ ἀχράντου Παρθένου ὑπὸ τοῦ ἁγίου πλασθὲν Πνεύματος, καὶ τοῦ Λόγου γεγονὸς ἔνδυμα προσκυνητόν, ἵνα ἐν αὐτῷ λυθῇ ὁ κατὰ τῆς φθορᾶς τῶν ἀνθρώπων νόμος, καὶ ὁ Λόγος, πρὸς ὁμοιότητα τὴν ἑαυτοῦ κτίσας τὸν ἄνθρωπον ἐξ ἀρχῆς, πάλιν εἰς ὁμοίωσιν τὴν πρὸς αὐτὸν ἐπανάγει, ὁμοιωθεὶς τῷ ἰδίῳ ποιήματι.

Oecumenicae Synodis Nicaeanae, act. 6, ex Epistola Athanasii ad Eupsychium, cujus sit initium: «In quibus nos existimasti», hoc fraquentum citat:

Ἀθανάσιος μὲν ἐν τῇ προλεχθείσῃ πρὸς Εὐψύχιον ἐπιστολῇ, ἧς ἡ ἀρχή· Ἐφ' οἷς μὲν ᾠήθης ἡμᾶς, εὐλαβέστατε, μεθ' ἕτερά φησι· Κοινὸς ὁ τῶν προβάτων καρπός· τοῦτο δὲ τὸ νωτιαῖον θέρος, τὸ ἔριον εἰς κοινὴν χρῆσιν τοῖς ἅπασι προκείμενον. Ἀλλ' ὅταν τῇ ἐκ τῆς θαλάττης προσομιλήσῃ βαφῇ, πορφύρα λέγεται, καὶ τῆς προσηγορίας ἀμειβομένης, καὶ τῆς χρήσεως κατ' ἐξαίρετον βασιλεῦσι μόνοις ἁρμόττειν λαχούσης. Καὶ ἔστιν ἔρια, καὶ οὐκ ἔστι· τὴν μὲν φύσιν ἐκεῖνο ὅπερ πρότερον ἦν, τὴν δὲ χρῆσιν οὐκέτι. Φεύγει γὰρ τὴν κοι-

νότητα διὰ τὸ τοῦ χρωμένου ἀξίωμα· οὕτω γοῦν καὶ ἡ σὰρξ τῆς κοινῆς ληφθεῖσα φύσεως, ἐπειδὴ γέγονε περιβόλαιον βασιλέως, τῆς αὐτῆς ἠξιώθη δόξης τῷ χρησαμένῳ, κἂν μὴ τὴν φύσιν ἐγένετο. Ὥστε Κύριος δόξης λέγεται εἰκότως καὶ καθὸ ἄνθρωπος· τῆς μὲν καθ' αὐτὸν φύσεως προσιεμένης τὸ πάθος, τῆς δὲ ὕβρεως διαβαινούσης ἐπ' αὐτὸν τὸν ὥσπερ ἐσθῆτι χρησάμενον τῇ σαρκί. Ὥσπερ γὰρ ὁ τὴν ἁλουργίδα διαρρήξας, ὡς ἐπιβεβηκὼς αὐτῷ τῷ βασιλεῖ τὴν τιμωρίαν ὑπέχει· καί τοι γε οὐδὲν δεινὸν αὐτὸς πέπονθεν ὁ βασιλεύς, τῆς δὲ πορφύρας τὸ πάθος ἐπ' αὐτὸν ἀνήνεκται· οὕτω καὶ τὸ τῆς σαρκὸς πάθος μὲν ἐν τῇ ἀπαθείᾳ τοῦ λόγου διὰ τῆς ὕβρεως ἐπ' αὐτὸν ἐληλυθέναι λέγεται. Καὶ διὰ τοῦτο Παῦλος τὸν Δεσπότην Χριστόν, καθὸ ἄνθρωπον Υἱὸν Θεοῦ παραδίδωσι, καὶ πρὸ τούτου Γαβριὴλ ὁ ἀρχάγγελος τὸν παράδοξον τόκον εὐαγγελιζόμενος τῇ Μαρίᾳ, «Χαῖρε», φησί, «κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.[1]» «Ἰδοὺ σὺ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ υἱόν, καὶ καλέσουσιν αὐτὸν Ἰησοῦν· οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται.[2]» Ὥστε καλεῖται Υἱὸς Θεοῦ Ἰησοῦς, οὐκ εἰς θείαν φύσιν τῆς σαρκὸς μεταβληθείσης, ἀλλὰ τῇ πρὸς τὸν Θεὸν Λόγον ἑνώσει τὴν ὁμώνυμον ἀξίαν λαβούσης.

Damascenus quoque· lib. De duabus in Christo voluntatibus, edit Basil., pag. 484, hunc ex Athanasio citat locum:

Ἐν ἀρχῇ γὰρ πλάσας ὁ Θεὸς τὸν ἄνθρωπον, ἐποίησεν αὐτὸν φύσιν ἀναμάρτητον καὶ θέλησιν αὐτεξούσιον· καθώς, φησὶν ὁ ἱερὸς Ἀθανάσιος.

Idem. in orat. de defunctis sub finem, sic ait:

Εἶτα ὁ ἐν βίῳ καὶ λόγῳ περίβλεπτος, καὶ τῆς τοῦ Θεοῦ Ἐκκλησίας θεμέλιος Ἀθανάσιος τάδε φησὶ περὶ τῶν ἐν Κυρίῳ νεκρῶν, ὅτιπερ διὰ τοῦτο τοὺς σῳζομένους ὁ Θεὸς κεχάρισται, τὸ μέχρι τῆς κοινῆς ἀναστάσεως, ψυχικῶς ἀλλήλοις συνεῖναι καὶ συνευφραίνεσθαι, ἀπεκδοχὴν ἔχοντες τῶν μελλόντων αὐτοῖς ἀποκληροῦσθαι θείων δωρεῶν.

Idem, in eodem sermone circa medium. ex Athanasii εἰς τοὺς κοιμηθέντας παναρμονίῳ (ut vocat), λόγῳ, hæc affert:

Ὅτι κἂν εἰς ἀστέρα ὁ ἐν εὐσεβείᾳ τελειωθεὶς κατατεθῇ, μὴ ἀπαναίνου ἔλαιον καὶ κηρούς, Χριστὸν τὸν Θεὸν ἐπικαλεσάμενος, ἐν τῷ τάφῳ προσάψαι. Δεκτέα γὰρ ταῦτα τῷ Θεῷ, καὶ πολλὴν ἐξ αὐτοῦ φέροντα τὴν ἀντίδοσιν. Τὸ γὰρ ἔλαιον καὶ ὁ κηρὸς ὁλοκαύτωσις. Ἡ δέ γε ἀναίμακτος θυσία ἐξιλασμός. Ἡ δὲ πρὸς τοὺς πένητας εὐποιία προσθήκη πάσης ἀγαθῆς ἀντιδόσεως.

1. Λουκ. 1, 28. 2. Λουκ. 1, 30.

ΑΘΑΝΑΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΕΚ ΤΗΣ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΥ

Περὶ τῶν ἐννέα ἀνιάτων παθῶν τῆς τοῦ Ἡρώδου τελευτῆς.

«Τελευτήσαντος Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.[1]» Ἦσαν δὲ οἱ ζητοῦντες θανατῶσαι τὸν Ἰησοῦν οἱ περὶ τὸν Ἡρώδην τὸν βασιλέα καὶ τὸν υἱὸν αὐτοῦ Ἀντίπατρον. Ἀπέθανε δὲ ὁ μὲν Ἀντίπατρος ἐν ῥομφαίᾳ διαπαρεὶς ἐν τῇ φυλακῇ, ἀπελεγχθεὶς φαρμακὸς καὶ ἐπίβουλος τῶν ἰδίων ἀδελφῶν, Ἀλεξάνδρου καὶ Ἀριστοβούλου· ὁ δὲ Ἡρώδης καὶ αὐτὸς καταστρέφει τὸν βίον, τοῦ σώματος αὐτῷ διαμερισθέντος εἰς διάφορα καὶ ποικίλα πάθη. Α', πυρετὸς γὰρ ἦν αὐτῷ καμίνου ἐνεργέστερος· Β', κνησμός τε ἀφόρητος τῆς ἐπιφανείας ὅλης· Γ', τῶν ἐντὸς συνεχεῖς ἀλγηδόνες· Δ', περὶ τοὺς πόδας ὡς ὑδρωπιῶντος οἰδήματα· Ε',τοῦ ἤτρου φλεγμονὴ ὑπέρογκος· ς', διὰ τοῦ μέλους τῆς αἰσχύνης σηπεδὼν γεννῶσα σκώληκας· Ζ', πρὸς τούτοις ὀρθόπνοια· Η' δύσπνοια· Θ', καὶ σπασμοὶ πάντων τῶν μελῶν. Καί εἰσι τὰ πάθη τὸν ἀριθμὸν ἐννέα. Πυρετὸς μὲν ἦν ἐπ' αὐτῷ καμίνου ἐνεργέστερος, ἐπειδὴ ἐξεκαίετο τοῖς πάθεσιν εἰς τὴν ἀθέμιτον πρᾶξιν τῆς μοιχείας. Ὁ δὲ κνησμὸς ἦν ἐπ' αὐτῷ ἀφόρητος, διὰ τὸ πείθεσθαι αὐτὸν τῶν κνηθομένων διδασκάλων τὴν ἀκοὴν πρὸς ἀπάτην. Τῶν ἐντὸς δὲ τὰς συνεχεῖς ἀλγηδόνας, ἐπεὶ οὐκ ἔψαλλεν· «Εὐλόγει, ἡ ψυχή μου, τὸ Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα το ἅγιον αὐτοῦ.[2]» Περὶ δὲ τοὺς πόδας οἰδήματα ὑδρωπιῶντος, ἐπειδὴ ἐξουθένει τὸ καθαρὸν καὶ ἀθόλωτον ὕδωρ τῆς ἀλλομένης πηγῆς εἰς ζωὴν αἰώνιον. Τοῦ δὲ ἤτρου ἡ ὑπέρογκος φλεγμονή, διὰ τὸ μὴ ὑπάρχειν αὐτὸν ἐν τῇ τοῦ θυμοῦ φλεγμονῇ κρατητόν, καὶ ἀνελεήμονα εἰς τοὺς ὑποχειρίους. Τὸ δὲ τῆς αἰσχύνης αὐτοῦ μέλος ἐγέννα σκώληκας, ἐπειδὴ ἐν τῇ ἀκολασίᾳ ἐζήλου τοὺς θηλυμανεῖς ἵππους. Ἡ δὲ ὀρθόπνοια αὐτὸν κατεῖχε διὰ τὸ μὴ ὀρθρίζειν αὐτὸν εἰς προσκύνησιν τοῦ δόντος αὐτῷ Κυρίου τὸ βασιλικὸν ἀξίωμα. Ἡ δὲ δύσπνοια, ἐπεὶ οὐκ ἔπνεε τὸ μύρον τῆς ἀγάπης, ἀλλὰ τῆς δυσωδίας τοῦ ἀκηρύκτου πολέμου. Πάντα δὲ τὰ μέλη αὐτοῦ ἐσπῶντο, διὰ τὸ καὶ αὐτὸν πάντα τὰ παιδία σπᾶσαι τὰ ὄντα ἐν Βηθλεέμ. Ὧ δὲ μέτρῳ μετρεῖταί τις, τούτῳ ἀντιμετρεῖται οὐρανόθεν δικαίως. «Δι' ὧν δὲ καί τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται.[3]» Τοῦτον τοίνυν τὸν Ἡρώδην ὁ μὲν Ἰώσηπος λέγει κατὰ πατέρα εἶναι τὸ γένος Ἰδουμαῖον, Ἀράβιον δὲ κατὰ μητέρα· ὁ δὲ Ἀφρικανὸς καὶ οἱ κατ' αὐτὸν ἀκριβοῦντες Ἀντιπάτρου μὲν εἶναι υἱόν· τὸν δὲ Ἀντίπατρον ἐσχηκέναι πατέρα Ἡρώ-

1. Ματθ. 2, 19-20. 2. Ψαλμ. 102, 1. 3. Σοφ. Σολ. 11, 16.

δην Ἀσκαλωνίτην, ἱερόδουλον τοῦ νεὼ τοῦ Ἀπόλλωνος. Τὸν δὲ Ἀντίπατρον τὸν υἱὸν αὐτοῦ, παιδίον ὄντα, αἰχμαλωτισθῆναι παρὰ τῶν λῃστῶν Ἰδουμαίων· τὸν δὲ πατέρα αὐτοῦ Ἡρώδην μὴ δυνηθῆναι δοῦναι λύτρα ὑπὲρ αὐτοῦ· ἐντραφεὶς οὖν τοῖς τῶν Ἰδουμαίων ἔθεσιν, Ἰδουμαῖος ἐνομίσθη εἶναι, ὢν Ἀσκαλωνίτης. Εἶχε δὲ καὶ τότε Αὔγουστος ἐν τῇ βασιλείᾳ ἔτος πέμπτον καὶ τεσσαρακοστόν, ὑπατεύοντος Σιλουανοῦ, πρὸ ὀκτὼ Καλανδῶν Ἰανουαρίων.

Ἀθανασίου Ἀλεξανδρείας, Περὶ ψευδοπροφητῶν.

Εἶπεν ὁ Κύριος· «Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύματι προβάτου, ἔνδοθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.[1]» Ἐὰν οὖν τινα ἴδῃς ἀδελφέ, ὅτι ἔχει σχῆμα σεμνοπρεπές, μὴ πρόσχῃς, ὅτι ἐνδέδυται κώδιον προβάτου, ὅτι ὄνομα ἔχει πρεσβυτέρου, ἢ ἐπισκόπου, ἢ διακόνου, ἢ ἀσκητοῦ, ἀλλὰ τὰς πράξεις αὐτοῦ περιέργασαι· εἰ ἔστι σώφρων, εἰ ἔστι φιλόξενος, ἢ ἐλεήμων, ἢ ἀγαπητικός, ἢ ἐν προσευχαῖς καρτερικός, ἢ ὑπομονητικός. Εἰ ἔχει κοιλίαν θεόν, καὶ τὸν φάρυγγα ᾅδην, νοσῶν χρήματα, καὶ καπηλεύων τὴν θεοσέβειαν, ἄφες αὐτόν· οὐ γάρ ἐστι ποιμὴν ἐπιστημονικός, ἀλλὰ λύκος ἁρπακτικός. Εἰ δὲ οἶδας τὰ δένδρα δοκιμάζειν ἀπὸ τῶν καρπῶν, ποῖά ἐστι τῇ φύσει, τῇ γεύσει, τῇ πιότητι, πολλῷ μᾶλλον ἀπὸ τῶν ἔργων ὀφείλεις δοκιμάζειν τοὺς Χριστεμπόρους, ὅτι, φοροῦντες φημάριον εὐλαβείας, ψυχὴν κέκτηνται διαβολικήν. Εἰ δὲ καὶ ἀπὸ ἀκανθῶν οὐ συλλέγεις σταφυλάς, ἢ ἀπὸ τριβόλων σῦκα, τί ὑπολαμβάνεις, ὅτι ἀπὸ παραβατῶν ἔχεις τι ἀγαθὸν ἀκοῦσαι, ἢ ἀπὸ προδοτῶν μαθεῖν τι χρήσιμον; Ἐκείνους τοίνυν ἀποστρέφου ὡς λύκους Ἀραβικούς, καὶ ἀκάνθας παρακοῆς, καὶ τριβόλους ἀδικημάτων, καὶ δένδρα πονηρά. Ἐὰν ἴδῃς συνετόν, κατὰ τὴν συμβουλεύουσαν σοφίαν, ὄρθριζε πρὸς αὐτόν, καὶ σταθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου, ἵνα παρ' αὐτοῦ διδαχθῇς νόμου σκιαγραφήματα, καὶ χαρίτων δωρήματα. Οὔτε δὲ λόγος σοφιστικός, ἢ σχῆμα ἐπιθετικὸν εἰσάγουσιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ πίστις τελεία καὶ ἀπερίεργος μετὰ τῆς ἐναρέτου καὶ διαλαμπούσης προνοίας.

Ἀθανασίου Ἀλεξανδρείας,
Πῶς νοητέον τό· «Ὁ ἐμβλέψας γυναῖκα», κ.τ.λ.

Μοιχεύει γυναῖκα τῇ καρδίᾳ ἐκεῖνος, ὁ συνδιατιθέμενος τῇ πράξει· ἀπεκώλυσε δὲ τὸν τοιοῦτον ἀπὸ τῆς παρανόμου καὶ ἀθεμίτου κοινωνίας, ἢ τόπος, ἢ χρόνος, ἢ φόβος τῶν Ῥωμαϊκῶν νόμων. Ὅτι δὲ πολλοί, μὴ δράσαντες τὴν ἀσέβειαν, ὡς μοιχοὶ ἐκολάσθησαν, ῥᾳ-

1. Ματθ. 7, 15.

δίως ἐστὶ τοὺς πάντας πληροφορηθῆναι ἐκ τοῦ Ὀλοφέρνους. Σπεύδοντος γὰρ δρᾶσαι τὸ μύσος, ἡ Ἰουδήθ, ὡς νόμοι δικαιοσύνης, σπασαμένη τὸ ξίφος, ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν, ἐπικαλεσαμένη εἰς βοήθειαν καὶ ὑπερασπισμὸν τὸν δοτῆρα τῶν νόμων Θεὸν καὶ συνεργὸν τῆς σωφροσύνης. Ὡσαύτως καὶ οἱ δύο πρεσβύτεροι, εἰρηκότες τῇ Σωσάννῃ, «Ἰδοὺ ἐν ἐπιθυμίᾳ σού ἐσμεν[1]», καίπερ τοῦτο μὴ πράξαντες, ὡς μοιχοὶ ἐκολάσθησαν, καὶ τὴν ζημίαν ἔσχον θάνατον. Ἐὰν οὖν καὶ ἄρτι τίς ἐστι τοιοῦτος, ἀκόλαστος, ἀκρατής, ἐπιθυμῶν ἀλλοτρίων γυναικῶν, κατὰ διάνοιαν μοιχεύει. Ὁ γὰρ ἡγεμονεύων τῶν παθῶν, καθαρεύων ἀπὸ ὀφλήματος, ἀπὸ αἰσχρολογίας, οὗτος οὐκ ἔστι μοιχός, ἀλλὰ παθοκρατορικός, ἀναστέλλων τὸ ἐπαχθὲς τῆς ἡδονῆς τῷ θεϊκῷ φόβῳ, ὡς κῦμα θαλάσσιον ἀνακοπτόμενον ὑπὸ ἰσχυρᾶς καὶ στερεᾶς πέτρας.

Ἀθανασίου Ἀλεξανδρείας,
Ἑρμηνεία εἰς τό· «Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.[2]»

Παρακελευσάμενον τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἐν οὐρανοῖς τάγμασιν αἰνεῖν τὸν Κύριον, μεταφέρει τὸν λόγον τοῖς ἐπιγείοις παρακελευόμενον. Τριῶν δὲ ὄντων ταγμάτων, ἐπουρανίων, ἐπιγείων, καὶ καταχθονίων, τῶν καμπτόντων γόνυ τῷ Ἰησοῦ, τὰ μὲν οὐράνια διὰ τῶν προειρημένων ἐπὶ τὸν ὕμνον τρέπονται· τὰ δὲ ἐπίγεια διὰ τοῦ εἰπεῖν· «Ἄρχοντες καὶ πάντες κριταὶ γῆς· νεανίσκοι καὶ παρθένοι.[3]» Πρὶν δὲ τούτων μνήμην ποιῆσαι, ἐπὶ τὰ καταχθόνια τρέπεται, ἃ διὰ τῶν δρακόντων καὶ τῶν ἀβύσσων σημαίνεται. Καὶ αὗται γὰρ αἱ πάλαι τῶν γιγάντων ἐκείνων ψυχαί, τῶν ἀπειθησάντων ποτὲ καὶ πολεμησάντων Θεῷ, αἳ διὰ τῶν δρακόντων σημαίνονται. Καὶ μὴν καὶ τὸ ἄλλο πᾶν πλῆθος τῆς οἰκουμένης, τὸ ἐν ταῖς προτέραις μὲν ὑπάρξαν γενεαῖς, κατασχεθὲν δὲ θανάτῳ, κάμπτουσι γόνυ, ἅτε ἐλευθερωθέντες ἀπ' αὐτοῦ· «Εἴρηκε γὰρ τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει...[4]» Διὸ καὶ αὗται ἐπὶ τὸν ὕμνον καλοῦνται σὺν τοῖς ἄρχουσιν αὐτῶν γινομένοις καὶ μεγάλοις ἀνθρώποις. Ὅτι δὲ οἱ ποτὲ ἀπειθήσαντες καὶ ἀντάραντες Θεῷ ἠλευθέρωνται, ὁ Πέτρος ἠνίξατο, ἐν Καθολικαῖς εἰπών· «Ἐν ᾧ καὶ τοῖς ἐν ᾅδου πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε.[5]»

---

1. Δαν. (Σωσ. 20). 2. Ψαλμ. 148, 7. 3. Ψαλμ. 148, 11-12. 4. Ἡσ. 49, 9. 5. Α' Πέτρ. 3, 19-20.

Ms. cod. Græcus bibliothecæ Vaticanæ num. 790, in-12 spisso, et in charta papyracea, videtur habere 400 annos: est eleganti manu, et minusculis litteris exaratus. Est collectio diversorum fragmentorum operum sanctorum Patrum. Tale fragmentum inter alia reperitur.

Τοῦ μεγάλου 'Αθανασίου, ἐκ τοῦ κατὰ αἱρέσεων.

«"Ος ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσον Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.[1]» Δύο ἔχει μορφάς· κράτει ταύτας, μήθ' ἑτέραν παραχαράξῃς. Οὔτε γὰρ ἄνθρωπος ὢν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ἠφάνισε τὴν θεϊκὴν μορφήν· οὔτε Θεὸς ὤν, παρῃτήσατο τὴν ἀνθρωπίνην μορφήν. 'Επεὶ οὖν δύο ἐχόμενος μορφάς, τὴν δεσποτικήν φημι, καὶ τὴν δουλικήν· τὴν μὲν φύσει θεϊκήν, τὴν δὲ φύσει ἀνθρωπίνην, τὴν μὲν πρὸ αἰώνων, τὴν δὲ ἐξ ὑστέρων χρόνων· τὴν μὲν ἐκ τοῦ Πατρός, τὴν δὲ ἐκ τῆς Παρθένου· τὴν μὲν ἐκ μόνου, τὴν δὲ ἐκ μόνης· ἐπεὶ δύο ταύταις ὑφέστηκε πράγματα, δύο ἐν ἑνί. Οὔτε γὰρ διαιροῦμεν τὸν Θεὸν Λόγον ἀπὸ τοῦ σώματος, οὔτε δύο οἴδαμεν Υἱούς, καὶ Χριστούς, ἀλλὰ τὸν πρὸ αἰώνων Υἱὸν τοῦ Θεοῦ ἐν ὑστέροις καιροῖς ἄνθρωπον ἐξ αὐτῆς μήτρας τῆς Παρθένου γενόμενον τέλειον· ὡς γὰρ ὁ γεννήσας τέλειον ἐγέννησεν Υἱόν, οὕτως αὐτὸς καὶ εἷς Υἱὸς καὶ Λόγος τοῦ Πατρός, τὸν τελείως ἀπολλύμενον σῶσαι βουλόμενος, τέλειος ἐγένετο ἄνθρωπος· ἵν' ἅμα τὸ ἔξωθεν σώσας, τὸ ἔσωθεν προδεδομένος ἐάσῃ. Οὐδὲ γὰρ σῶμα ἀναλαβὼν εἴασε τὴν ψυχήν, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ νοῦν ἀνέλαβεν.

ΕΤΕΡΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

Prodit autem hoc fragmentum ex codice Vaticano, num. 392. membranaceo optimæ notæ, nobisque a fratribus nostris Roma transmissum est.

Τοῦ ἁγίου 'Αθανασίου τοῦ Μεγάλου.

Βαδίζοντες δὲ τὴν ἀπλανῆ καὶ ζωηφόρον ὁδόν, ὀφθαλμὸν μὲν ἐκκόψωμεν σκανδαλίζοντα· μὴ τὸν αἰσθητόν, ἀλλὰ τὸν νοητόν· οἷον ἐὰν ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος, οἱ ὄντες ὀφθαλμοὶ τῆς 'Εκκλησίας, κακῶς ἀναστρέφωνται καὶ σκανδαλίζωσι τὸν λαόν, χρὴ αὐτοὺς ἐκβάλλεσθαι. Συμφέρον γὰρ ἄνευ αὐτῶν συναθροίζεσθαι εἰς εὐκτήριον οἶκον, ἢ μετ' αὐτῶν ἐμβληθῆναι, ὡς μετὰ "Αννα καὶ Καϊάφα, εἰς τὴν γέενναν τοῦ πυρός. 'Ομοίως καὶ ἡ χεὶρ ὁ διάκονος, ἐὰν ἀνάξιόν τι πράττῃ, χωριζέσθω τοῦ θυσιαστηρίου.

1. Φιλιπ. 2, 6-7,

Ex Chronico Paschali, pag. 4 postremae editionis.

Καὶ Ἀθανάσιος δὲ ὁ μέγας τῆς Ἀλεξανδρέων Ἐκκλησίας φωστήρ, ἐν τῇ μνημονευθείσῃ πρὸς Ἐπιφάνιον ἐπίσκοπον ἐπιστολῇ διδάσκει λέγων οὕτως·

Οὐκοῦν ὥσπερ συνήθλησας, καὶ συνεχάρης, οὕτω καὶ τοῦ μέμφεσθαι παῦσαι· καὶ μᾶλλον εὔχου ἵνα τοῦ λοιποῦ ἡ μὲν Ἐκκλησία βεβαίαν τὴν εἰρήνην ἔχῃ, καὶ παύσωνται αἱ αἱρέσεις τῆς μιαιφόνου προαιρέσεως· παύσωνται δὲ καὶ οὗτοι φιλονεικοῦντες, οἱ ἐφευρόντες ἑαυτοῖς ζητήματα, προφάσει μὲν τοῦ σωτηριώδους Πάσχα, ἔργῳ δὲ τῆς ἰδίας ἔριδος χάριν μάλιστα· ὅτι, ἐξ ἡμῶν εἶναι δοκοῦντες καὶ Χριστιανοὶ αὐχοῦντες λέγεσθαι, ζηλοῦσι τούτων προδεδωκότων Ἰουδαίων. Ὁποία γὰρ αὐτοῖς καὶ πιθανὴ ἀπολογία γένοιτ' ἂν ἄρα, ἐπειδὴ γέγραπται· «Τῇ δὲ πρώτῃ τῶν Ἀζύμων, καὶ ἐν ᾗ ἔδει θύειν τὸ Πάσχα.[1]» Ἀλλὰ ἐγίνετο τότε καλῶς· νυνί, κατὰ τὸ γεγραμμένον· «Ἀεὶ πλανῶνται τῇ καρδίᾳ.[2]»

Exstant item fragmentum epistolae ad Antiochenos, diversae ab ea quam superius edidimus, in concilio Lateranensi t. VI Conciliorum, pag. 301.

Τοῦ αὐτοῦ (Ἀθανασίου) ἐκ τῆς πρὸς Ἀντιοχεῖς δογματικῆς ἐπιστολῆς.

Διὰ τοῦτο θεολογεῖται μὲν ὁ Λόγος, γενεαλογεῖται δὲ ὁ ἄνθρωπος, ἵνα πρὸς ἑκάτερα εἴη ὁ αὐτὸς φυσικῶς καὶ ἀληθῶς· Θεὸς μὲν πρὸς τῇ ἀϊδιότητι τῆς θεότητος καὶ τῇ δημιουργίᾳ τῆς κτίσεως, ἄνθρωπος δὲ πρὸς τῇ γεννήσει τῇ ἐκ γυναικὸς καὶ τῇ αὐξήσει τῆς ἡλικίας· καὶ Θεὸς μὲν ταῖς ζωτικαῖς ἐνεργείαις, ἄνθρωπος δὲ πρὸς ταῖς ὁμοιοτρόποις συμπαθείαις, καὶ ταῖς καθ' ἡμᾶς ἀσθενείαις.

ΔΥΟ ΙΣΤΟΡΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

Ἐπειδὴ γὰρ Παῦλος ὁ Σαμοσατεὺς ἐφρόνει μὴ εἶναι πρὸ Μαρίας τὸν Υἱόν, ἀλλ' ἀπ' αὐτῆς ἀρχὴν ἐσχηκέναι τοῦ εἶναι, τούτου ἕνεκεν οἱ τότε συνελθόντες ἀρχιερεῖς, πολλοὶ τὸν ἀριθμόν, καθεῖλον αὐτόν, καὶ αἱρετικὸν ἀπέφηναν. Περὶ δὲ τῆς τοῦ Υἱοῦ θεότητος ἁπλούστερον γράφοντες, οὐ κατεγένοντο περὶ τὴν Ὁμοουσίου ἀκρίβειαν· ἀλλ' οὕτως, ὡς ἐξειλήφασι, περὶ τοῦ ὁμοουσίου εἰρήκασι· προΐστατο δὲ αὐτοῦ Ζηνοβία Ἰουδαία· ἀλλ' οὐκ ὠφέλησεν αὐτὸν ἡ προστασία αὐτῆς. Τὴν φροντίδα γὰρ εἶχον πᾶσαν ὅπερ ἐπενόησεν ὁ Σαμοσατεὺς ἀνελεῖν, καὶ δεῖξαι πρὸ πάντων εἶναι τὸν Υἱόν, καὶ ὅτι οὐκ ἐξ ἀνθρώ-

1. Λουκ. 22, 7. 2. Ψαλμ. 94, 10.

πων γέγονε Θεός, ἀλλά, Θεὸς ὤν, ἐνεδύσατο δούλου μορφήν, καὶ Λόγος ὤν, γέγονε σάρξ, ὡς εἶπεν ὁ 'Ιωάννης. Καὶ οὕτω μὲν κατὰ τῆς βλασφημίας Παύλου πέπρακται.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

Τούτοις ὠχυρωμένος τοῖς γράμμασιν 'Αθανάσιος, εἰς τὴν ἕω διέβαινε πρὸς τὴν τῆς Συρίας 'Αντιόχειαν, ὅπου τηνικαῦτα διέτριβεν ὁ Κωνστάντιος. Τῆς δὲ ἐκεῖσε ἐκκλησίας τὰς ἱερὰς ἡνίας τότε διεῖπε Λεόντιος. Μεθὸ γὰρ Εὐστάθιος εἰς φυγαδείαν ἠλαύνετο, ὡς διείληπται, πρῶτος ἐπέβη τοῦ θρόνου Εὐφρόνιος, ὃν Πλάκητος διεδέξατο· τὸν δὲ Στέφανος. Ὅς, πονηρὰν συσκευὴν διά τινος τῶν αὐτῷ προσηκόντων ὠμοτάτου καὶ τὸν τρόπον καὶ τὴν ψυχήν. Ὄναγρος ἦν αὐτῷ ὄνομα· ἐξαρτύσας τοῖς ἐκ 'Ρώμης ἥκουσι πρέσβεσι παρὰ Κώνσταντος· ὃς τὰς αὐτὰς ὠδῖνας Κωνσταντίῳ διέλυσεν, ὑπὲρ 'Αθανασίου πεμφθεῖσιν. Εὐφράτας δὲ καὶ Βικέντιος ὠνομάζοντο· ἐπίσκοποι δ' ἦσαν ὑπὸ Κώνσταντι δικάζοντι, ὡς ἀναξίως τοῦ θρόνου κριθεὶς ἀπερρίφη. Δυσμενῶν γὰρ τῇ ἀληθείᾳ, παντοδαπαῖς περιέβαλε συμφοραῖς οἳ τῶν ὀρθῶν δογμάτων ἀντείχοντο· αἰκίζων τε καὶ προπηλακίζων, ἦγε διὰ τῆς ἀγορᾶς, ἐπιὼν ταῖς οἰκίαις, οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας, αἰδοῖ καὶ σεμνότητι βίου κεκοσμημένας. 'Απόχρη δὲ τὸ κατὰ τῶν πρέσβεων μόνον τεκμηριῶσαι τὸν ἄνδρα ὁποῖος. Δείσας γὰρ μὴ τῶν ἐκκλησιῶν ἐπιλήψοιτο 'Αθανάσιος, ὑπὲρ οὗ καὶ ἡ πρεσβεία μάλιστα ἦν, παιδίσκην, διὰ τοῦ προειρημένου 'Ονάγρου ἐκ χαμαιτυπείου μισθῷ διαφθείρας, ὑποβάλλει τῇ οἰκίᾳ τῶν ἐπισκόπων· ἔπειτα λόγον πόρρωθεν στήσας κακουργίας μεστόν, ἀθρόον ἐπιστῆναι παρασκευάζει τῇ καταγωγῇ τῶν θείων ἀνδρῶν. Ὧν ἕτερος, αἰσθόμενος τῆς ἀκολάστου τὸν ψόφον, ἡνίκα εἰσῄει, δαίμονα οἰηθείς, ψαλμὸν ὑπῆδε. Τοῦ δὲ δράματος, ὅθεν καὶ ὅπως γέγονε, κρίσει τοῦ κρατοῦντος ἀνευρεθέντος, ὡς αὐτουργὸς τῆς ἀθεμίτου πράξεως καθήρηται Στέφανος· Λεόντιος δὲ εἰς ἐπιτροπὴν τῆς 'Αντιοχέων ἐκκλησίας ἐκρίθη. Ὃν 'Αθανάσιος ὡς περὶ τὸ δόγμα κίβδηλον ἐξετρέπετο· τοῖς δ' ἀπὸ τοῦ Εὐσταθίου ἐν ἰδιωτῶν οἰκίαις ἐκκλησιάζουσιν ἐκοινώνει.

ΤΟΥ ΑΥΤΟΥ ΑΘΑΝΑΣΙΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ

1. 'Ο ἡμέτερος διδάσκαλος Παῦλος, παραγγέλλει, «παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ.[1]» Κοινὸν μὲν τὸ παράγγελμα, μᾶλλον δὲ ἐπαγγέλλει τοῖς ἁγιωσύνην ἀσκοῦσιν. 'Η παρθένος τὴν μὲν φύσιν ἐστὶν ὁμοία ταῖς ἄλλαις γυναιξί, τῇ δὲ

---

1. 'Ρωμ. 12, 1.

προθέσει τὴν φύσιν ὑπερβᾶσα. Καὶ τῷ ἁγίῳ ἁγίως προσελθεῖν θελήσασα, εἰ μὲν κατορθοῖ ἐνταῦθα, θαῦμα μέγα ἀπηνέγκατο· εἰ δὲ προθεμένη οὐκ ἐτελείωσεν, ἐξαίσιον τὸ τοιοῦτον πτῶμα γεγένηται· καὶ γὰρ χαλεπώτερόν ἐστιν ἀπὸ ὑψηλοτέρων πεσεῖν, ἢ ἀπὸ τῶν χαμαὶ καταπίπτειν. Καὶ ὅσῳ μεγάλη ἐστὶν ἡ ἐπαγγελία, τοσούτῳ χείρων ἡ πτῶσις. Ἡ γὰρ ἐπαγγελία ὑπερβαίνει τὴν φύσιν, καὶ εἰς τὸν οὐρανὸν αὐτὴν ἀναφέρει, καὶ μετὰ ἀγγέλων χορεύειν αὐτὴν κατασκευάζει. Ἐντεῦθεν ἤδη τῇ πολιτείᾳ, ὥς φησι καὶ ὁ Σωτὴρ τῷ ἀξιώματι τούτῳ μαρτυρῶν, ὅτι μετὰ τὴν ἀνάστασιν τῶν νεκρῶν ὁ βίος ἐστί, φησίν, ἡ προσδοκία τῶν ἀνθρώπων. Καὶ πάλιν λέγει, ὅτι Οἱ καταξιωθένες τῆς ἀναστάσεως τῶν μελλόντων ἀγαθῶν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται. Ὃ τοίνυν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ταῖς ἐπαγγελίαις ἀπόκειται, τοῦτο προλαβοῦσα ἡ τινῶν προαίρεσις, ἔχει καὶ κέκτηται. Οἱ γὰρ ἅγιοι, οἵτινες τὸν λογισμὸν ἔχουσιν ἀνατεταμένον πρὸς τὸν Θεόν, καὶ ἐσθίοντες ἐκ τῆς οὐρανίου τροφῆς, ἡγήσαντο ὡς φυλακὴν τὸν κόσμον τοῦτον, καὶ τὰ σώματα αὐτῶν εἰς μαρτυρίαν παραδεδώκασι, καὶ τὴν ἰδίαν ψυχὴν τετηρήκασιν ἁγνήν, ἵνα ὁ Θεὸς οἰκήσῃ ἐν αὐτοῖς. Ὑπέμενον δέ, ὥσπερ ὁ Κύριος ἡμῶν λέγει, ὅτι «Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται·[1]» καὶ καθάπερ ὁ ψαλμῳδός φησιν· «Ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος·[2]» ὅσοι γὰρ δίκαιοι τὴν ἐλπίδα αὐτῶν ἐν τῷ Θεῷ ἔχουσιν, ἀνάπαυσιν σαρκικὴν οὐκ ἐσχήκασι, χωρίζουσαν αὐτοὺς ἀπὸ τοῦ Θεοῦ· ἀλλ᾽ ἔμενον ἐν κόποις, μὴ δειλιῶντες, οὔτε μὴν διστάζοντες περὶ τῶν θείων ἐπαγγελιῶν· ἀλλ᾽ ὑποδεχόμενοι τὰς θλίψεις ἐλαφρῶς, μνημονεύουσι τοῦ διὰ τοῦ Ἀποστόλου λέγοντος· «Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε.[3]» Καὶ μαρτυρεῖ καὶ περὶ τῶν μὴ προσδεξαμένων τὴν ἀπολύτρωσιν, ὅτι οὐκ ἤθελον ἀναστρέψαντες πάλιν εἶναι ἐν τοῖς οὐρανίοις· ἡμᾶς δὲ οὐ δεῖ εἶναι ἐν τοῖς κοσμικοῖς, ἀλλὰ μεταβῆναι εἰς τὸ συνεῖναι τῷ Θεῷ.

2. Νῦν γὰρ καὶ ὑμεῖς, ἀδελφοὶ ἀγαπητοί, μὴ ὀλιγωρήσετε, μηδὲ ὁμοιωθῆτε τῷ λαῷ τῷ κατὰ τὸν καιρὸν Μωϋσέως παραβεβηκότι ἐν ἡμέραις τεσσαράκοντα μόναις, ἐν τῷ αὐτὸν ἀναβαίνειν λαβεῖν τὸν θεῖον νόμον· καὶ ἐκ τούτου ἔνοχοι γεγόνασι, καὶ ἔπεσον ἐν τῇ ἐρήμῳ· ἀλλ᾽ ὁμοιωθῶμεν Μωϋσεῖ ποιήσαντι τεσσαράκοντα ἡμέρας καὶ νύκτας, νηστεύοντι χωρὶς βρώσεως καὶ πόσεως. Οὐ μόνον ταύτας, ἀλλὰ καὶ ἄλλας τεσσαράκοντα, ἔχων τήν τε καρδίαν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν σάρκα κρεμαμένην πρὸς τὸν Θεόν. Μὴ ἐπιθυμήσωμεν ὡς τότε ἐπιθυμηταὶ κρεῶν γενόμενοι, πεσόντες ἐν τῇ ἐρήμῳ, «Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν, ὡς ὁ ψαλμός φησι, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ᾽ αὐτούς·[4]» ἀλλὰ διατηρήσωμεν τῷ

1. Μάρκ. 13, 13. 2. Ψαλμ. 48, 9-10. 3. Ἑβρ. 10, 34. 4. Ψαλμ. 77, 30-31.

δόντι τὰς ἐντολάς, ὡς οἱ υἱοὶ Ἰωναδάβ, οἷς ὁ Θεὸς ἐπηγγείλατο λέγων· «Οὐκ ἐκλείψει ἀνὴρ υἱῶν Ἰωναδὰβ παρεστηκὼς ἐνώπιόν μου πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ·[1]» οἵτινες οἶκον οὐκ ᾠκοδόμησαν ἑαυτοῖς, οὔτε μὴν ἀμπελῶνας ἐφύτευσαν, καὶ γεγόνασιν εἰς ἔλεγχον τῷ λαῷ. Καὶ ὁ μὲν λαὸς πλῆθος ὢν ᾐχμαλωτεύθη· οὗτοι δέ, ὀλίγοι ὄντες, ὑπὸ τοῦ Θεοῦ ἐφυλάχθησαν. Καὶ ὑμεῖς τοίνυν, οἵτινες τηρεῖτε τῶν πατέρων τὴν ὁδόν, λογίζεσθε υἱοὶ υἱῶν Ἰωναδάβ. Τήν τε κληρονομίαν τῶν πατέρων, ὡς ὁ γενναῖος Ναβουθέ, τηρήσωμεν, ὃς ἠπειλήθη ὑπὸ Ἀχαὰβ λαβεῖν τὸν αὐτοῦ ἀμπελῶνα εἰς κῆπον λαχάνων· μὴ ὑποδεξάμενος δέ, ἀνῃρέθη ἀγωνιζόμενος· ἀλλ' ὁ Θεὸς αὐτὸν ἐξεδίκησε. Κῆπον γὰρ τὸν ἑαυτοῦ ἀμπελῶνα οὐκ ἤθελεν ἔνθα φύονται πράσσα [πράσα] καὶ κρόμμυα καὶ σκόροδα, ἅτε ἐξέκλινεν· ἀλλ' ἤθελεν ἀμπελῶνα εὐφροσύνης· μᾶλλον δὲ τὸν ἑαυτοῦ νοῦν εὐφραντικόν, καὶ οὐκ ἔκλυτον ὡς μολόχην κήπου ἐν καύματι, ἢ ὡς σευτλίον ἡμίεφθον, ὥσπερ οἱ νῦν προδεδωκότες. Εἰ γὰρ ἀφῃρημένος ἦν, τάχα ἀφήρητο ἂν ὁ νοῦς τῆς πατρικῆς θεοσεβείας· καὶ γὰρ ἐχρηματίσθη Ἰσραηλίτης ὅτι νοῦς ἦν ὁρῶν τὸν Θεόν. Οἱ δὲ νῦν μηδὲν παθόντες τὸν ἑαυτῶν ἀμπελῶνα τῆς ἀληθινῆς ἀμπέλου ἀπέδοντο τῷ Ἀχαάβ, καὶ ἐφυτεύθησαν τοσαῦτα ψεκτὰ λαχανοειδῆ.

3. Μὴ γενώμεθα φιλάργυροι ὡς Ἐλισσαίου ὁ παῖς, ὁ διὰ τοῦτο τὴν λέπραν τοῦ Ναιμὰν ἐπισπασάμενος ἑαυτῷ· ἀλλ' ὑπομείνωμεν ἐν ταῖς θλίψεσιν, ἵνα τῆς ἀναπαύσεως μέτοχοι γενώμεθα· οὐδεὶς γὰρ χωρὶς θλίψεως εἰς τὴν βασιλείαν εἰσελεύσεται. Μιμησώμεθα τοὺς προγενεστέρους ἡμῶν ἁγίους. Ὁ πρῶτος δίκαιος ἦν Ἄβελ, ὃς ἀπαρχὴν τῷ Θεῷ ἀνήνεγκεν ἐκ πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν, ὃν ἐζήλωσεν ὁ ἴδιος ἀδελφός. Τί γὰρ ἄδικον πεποίηκε τῷ Κάϊν ὁ Ἄβελ; Ὁ δὲ ζῆλος διὰ τοῦτο ἐγένετο ἐν αὐτῷ, ἐπειδὴ οὐ προσεδέχθη αὐτὸς ὑπὸ τοῦ Θεοῦ ἐν τῷ μὴ προσενέγκαι ὀρθῶς. Καὶ τὸ μὲν σῶμα ἀπέκτεινε, νομίζων σβέσαι τὴν μεταξὺ αὐτοῦ θείαν ἀγάπην, ἀγνοῶν, ὅτι ἡ ψυχὴ αὐτοῦ βοᾷ πρὸς τὸν Θεόν. Καὶ ὁ μὲν Σωτὴρ ἡμῶν μνείαν αὐτοῦ ποιεῖται ἐν τῷ Εὐαγγελίῳ· ἡ δὲ τοῦ Κάϊν μνεία ἀπείληπται. Σήμερον πάλιν τὸν ἀναίτιον Ἄβελ ἀποκτείνουσιν· ἀλλὰ τὸ αἷμα πρὸς τὸν Κύριον βοᾷ· καὶ ἐλπίζομεν, ὅτι οὐ παρασιωπηθήσεται διὰ τὸ αἷμα τῶν τηλικούτων μαρτύρων. Ὥσπερ ὁ τότε καιρός, οὕτω καὶ νῦν.

4. Μνησθῶμεν δὲ καὶ τῆς ὑπομονῆς τοῦ Ἐνώχ, ὅτι πεποίηκεν ἔτη τριακόσια ἑξήκοντα πέντε ἀνατεταμένην τὴν διάνοιαν ἔχων πρὸς τὸν Θεόν, ἕως ἂν μετατεθῇ. Μὴ οὖν ὀλιγωρήσητε· οὐ γὰρ κεχρονίκαμεν. Καὶ Νῶε δὲ πεντακόσια ἔτη πεποίηκε δίκαιος ὢν τέλειος ἐν τῷ καιρῷ τῆς παραβάσεως, πρὸ τοῦ λαλεῖν πρὸς αὐτὸν Θεὸν κατασκευάσαι τὴν κιβωτόν, καὶ ἄλλα ἑκατὸν ἔτη αὐτὴν ἐργαζόμενος, χλευαζό-

1. Ἱερ. 35, 19.

μενος ὑπὸ τῶν ἐναντιουμένων· καὶ οἱ μὲν χλευάζοντες ἀπώλοντο ὑπὸ τοῦ κατακλυσμοῦ· ὁ δέ, ἐπὶ τὸν Θεὸν ἠλπικώς, ἐσώθη σὺν τοῖς οἰκιακοῖς, καὶ σωτήριον ἐγένετο τῷ κόσμῳ.

5. 'Αβραὰμ δὲ πάλιν ὑπήκοος Κυρίου γενόμενος κατέλιπε τὰ ἴδια οἰκητήρια, ἕως οὗ ἀπολάβῃ τὰς μεγάλας ἐπαγγελίας· πειραζόμενος γὰρ ἄχρι τοῦ ἀνενέγκαι θυσίαν τὸν ἴδιον ἀγαπητὸν υἱὸν τῷ Θεῷ, καὶ εἴληφε τηλικοῦτον χρηματισμὸν ὁ 'Αβραὰμ καλεῖσθαι φίλος Θεοῦ. Τὸν δὲ 'Ισαὰκ οἱ Φιλιστιεὶμ ἐπλεονέκτουν, καὶ τούτου τὰ φρέατα ἐνέφραττον, καὶ ἐμάχοντο αὐτῷ περὶ τοῦ ὕδατος· ὅτε δὲ ἔσχατον ἐμακρύνθη ἀπ' αὐτῶν, ἐπλάτυνεν αὐτῷ ὁ Θεός, καὶ τὸ στόμα αὐτοῦ ἐνέπλησεν εὐλογίας. Καὶ σήμερον πάλιν τοῦ 'Ισαὰκ τὰ φρέατα θέλουσιν ἐμφράξαι· ἀλλὰ μὴ ἐάσητε· λάβετε σὺν ὑμῖν τοὺς παῖδας τοῦ 'Ισαάκ, καὶ ὀρύξατε, αἵτινές εἰσιν ἀποστόλων βοήθειαι τῆς διδασκαλίας, τῶν ὄντων ὑπερμάχων τῆς ἀληθείας. Τὸν 'Ιακὼβ πάλιν ἐδίωκεν ὁ ἴδιος ἀδελφὸς 'Ησαῦ, καὶ ἀνεχώρησεν εἰς τὴν Μεσοποταμίαν, καὶ ἐποίμαινε τὰ πρόβαταΛαβάν, ἀγρυπνῶν ἡμέρας καὶ νυκτός, ὡς μίσθιος κακοπαθῶν, ἐμακροθύμησεν ἐν μόχθῳ. 'Εν δὲ τῇ ἑαυτοῦ συνέσει ἔθηκε τὰς ῥάβδους ἐν ταῖς ληνοῖς τῶν ποτιστηρίων, καὶ πάντα τὰ ποικιλοειδῆ πρόβατα ὑπήρχθη ἴδια. Καὶ τούτῳ ὁ Θεὸς ἐπ' ἐσχάτων ἐπλάτυνεν· αὐτὸς γὰρ μόνος ἀπῴχετο, σὺν πολλῷ δὲ πλήθει ἐλήλυθεν, υἱοὺς ἐκτήσατο καὶ κτήνη, οὐ μόνον δέ, ἀλλὰ καὶ πλήθη ἀγγέλων συνευφραίνοντο αὐτῷ. 'Ελεύσεται οὖν ὁ ἀληθινὸς 'Ιακὼβ μετὰ τῆς οὐρανίου ἀγγελικῆς παρατάξεως, ὁ ποιμὴν τῶν προβάτων, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Τὸν 'Ιωσὴφ δὲ οἱ ἴδιοι ἀδελφοὶ ἐζήλωσαν· οἱ υἱοὶ τοῦ πατρὸς αὐτοῦ τοῦτον ἀντὶ ἀργυρίου ἀπέδοντο, καὶ τὴν τούτου τιμὴν διεμερίσαντο. 'Ορᾶτε τὴν τοσαύτην ἀδικίαν τῶν ἀνδρῶν τούτων. Αὐτὸς δὲ ἐμακροθύμησεν ὁ δίκαιος ἐν πᾶσι τούτοις· οὐ γὰρ μόνον οἱ ἀδελφοί, ἀλλὰ καὶ ἡ γυνὴ ἐφθόνησεν αὐτῷ. Καὶ τοῦτον μακροθυμήσαντα ὁ Θεὸς κατέστησε τῆς γῆς Αἰγύπτου βασιλέα. Οὐ μόνον τῆς αἰσθητῆς βασιλείας κληρονόμος, ἀλλὰ καὶ τῆς ἐπουρανίου ἐγένετο. Καὶ σήμερόν εἰσιν οἱ τοὺς ἑαυτῶν ἀδελφοὺς πιπράσκοντες καὶ διαμεριζόμενοι τὸ ἀργύριον. Μνησθῶμεν καὶ τῆς ὑπομονῆς τοῦ 'Ιώβ, τοῦ μήτε εὐθηνοῦντος ἐκκλίναντος, μήτε μὴν πειραζόμενος τοσαῦτα ἐν ἑκάστῳ πράγματι, ἀλλὰ μακροθυμήσαντος καρτερῶς, ἕως ἂν ἀπολάβῃ διπλᾶ παρὰ Θεοῦ. Καὶ ἐμαρτυρήθη μέχρι νῦν, ὅτι πέπονθεν οὗτος, ἵνα φανῇ τοῖς πᾶσι δίκαιος. 'Ο δὲ Μωϋσῆς οὐκ ἐπεθύμησε τοῦ τόπου τὸν πλοῦτον περιποιήσασθαι· ἀλλ' ἔφυγε πάροικος γενόμενος ἐν ἀλλοτρίᾳ γῇ, ἢ τὰ ἐνεστῶτα κατέλειπεν, ἵνα μεταλάβῃ τῶν αἰωνίων. Οἱ δὲ τοίνυν ἐπελάθοντο [ἐπελάχοντο] ἴσως τῆς βασιλείας.

6. 'Εκλείψει ὁ καιρὸς διηγουμένων ἡμῶν περὶ ἑκάστου τῶν ἁγίων. 'Αλλ' ἵνα συντόμως εἴπωμεν τὸν λόγον, δηλοῦμεν, ὅτι καὶ τὸν 'Ηλίαν ἐδίωκεν 'Ιεζάβελ, ὑπομείνας δὲ ἐν τῷ κόπῳ ἀνελήφθη. Καὶ ὁ 'Ελισ-

σαῖος δὲ σὺν τοῖς μετ' αὐτοῦ βοτάνας ἤσθιεν, ἀλλ' εἶχε τὸν ἐν αὐτῷ ζῶντα Λόγον· καὶ τούτου τὰ ὀστᾶ τελευτήσαντα ἀνέστησε νεκρόν, γνωρίσματος διδομένου, ὅτι τοῦ δικαίου ἐλπὶς οὐκ ἀπόλλυται. Ἱερεμίαν εἰς λάκκον βορβόρου ἐνέβαλον ζῶντα, ζηλούμενον ὑπὸ τῶν ψευδοπροφητῶν. Ὁ δὲ Ἰεζεκιὴλ κοιμώμενος ἦν ἐπὶ τὰ πλευρὰ ἡμέρας ὅλας ἑκατὸν ἐνενήκοντα, ἐσθίων ἄρτον καὶ πίνων οἶνον ἐν μέτρῳ, οὐ μετεστράφη ἀπὸ πλευροῦ ἐπὶ τὸ πλευρόν, ἕως οὗ ὁ Θεὸς αὐτῷ εἶπεν. Οἱ δὲ καταλείποντες τὸν Κύριον μεταστρέφονται εἰς τὸ πλευρὸν τῆς ἰδίας ἀναπαύσεως, οἵτινες ἔκδηλοί εἰσι λαβόντες ἀπεντεῦθεν τὴν ἑαυτῶν μερίδα. Ἐπιμείνατε οὖν ἐπὶ τὸ πλευρὸν ἕως ἂν ἡ θειότης προστάξῃ. Οἱ γὰρ τοῦ Ἰεζεκιὴλ μεγάλοι δεσμοί εἰσιν οἱ βεβαιότατοι λόγου τοῦ Θεοῦ. Τοῦ δὲ Δανιὴλ κατηγόρησαν οἱ σατράπαι, κωλῦσαι θέλοντες αὐτὸν τῶν εὐχῶν· ὁ δὲ οὐκ ἐπαύσατο, καὶ ἐνεβλήθη δὶς εἰς λάκκον λεόντων· ὁ δὲ Θεὸς ἐνέφραξεν αὐτῶν τὰ στόματα. Καὶ σήμερον κατηγοροῦσιν ἡμῶν, μὴ θέλοντες προσεύχεσθαι ἡμᾶς πρὸς τὸν Θεόν. Φανερὸν τοῦτο, ὅτι καὶ ἡμᾶς διώκουσι, καὶ τοὺς Πατέρας ἡμῶν τοὺς ἐπισκόπους. Μακάριος ἀνὴρ ὅστις ἄμεμπτός ἐστι, καὶ οὐχ εὑρέθη ἐν αὐτῷ αἰτία, ἀλλ' αὕτη μόνη, τὸ προσεύχεσθαι πρὸς τὸν Κύριον. Τοῦτό ἐστι τὸ ὑπομένειν εἰς τέλος. Μηδεὶς οὖν ἐν ὑμῖν δειλοψυχείτω. Κατανοήσατε γὰρ τοὺς τρεῖς ἁγίους μικροὺς ὄντας μὴ ὑποταγέντας τῇ εἰκόνι Ναβουχοδονόσορ, καὶ διὰ τῆς αὐτῆς ἁγιωσύνης καὶ πολιτείας κατασβέσαντας τὴν τηλικαύτην κάμινον τῆς φλογός, καὶ οὐδὲ ὀσμὴ πυρὸς ἐν τοῖς ἐνδύμασιν αὐτῶν ἐγένετο. Μηδὲ ἐν τοῖς ὑμετέροις ἐνδύμασι γενέσθω ὀσμὴ πυρὸς τοῦ Ναβουχοδονόσορ, οἵτινές εἰσιν οἱ τοῦ διαβόλου οἱ κατασβεννύμενοι φθαρτοὶ λογισμοί. Μὴ ἀπατάτω ὑμᾶς βρῶσις, μηδὲ λεγέτω τις· Γεγήρακα, καὶ οὐ δύναμαι νηστεῦσαι· ἀλλὰ μεμνήσθω τοῦ γεραιοῦ Ἐλεαζάρου, τοῦ μὴ ἀπατηθέντος ὑπὸ τοῦ βασιλέως γεύσασθαι ἢ μιαροφαγῆσαι. Οἱ δὲ ὑμῖν νεώτεροι μνημονευέτωσαν τῶν ἑπτὰ γενναιοτάτων Μακκαβαίων, παραμυθούμενοι ἕκαστος τὸν ἑαυτοῦ ἀδελφόν, ἄχρις ἂν τελειωθῶσιν ἐν τῇ μαρτυρίᾳ, καὶ γένωνται ἐν τῷ ναῷ Κυρίου στῦλοι φωτός. Ὅσαι δὲ πάλιν ἐν ὑμῖν μητέρες, παρακλήτορες ἔστωσαν τῶν τέκνων, ὥσπερ ἡ ἐκείνων ἀμανὴς καὶ ἀπλανὴς ἦν προτρεπομένη τοὺς υἱούς, ἵνα ἐν τῇ βασιλείᾳ αὐτοὺς ἀπολάβῃ σὺν αὐτῇ. Κἂν διωχθῆτε, καὶ ἀπολάβωσιν ὑμᾶς, ἱκανούσθω τὸ σῶμα ὑμῶν εἶναι ναὸς Θεοῦ. Μνήσθητε τῶν διωκομένων τότε ἀποστόλων καὶ εἰς φυλακὴν βληθέντων, καὶ εὐχαριστούντων μετὰ χαρᾶς, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι· καὶ τῶν ἁγίων μαρτύρων τῶν τοσούτων αἰκισμοὺς ὑπενεγκόντων, ἄχρι καὶ ἐξορύξεως ὀφθαλμῶν, καὶ μονόφθαλμοι ἐγένοντο. Ἀλλ' ἡ τοῦ Θεοῦ γνῶσις ἐν τῇ καρδίᾳ αὐτῶν ἐτύγχανεν, εἰς οὓς ὁ τοῦ Σωτῆρος λόγος ἔφθασε λέγοντος· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[1]»

1. Ματθ. 5, 8.

Τινὲς δὲ νῦν προδεδώκασι μηδὲν καθόλου αἰκισμὸν παθόντες, ἕνεκεν τριῶν πραγμάτων, φιλαργυρίας τε καὶ ἀπολαύσεως σαρκός, βρωμάτων καὶ ποτῶν, καὶ κενοδοξίας, φιλαρχίας καὶ ἀνθρωπίνου φόβου.

7. Ταῦτα γεγραφήκαμεν παρακαλοῦντες ὑμᾶς· ἀλλ' ἔστι μέτρον ἑκάστου κατὰ τὴν ἑκάστου πολιτείαν ἴδιον. Ἕκαστος οὖν ὑμῶν φίλους ἑαυτοῦ ἄνω κτάσθω· διὸ ἡ Γραφὴ λέγει· Ἐν παντὶ καιρῷ φίλος ὑπαρχέτω σοι. «Ἀδελφοὶ δὲ ἐν ἀνάγκαις ἔστωσαν χρήσιμοι· τούτου γὰρ χάριν γεννῶνται.[1]» Ὅσοι οὖν μιμηταὶ ἑκάστου τῶν προειρημένων εἰσί, τούτων συγκληρονόμοι ἔσονται, καὶ τούτους ἕξουσι φίλους ἐν ἡμέρᾳ ἀνάγκης. Εἴ τις πρεσβύτερος τυγχάνει, μιμείσθω Τιμόθεον προεστῶτα καλῶς, καὶ βαθμὸν ἑαυτῷ περιποιοῦντα καὶ πολλὴν παρρησίαν ἐν Χριστῷ. Εἴ τις διάκονός ἐστι, μιμείσθω τοὺς περὶ Στέφανον ἑπτὰ πιστευθέντες διακονεῖν, οἳ καὶ πιστοὶ πλήρεις Πνεύματος ἁγίου ἐγένοντο. Εἴ τις ἀναγνώστης, συμμέτοχος γενέσθω τοῦ λέγοντος· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου·[2]» καὶ ὡς εἶπεν ὁ Πέτρος· «Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ·[3]» καί, «Ἄργυρος πεπυρωμένος[4]» γλῶσσα δικαίου. Ὅσοι μοναχοὶ τέλειοι, ἐχέτωσαν τούτους τοὺς ἁγίους ἄνδρας εἰς φίλους, Ἠλίαν, Ἐλισσαῖον, Ἰωάννην· οἱ δὲ ἐν αὐτοῖς νεώτεροι μιμείσθωσαν τοὺς τότε τρεῖς ἁγίους μετὰ τῶν Μακκαβαίων. Αἱ δὲ παρθένοι προσδοκώμενοί εἰσι μετὰ τῶν συνεταιρίδων ἐν οὐρανοῖς Μαρίας ἅμα ἀδελφῆς Ἀαρών, καὶ τῆς Μαρίας καὶ Θέκλης τῆς ἐκτιλάσης τὴν σαρκικὴν ἐπιθυμίαν ἀφ' ἑαυτῆς, καὶ τῶν τεσσάρων θυγατέρων Φιλίππου τῶν προφητευουσῶν. Αἱ δὲ χῆραι πολιτευόμεναι ἔστωσαν ὥσπερ Δεβόρρα κρίνουσα τὸν λαόν, ἥτις ἐχρημάτισε μήτηρ ἐν Ἱερουσαλήμ· καὶ ὡς Ἰουδὴθ ἐν τῇ φρονιμότητι καὶ ἁγιασμῷ τὴν κεφαλὴν Ὁλοφέρνου ἀφειλαμένη· καὶ ὥσπερ Ἄννα θυγάτηρ Φανουήλ, ὀγδοήκοντα τεσσάρων ἐτῶν οὖσα, ἦν ἐν τῷ ἱερῷ λατρεύουσα ἐν νηστείαις καὶ δεήσεσι, καὶ ἐπὶ τέλει ἀνθωμολογεῖτο τῷ Κυρίῳ.

8. Ὅσοι πρεσβῦται τῇ ἡλικίᾳ εἰσίν, ἔστωσαν μιμηταὶ τοῦ ἀγαθοῦ πρεσβείου τοῦ Ἀβραὰμ ἐν τῇ φιλοξενίᾳ, καὶ ὥσπερ Ἰσαὰκ καὶ Ἰακώβ, Ἰὼβ τε καὶ Λώτ. Ὅσαι δὲ πρεσβύτιδες ἢ χῆραι, ζηλούτωσαν τὴν χήραν τὴν ἐν Σαραιπτά, καὶ τὴν προσενεγκαμένην τὰ δύο λεπτά. Νῦν δέ, ἀγαπητοί μου ἐν Κυρίῳ, χωρὶς πολυλογίας, καιρός ἐστι τοῦ πενθῆσαι. «Ἐγένετο δὲ μετὰ τὸ αἰχμαλωτευθῆναι τὴν Ἱερουσαλήμ, καὶ Ἰσραὴλ ἐρημωθῆναι, ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ Ἱερουσαλήμ, καὶ εἶπε· Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμένη λαῶν; ἐγενήθη ὡς χήρα·[5]» οἱ γὰρ ἅγιοι ἐπὶ τῇ τῶν ἀνθρώπων πτώσει κλαίουσιν. Ἰδοὺ γὰρ σήμερον ἡ Ἐκκλησία ὡς χήρα γεγένηται· ἰδοὺ ὁδοὶ Σιὼν πενθοῦσι

1. Παρμ. 17, 17. 2. Ψαλμ. 44, 2. 3. Α' Πέτρ. 4, 11. 4. Ψαλμ. 11, 7. 5. Θρ. 1, 1.

παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ· ἰδοὺ οἱ ἱερεῖς αὐτῆς ἀναστενάζουσι, καὶ αἱ παρθένοι αὐτῆς ἄγονται, ἀπεκλείσθη ἡμῶν τὸ Σάββατον, καὶ ἡ ἑορτή, καὶ ἡ νεομηνία. Καὶ ἐν ἄλλῳ τόπῳ κλαίει ὁ προφήτης λέγων· «Κλαύσομαί σε, ἄμπελος Σέβαμα·[1]» τί ὠλοθρεύθησαν τρυγηταί σου; ὁ οἶνός ἐστιν ἐν ληνῷ[2] χρήζων κούφων ἀξίων χωρῆσαι τοῦτον. Πολλὰ δὲ διὰ τὸ πλῆθος τῶν τετραυματισμένων ἐν τῷ νῦν καιρῷ παρῃτήσαντο τετραυματισμένοι. Ὅσοι γοῦν ἀβλαβεῖς ἔμειναν κοῦφα νέα διατετηρημένα προσερχέσθωσαν μεταλαβεῖν. Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ κλαίει λέγων· «Τίς δῴη τῇ κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσωμεν τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτὸς τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ μου[3]», τοὺς σοφοὺς εἰς τὸ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι μὴ ἐπεγνωκότας; Τοῦτο ποιοῦντες κλαίοντες ἐπὶ τῷ πτώματι τῶν ἀνθρώπων. Ὁ προφήτης δὲ πάλιν Ἰεζεκιὴλ ἐθρήνει ἐφ' ἕκαστον τῶν ἀποπεπτωκότων, ὥσπερ αὐτῷ εἴρηται· «Λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα Τύρου.[4]» Καὶ οὐκ ἐπὶ τὸν ἄρχοντα Τύρου μόνον, κλαίει, ἀλλ' ἐπὶ τοὺς πολλοὺς τάχα ἐκ τῶν αὐτοῦ δακρύων καταντήσουσιν· σκοποὶ γὰρ τυγχάνουσι τοῦ παντός, καὶ διίκτορες τοῦ πενθεῖν. Καὶ ὁ Δαυὶδ ἔκλαιεν ἐπὶ τῷ πτώματι δυνατῶν λέγων· «Πῶς ἔπεσον δυνατοί[5]», καὶ ἀπώλοντο σκεύη πολεμικά; Μὴ ἀναγγείλατε ἐν Γέθ, μηδὲ ἐν ὁδοῖς Ἀσκαλῶνος, μήποτε εὐφρανθῶσι θυγατέρες ἀπεριτμήτων·[6]» ἰδοὺ γὰρ καὶ σήμερον ἔπεσαν δυνατοί, καὶ μεγάλα σκεύη πολεμικά, ἅπερ δεῖ κλαίειν. Ἔκλαιε δὲ ἐπὶ τὸν Ἀβεσσαλώμ, οὐχ ὅτι ἀπέθανεν, ἀλλ' ὅτι παρηνόμησε. Καὶ ἡμεῖς τοίνυν μὴ τοὺς τελευτήσαντας κλαύσωμεν, ἀλλὰ τοὺς τὴν ἰδίαν πίστιν ἀπαρνησαμένους. Δεξώμεθα καὶ τὸν λόγον τοῦ προφήτου Ἰωήλ, καὶ ἐπιτελέσωμεν, ὡς προστάττει καὶ προσκαλεῖται κλαίειν ἐπὶ τοὺς ἐν ἀπωλείᾳ λέγων· «Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ, καὶ ἐροῦσι· Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, μήποτε εἴπωσιν ἐν τοῖς ἔθνεσι· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;[7]» Τάχα δέ πως καὶ ἡμῖν λεχθείη τό, «Καὶ ἐζήλωσε Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ.[8]» Καὶ ἐν τοῖς Θρήνοις πάλιν κεῖται· «Τείχη Σιὼν καταγαγέτωσαν ὡσεὶ χειμάρρους δάκρυα ἡμέρας καὶ νυκτός.[9]» Μὴ ἄρα τείχεσιν ἢ λίθοις λέγει, ἢ παντως τοῖς οὖσιν ἁγίοις τείχεσι τῆς Ἐκκλησίας; Ἰδοὺ γὰρ ἐπὶ πάντας αὐτοὺς πεπλήρωται καταγαγόντας ὡσεὶ χειμάρρους δάκρυα πανταχοῦ.

9. Νῦν δὲ ἐπιλαβώμεθα καὶ τοῦ τῆς Ὠδῆς λόγου· «Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον αἴροντες τὰ σπέρματα αὐτῶν.[10]» Ὥσπερ

---

1. Ἱερ. 31, 32. 2. Πρβλ. Ἱερ. 31, 23-33. 3. Ἱερ. 9, 1. 4. Ἰεζ. 28, 12. 5. Β' Βασ. 1, 19. 6. Β' Βασ. 1, 20. 7. Ἰωὴλ 2, 16-17. 8. Ἰωὴλ 2, 18. 9. Θρ. 2, 18. 10. Ψαλμ. 125, 6.

οἱ προεστῶτες νῦν καὶ οὐκ ἔχοντες ποῦ τὰ σπέρματα καταβάλωσιν. Ἀλλ᾽ ὅμως «ἐρχόμενοι ἥξουσιν ἐν ἀγαλλιάσει φέροντες τὰ δράγματα αὐτῶν.[1]» «Μακάριοι γὰρ οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται.[2]» καὶ τό, «Ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.[3]» Οἱ γὰρ ἀπόστολοι καὶ τότε κλαίοντες τὸ ἑσπέρας, ἠγαλλιάσαντο πρωΐας. Καὶ ἡ Μαγδαληνὴ Μαρία παρεκάθητο τῷ μνημείῳ κλαίουσα· ταύτῃ ὀφθεὶς ὁ Κύριος ἀφεῖλε τῶν αὐτῆς ὀφθαλμῶν τὰ δάκρυα· ἐπληρώθη τὸ προελέγοντο· «Καὶ ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου.[4]» Μνήσθητε τοῦ Κυρίου ἡμῶν, ὅτι τοσαῦτα ἔπαθε δι᾽ ἡμᾶς· ἐξεδύθη τὸν ἱματισμόν, ἐνέδυσαν αὐτὸν χλαμύδα κοκκίνην, περιέθηκαν αὐτῷ στέφανον ἐξ ἀκανθῶν, ἐπέπτυσαν αὐτῷ, ἐνέπαιξαν αὐτῷ, καὶ ἐρραπίσθη ὑπὸ ὑπηρέτου ὁ τῶν ἁπάντων Δεσπότης. Ἐκρεμάσθη ἐπὶ ξύλου, ἐπότισαν αὐτὸν ὄξος μετὰ χολῆς, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βλέποντος, λόγχῃ τὴν πλευρὰν ἔνυξαν, παρέθετο τὸ πνεῦμα εἰς χεῖρας τοῦ Πατρός, ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν μνημείῳ, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ, ἀνελήφθη ἐν δόξῃ εἰς οὐρανούς, προεκήρυξαν αὐτὸν ἅγιοι ἄγγελοι λέγοντες· «Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν.[5]» Ἀναλογίσασθε οὖν τὸν τοιαύτην ὑπομονὴν ἐνδειξάμενον, ἵν᾽ ὅστις ἂν μιμητὴς αὐτοῦ γίνηται, οὗτος καὶ συγκάθεδρος καὶ συγκληρονόμος αὐτοῦ γένηται, ὡς αὐτὸς ἐπηγγείλατο, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΒΑΪΑ

Φρικτόν, ἀγαπητοί, μυστήριον σήμερον ἐν Ἱερουσαλὴμ γέγονε. Μυστήριον δέ φημι· τὸ ὑπὸ τῶν προφητῶν κηρυχθέν, καὶ ὑπὸ Χριστοῦ τελεσθέν. Ὄντως γὰρ «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου[6]», κατὰ τὸν μακάριον Δαυίδ· καὶ πάλιν ὁ αὐτός· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.[7]» Τὴν γὰρ κοινὴν ἀνάστασιν τοῦ τῶν ἀνθρώπων γένους πιστούμενος ὁ πάντων δεσπότης καὶ δημιουργὸς Ἰησοῦς Χριστός, ὁ πάντα δι᾽ ἡμᾶς οἰκονομήσας, πρὸ τοῦ σωτηρίου αὐτοῦ πάθους ἐκ νεκρῶν ἤγειρε τὸν Λάζαρον. Ὅθεν μετὰ τοῦτο σπεύδων, ὡς ἔφην, λοιπὸν τὸ ὑπὲρ ἡμῶν πάθος ἀναδέξασθαι, «Ἀποστέλλει», φησὶν ὁ εὐαγγελιστής, «δύο τινὰς τῶν ἑαυτοῦ μαθητῶν λέγων· Πορευθέντες εἰς τὴν κατέναντι ἡμῶν κώμην, εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον σὺν αὐτῇ· λύσαντες ἀγάγετέ μοι.[8]» Διὰ τοῦτο ὁ μακάριος Ἰακὼβ ὁ πατριάρχης, ἡνίκα τὰς εὐλογίας ἐν κλήρῳ παρεῖχε τοῖς τέκνοις, ἐλθὼν ἐπὶ τὸν Ἰούδαν, οὕτως εἴρηκεν·

---

1. Ψαλμ. 125, 6. 2. Ματθ. 5, 4. 3. Ψαλμ. 29, 6. 4. Ἡσ. 25, 8. 5. Ψαλμ. 23, 7, 9. 6. Ψαλμ. 117, 26. 7. Ψαλμ. 8, 3. 8. Ματθ. 21, 1-2.

«Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου·[1]» καὶ μετ' ὀλίγα· «Καὶ αὐτὸς προσδοκία ἐθνῶν.[2]» Ποίων δὲ ἐθνῶν γέγονε προσδοκία Ἰούδας; Οὐδαμῶς. Ἀλλὰ τοῦτο δηλοῖ ὁ προφήτης, ἐπειδὴ ἐξ Ἰούδα ἀνατέταλκεν ὁ ἥλιος. Πάλιν μεθ' ἕτερα ὁ αὐτὸς λέγει· «Δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου.[3]» Ὄνον καὶ πῶλον εἰπών, τὴν Ἐκκλησίαν τῶν ἐθνῶν ἐσήμαινεν. Ἐδέσμευσε γὰρ ἀληθῶς τὰ ἔθνη ὁ Κύριος τῇ ἀμπέλῳ καὶ τῇ ἕλικι· τουτέστι, τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, ὅπως καρποφορήσωσι καρπὸν εὐσεβείας διὰ τῆς πίστεως. Εἶτα ἐπάγει· «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.[4]» Στολὴν τοῦ Χριστοῦ καὶ περιβολὴν τὴν σάρκα λέγει. Ἑκουσίως γὰρ δι' ἡμᾶς ἐν σταυρῷ προσηλώθη σαρκί, ἵνα τῷ ἰδίῳ αἵματι τὸν ῥύπον ἐκπλύνῃ τῶν ἡμετέρων ἁμαρτιῶν, καθὼς καὶ ἐν Ἡσαΐᾳ γέγραπται· «Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀποπατητοῦ ληνοῦ, πλήρης καταπεπατημένης;[5]» ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Λέγει γὰρ τοῖς μαθηταῖς ὁ Κύριος περὶ τῆς ὄνου· «Καὶ ἐάν τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε; ἢ τί λύετε τὸν πῶλον; εἴπατε ὅτι Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.[6]» Μὴ διστάσητε, φησίν, ἐν μηδενὶ τῶν κατὰ τὴν ἐμὴν οἰκονομίαν πραττομένων· οὐδεὶς ὑμῶν ἀντιστήσεται οὐδὲ ἀντιρρητορήσει πρὸς οὐδὲ ἓν ῥῆμα. Εἴπατε, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει, οὐδεὶς κωλύσει ὑμᾶς ποιοῦντας τὸ ὑπ' ἐμοῦ προσταττόμενον· «Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.[7]» Δεῖ τοίνυν πάντα τὰ παρ' ἐμοῦ γεγραμμένα εἰς πέρας ἐλθεῖν. Δεῖ με εἰσελθεῖν εἰς Ἱερουσαλὴμ σήμερον ἐποχούμενον ἐπὶ ὑποζύγιον. Ἐρευνᾶτε τὰς Γραφάς· ἰδοὺ Ζαχαρίας ὁ προφήτης διαρρήδην βοᾷ λέγων· «Χαῖρε σφόδρα, θύγατερ Σιών· κηρύσσεταί σοι δίκαιος καὶ σῴζων. Αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου νέον.[8]» Καιρὸς οὖν εὐδοκίας ὁ παρών· δεῖ με τὴν ἔχθραν λῦσαι καὶ εἰρηνοποιῆσαι τὰ πάντα διὰ τοῦ σταυροῦ. Δεῖ τὴν νῦν Ἱερουσαλὴμ τέλος λαβεῖν, καὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν στηριχθῆναι. Ἢ οὐχὶ καὶ ὁ ὑμνῳδὸς Δαυὶδ περὶ τῆς κλήσεως ταύτης τῶν ἐθνῶν προεφήτευσε; Τί γὰρ εἴρηκε; «Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε.[9]» Οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί, οἱ διὰ πίστεως τὸν Λόγον δεχόμενοι. Εἶτά φησιν ὁ εὐαγγελιστής· «Πορευθέντες δὲ οἱ μαθηταὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς, καὶ ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια, καὶ ἐπεκάθισαν τὸν Ἰησοῦν.[10]» Ὢ τῆς πολλῆς τοῦ Σωτῆρος πρὸς ἡμᾶς συγκαταβάσεως! Τίς οὐ θαυμάσει τὸ μέγεθος τῆς αὐτοῦ πρὸς ἡμᾶς ἀγάπης; Τίς οὐκ ἂν ἐπλάγη, ὅτι ὁ ἐπὶ τῶν χερουβὶμ ἐποχούμενος

1. Γεν. 49, 8. 2. Γεν. 49, 10. 3. Γεν. 49, 11. 4. Γεν. 49, 11. 5. Ἡσ. 63, 2-3. 6. Λουκ. 19, 31. 7. Ψαλμ. 23, 1. 8. Ζαχ. 9, 9. 9. Ψαλμ. 85, 9. 10. Ματθ. 21, 6-7.

ἐπὶ πῶλον δι' ἡμᾶς ἐκαθέσθη; Ὁ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, ὑπὸ νηπίων εὐφημεῖται; Τοῖς μὲν γὰρ ἱμαρτίοις, φησί, τὴν ὁδὸν κατεστρώννυον· ἄλλοι δὲ κλάδους ἐκ τῶν δένδρων κόπτοντες τὸ αὐτὸ ἐποίουν· καὶ οἱ μὲν προπορευόμενοι, οἱ δὲ ἀκολουθοῦντες ἔκραζον ἅμα τοῖς ἀπειροκάκοις παισίν, ἐπινίκιόν τινα ὕμνον λέγοντες· «Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.[1]» Διὸ καὶ ἡμεῖς, ἀποθέμενοι πάντα λογισμὸν ῥυπαρὸν καὶ αἰσχρὰς ἐνθυμήσεις, καὶ τὴν ἐν πανουργίᾳ πονηρίαν, ἀπειρόκακον ἔννοιαν ἀναλαβόντες, ἅμα τοῖς παισὶν ἐκείνοις μετὰ φαιδρῶν τῶν λαμπάδων ἀπαντήσωμεν τῷ Σωτῆρι Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν· καὶ τοῖς μὲν βαΐοις νικητὴν αὐτὸν τοῦ θανάτου κηρύξωμεν, τοῖς δὲ τῶν ἐλαιῶν κλάδοις τὸν ἐλεήμονα καὶ ἀγαθὸν ἱκετεύσωμεν λέγοντες· Εὐλογημένος ὁ ἐλθὼν καὶ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐλθὼν κατ' οἰκονομίαν, καὶ δι' ἡμᾶς πτωχεύσας πλούσιος ὤν, ἵνα καὶ ἡμᾶς τῇ σῇ πτωχείᾳ πλουτήσωμεν· ἐρχόμενος δὲ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΠΟΣΠΑΣΜΑ ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΑΝΩΝ

Fragmentum contra Macedonianos. Ex cod. Colbert. 5179, bombycino.

Εἰ μέν, μηδενὸς ὑποκειμένου, περὶ πίστεως γράφουσι, περιττὸν τὸ ἐπιχείρημα καὶ ἐπιβλαβές, ὅτι, μηδεμιᾶς ζητήσεως οὔσης αὐτοῖς, πρόφασιν λογομαχίας παρέχουσιν, ἀνασκευάζοντες τὰς ἀκάκους τῶν ἀδελφῶν καρδίας, καὶ παρασπείροντες ἃ μηδὲ εἰς νοῦν αὐτῶν ποτε ἀνέβη· εἰ δὲ διὰ τὴν Μακεδονίου αἵρεσιν ἀπολογούμενοι γράφειν ἐπιχειροῦσιν, ἔδει τῶν κακῶν φυτῶν τὰ σπέρματα προανελεῖν, καὶ τοὺς αὐτὰ παρασχόντας στηλιτεῦσαι, καὶ οὕτως τὰ ἀντ' ἐκείνων γράφειν ὀρθῶς, ἢ ἐκδικεῖν φανερῶς τὰ Μακεδονίου, ἵνα μὴ κεκρυμμένοι, ἀλλὰ φανερῶς πνευματομάχοι δεικνύωνται, καὶ πάντες αὐτοὺς φεύγωσιν ὡς ἀπὸ προσώπου ὄφεως. Νῦν δὲ κἀκεῖνα κρύπτουσι, καὶ περὶ ἄλλων προσποιούμενοι γράφουσιν· ὥσπερ οἱ τῶν σεσηπότων μελῶν παρατρέχοντες ἰατροὶ περὶ τῶν ὑγιαινόντων διαλέγονται, ἢ ἀγνοοῦντες ἢ τέχνῃ πανούργως χρώμενοι. Οὐδεὶς γάρ, ἐγκαλούμενος περὶ μοιχείας ἀπολογεῖται περὶ κλοπῆς οὐδὲ φόνου τις ἔγκλημα διώκων, ἀνέχεται τῶν κατηγορουμένων εἰ ἀπολογοῖντο λέγοντες. Οὐκ ἐπιωρκήσαμεν, ἀλλὰ καὶ τὴν παρακαταθήκην ἐφυλάξαμεν. Μᾶλλον γάρ ἐστι τοῦτο παίγνιον ἢ λύσις ἐγκλήματος καὶ ἀληθείας ἀπόδειξις.

---

1. Ματθ. 21, 9.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΚΑΤΑ ΝΟΒΑΤΙΑΝΩΝ

Fragmenta librorum contra Novatianos. Ex codice Regio 2398, xi sæculi memb. Est catena in Acta apostolorum, fol. 32.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ πρὸς Νουατιανοὺς β' λόγου.

«Εἰ ἔμενε», φησίν, «ὑμῖν ἔμενε, καὶ πραθὲν ἐν τῇ ὑμετέρᾳ ἐξουσίᾳ ἦν.[1]» Ἐπειδὴ δέ, φησίν, ἐπιχειρήσατε πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ εἰς τοῦτο συνεφωνήσατε, λήψεσθε πεῖραν οὗ ἠθελήσατε. Σωφρονισθήσονται δή, καὶ φοβηθήσονται καὶ ἄλλοι πειράσαι, δι' ὑμῶν τὴν πεῖραν λαβόντες.

Ibidem.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τῆς πρὸς Νουατιανοὺς πραγματείας.

Κατανοῆσαι δεῖ καὶ ἐνταῦθα, ὅτι ἀρχὴ ἦν τοῦ κηρύγματος, καὶ μέγα μὲν ἐτόλμησαν οὗτοι, πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον ἐπιχειρήσαντες· μεγάλη δὲ τοῖς ἄλλοις ἀδελφοῖς ὠφέλεια γέγονεν ἡ τούτων τιμωρία· ἐπαιδεύθησαν γάρ, καὶ ἐδιδάχθησαν, ὅτι δεῖ κατὰ τοῦ Πνεύματος τολμᾶν, οὐδὲν πειράσαι τοῦτο ἐπιχειρεῖν.

Ex cod. Colb. 200, quæ est catena in Jeremiam. Estque, ut videtur, fragmentum ex libris contra Novatianos.

Ὥσπερ ἄνθρωπος ὑπὸ ἀνθρώπου ἱερέως βαπτιζομένου φωτίζεται τῇ τοῦ ἁγίου Πνεύματος χάριτι, οὕτως καὶ ὁ ἐξομολογούμενος ἐν μετανοίᾳ διὰ τοῦ ἱερέως λαμβάνει τὴν ἄφεσιν χάριτι Χριστοῦ.

Duo Athanasii loca, quæ in Anecd. Græc. Jo. Christophori Wolfii tom. IV, pag. 52 edit. Hamburgi, habentur, ab eodem excerpta ex catena ms., in qua ad Actus apostolorum illustrandos afferuntur.

ΚΔΦ. Η', ς'. κδ'. Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον.

ΑΘΑΝΑΣΙΟΥ

Ἐκ τοῦ πρὸς λεγομένους Καθαροὺς λόγ. γ'.

Πρὸς οὖν τὴν ὑποκειμένην αὐτοῦ πικρίαν, καὶ ταύτην αὐτοῦ τὴν κατὰ τῆς δωρεᾶς τοῦ Θεοῦ τόλμαν καὶ ἐπιχείρησιν Πέτρος δικαίως ἐκινήθη, καὶ κινηθεὶς εἶπε πρὸς αὐτόν· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν.[2]» Εἰ καὶ μὴ δεῖ, ἀλλὰ διὰ τὴν τόλμαν σου ταύτην, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, «οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. Ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.[3]» Καὶ τοσαῦτα κατ' αὐτοῦ εἰπὼν

1. Πράξ. 5, 4. 2. Πράξ. 8, 20. 3. Πράξ. 8, 21.

ὀρθῶς καὶ δικαίως, οὐδὲν τούτων ἀνίατον ἡγησάμενος τῷ τῆς μετανοίας φαρμάκῳ, θεραπευτικὰ δὲ ταῦτα κρίνας εἶναι, ἐπήγαγε· «Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου.[1]» Μέγα γάρ σοι καὶ τοῦτο. Καὶ μὴ ἤδη τὴν δωρεὰν οὕτως ἀκαθάρτως καὶ ῥυπαρῶς διὰ χρημάτων σπεῦδε. Ἀλλὰ τέως τῆς πικρίας σου καὶ τῆς κακῆς ταύτης ἐπινοίας παυσάμενος, μετανόησον, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὅτι δυσίατα πάθη, οὐκ ἀνίατα μέντοι, ἀλλὰ δυσίατα. Εἰ γὰρ ἦν ἀνίατον, περισσὸν ἦν τό· Μετανόησον ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου. Ἀλλ' ὅτι ἡ μετάνοια μὲν ἰσχύει διὰ τούτων, ὅτι δὲ μετὰ πολλῆς μετανοίας καὶ ἐπιμελείας χρεία τοῖς βαρυνθεῖσιν εἰς κακίαν, παριστὰς ἐπήγαγεν. Εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. «Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.[2]» Καὶ τοσοῦτον ἴσχυεν ἡ εἰς μετάνοιαν προτροπὴ τοῦ μεγάλου τούτου ἀποστόλου καὶ πρὸς τὸν τοσοῦτον μάγον, καὶ πρὸς τὸν οὕτω χολῆς καὶ πικρίας μεστόν, καὶ τοσούτων κακῶν πεπληρωμένον, ὡς ἤδη ἐπιμελείας ἑαυτὸν δοῦναι, καὶ ταῦτα αὐτῷ εἰπόντι τὴν Γραφὴν ἐπιμαρτυρεῖν· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον· οὐ γὰρ ἐμοὶ παρρησία μέτεστιν, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμέ, ὧν εἰρήκατε. Οὔτε δὴ ἀπηγόρευσε ταῦτα αὐτῷ ὁ θεῖος Ἀπόστολος, οὔτ' ἀπηρνήσατο. Πῶς γὰρ ὁ καὶ ὑποθέμενος καὶ εἰπών; Τοσοῦτον δὲ ὠφελήθη οὗτος αὐτὸς ὁ τηλικοῦτος μάγος ἀπὸ τῆς ἐλπίδος, τῆς εἰς μετάνοιαν, ὡς ἤδη τοσοῦτον τῆς πονηρίας καὶ πικρίας αὐτὸν μεταβληθέντα εἰπεῖν· Ἐγὼ μὲν οὐκ εἰμὶ ἱκανὸς ὑπὲρ ἐμαυτοῦ δεηθῆναι· ὑμεῖς δὲ δεήθητε ὑπὲρ ἐμοῦ πρὸς Κύριον.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τοὺς Νουατιανοὺς τοὺς ἑαυτοὺς ὀνομάσαντας Καθαροὺς λόγου Β′.

ΚΕΦΑΛ. ΙΖ′ στ. γ′. Καὶ λαβὼν περιέτεμεν αὐτόν.

Ἵν' οὖν μὴ κωλύηται εἰς συναγωγὰς παραβάλλειν, διὰ τὸ ἀπερίτμητον εἶναι τὸν Τιμόθεον, οὕτως συμπαρεῖναι τοῦτ' ᾠκονόμησεν, οὐχὶ καὶ ἐδογμάτισεν.

ΑΘΑΝΑΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΠΕΡΙ ΑΠΤΩΝ

Ex codice Req. 1993, fot. 317.

Ἐάν τις περιπέπτωκεν ἀνωμαλίᾳ δυσανιάτῳ, ψαλλέτω· «Ἐγὼ εἶπον, Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι[3]», ἐπιμελόμενος τῆς προσευχῆς καὶ μεταδιώκων τὴν ἐλεημοσύνην,

1. Πράξ. 8, 22. 2. Πράξ. 8, 23. 3. Ψαλμ. 40, 5.

πειθόμενος τῆς ἐπουρανίου σοφίας· «Τέκνον ἐν καιρῷ, ἀρρωστήματός σου μὴ παραβλέψῃς· ἀλλ' εὖξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε.[1]» Τὰ γὰρ περίαπτα καὶ αἱ γοητεῖαι μάταια βοηθήματα ὑπάρχουσιν. Εἰ δέ τις αὐτοῖς κέχρηται, γινωσκέτω τοῦτο σαφῶς, ὅτι ἑαυτὸν ἐποίησεν ἀντὶ πιστοῦ ἄπιστον, ἀντὶ δὲ Χριστιανοῦ ἐθνικόν, ἀντὶ δὲ συνετοῦ ἀσύνετον, ἀντὶ δὲ λογικοῦ ἀλόγιστον. Καταντλεῖ γάρ σοι γραῦς διὰ κ' ὀβολούς, ἢ τετάρτην οἴνου ἐπαοιδὴν τοῦ ὄφεως· καὶ σὺ ἕστηκας ὡς ὄνος χασμώμενος, φορῶν δὲ ἐπὶ τὸν αὐχένα τὴν ῥυπαρίαν τῶν τετραπόδων, παρακρουσάμενος τὴν σφραγῖδα τοῦ σωτηρίου σταυροῦ. Ἣν σφραγῖδα οὐ μόνον νοσήματα δεδοίκασιν, ἀλλὰ πᾶν τὸ στῖφος τῶν δαιμόνων φοβεῖται καὶ τέθηπεν. Ὅθεν καὶ πᾶς γόης ἀσφράγιστος ὑπάρχει.

In eodem codice 2423 locus ille psalm. p. 1206 nostræ edit. explicatur, et p. 1206, l. ii, pro τρέπονται legitur κέκληνται, in fine autem post hæc verba, ἀπειθήσασί ποτε, hæc adduntur:

Ὥσπερ οὖν βασιλεὺς λήσταρχον εὑρὼν κατακρατοῦντα πόλεις, ἁρπάζοντα πανταχόθεν, εἰς τὰ σπήλαια καταδυόμενον, ἀποτιθέμενον ἐκεῖ τὸν πλοῦτον δήσας μὲν τὸν λήσταρχον, ἐκεῖνον μὲν τιμωρίᾳ παραδίδωσι, τὸν δὲ θησαυρὸν αὐτοῦ μεταφέρει εἰς τὰ ταμιεῖα τὰ βασιλικά· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν, ἔδησε τὸν λήσταρχον καὶ τὸν δεσμοφύλακα διάβολον καὶ τὸν θάνατον· καὶ τὸν πλοῦτον αὐτῶν, ἁπάντων ἀνθρώπων τὸ γένος μετήγαγεν εἰς τὰ ταμιεῖα τὰ δεσποτικά. Διὰ τοῦτο καὶ Παῦλος βοᾷ λέγων· «Ὅτι ἐλυτρώσατο ἡμᾶς ἐκ τοῦ σκότους καὶ μετήγαγεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ.[2]»

In eodem codice p. 150.

Καὶ τὸ ἐν Πατρὶ τὸν Υἱόν, καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ, τοῦτό ἐστι τὸ Υἱὸν εἶναι Θεοῦ, τὸν ἐκ τοῦ Θεοῦ γεγεννημένον, Θεὸν ὄντα κατὰ τὴν φύσιν, ὥσπερ ὁ Πατήρ, καὶ δεικνύντα τὸ πατρῷον εἶδος ἐν ἑαυτῷ, καὶ δεικνύμενον ἐπὶ τῆς πατρικῆς ὑποστάσεως. Εἷς οὖν καὶ εἷς, καὶ ἡ δυὰς οὐ μεμέρισται τῇ φύσει ἀνενδεὴς οὖσα τῇ τελειότητι· ὅλον μὲν τὸ πλήρωμα τῆς θεότητος ὁ Πατὴρ ὡς πατήρ· ὅλον δὲ τὸ πλήρωμα τῆς θεότητος ὁ Υἱὸς ὡς υἱός. Ἐπειδὴ δι' ἀμφοτέρων ἓν εἶδος νοεῖται, ὁλοκλήρως ἐν ἀμφοτέροις δεικνύμενον. Ἐρωτᾷς δὲ πῶς οὗτος ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ· ὅτι καὶ οὗτος τοιοῦτός ἐστιν, οἷος κἀκεῖνος, κἀκεῖνος, οἷος οὗτος. Οὕτως καὶ ἓν τὰ δύο, τὸ μὴ διαλλάττειν, μηδὲ ἀπεσχοινίσθαι, μηδὲ καθ' ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοεῖσθαι τὸν Υἱόν· ἀλλ' εἶναι Θεὸν ὥσπερ καὶ ὁ Πατήρ.

1. Σοφ. Σειρ. 38, 9. 2. Κολ. 1, 13.

Codex Reg. 1993. ex sæculi x membr. optimæ notæ, p. 39.

Οὕτω καὶ παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν 'Αδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ, δι' ἧς τὸ τῶν ἀνθρώπων αὐξῆσαι γένος. Καὶ πῶς ἄν, φησίν, αἱ τοσαῦται μυριάδες τῶν ἀνθρώπων ἐγένοντο; 'Εγὼ δέ σε πάλιν ἐρωτῶ, ἐπειδή σε σφόδρα παρέμεινε κατασείων οὗτος ὁ φόβος, πῶς ὁ 'Αδάμ, πῶς δὲ ἡ Εὔα, μὴ μεσιτεύοντος γάμου;

Ex codice Reg. 2441, xi sæculi, fol. 298 verso: est Catena in Joannem.

Οὗτοι δέ εἰσιν οἱ περὶ τῆς ταφῆς τοῦ 'Αδὰμ εἰρηκότες, 'Αφρικανὸς καὶ ὁ ἅγιος 'Αθανάσιος.

In eodem codice ad Catenam in Danielem, in hæc verba, καὶ τὰ σαραβάρα αὐτῶν οὐκ ἠλλοιώθη καὶ ὀσμὴ πυρὸς οὐκ ἦν αὐτοῖς hæc Alhanasii nomine lequntur.

Μηδὲ ἐν τοῖς ἡμετέροις ἐνδύμασι γενέσθω ὀσμὴ πρὸς τὸν Ναβουχοδονόσορ, οἵτινες φθαρτοὶ λογισμοί εἰσι τοῦ διαβόλου οἱ κατασβεννύμενοι.

Ex codice Reg. 1994, xiv sæc., bombycino: est pandectes.

Τοῦ ἁγίου 'Αθανασίου 'Αλεξανδρείας.

Πᾶς ἄνθρωπος, τὸ διακρίνειν παρὰ Θεοῦ εἰληφώς, κολασθήσεται, ἐξακολουθήσας ἀπείρῳ ποιμένι, καὶ ψευδῆ δόξαν ὡς ἀληθῆ δεξάμενος· «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; [1]»

Fol. 48, cod. 2398.

Τοῦ ἁγίου 'Αθανασίου.

Ταῖς πολλαῖς, ὡς εἰπεῖν, χερσίν, ὧν αὐτὸς ἐτήρει τὰ ἱμάτια, Στέφανον λιθάσαι.

Fol. 98.

In illud, «Καὶ λαβὼν περιέτεμεν αὐτόν.[2]»

Ἵν' οὖν μὴ κωλύηται εἰς συναγωγὰς παραβάλλειν, διὰ τὸ ἀπερίτμητον εἶναι τὸν Τιμόθεον, οὕτως συμπαρεῖναι τοῦτ' ᾠκονόμησεν· οὐχὶ δὲ καὶ ἐδογμάτισεν.

Ex codice Reg. 2919, x sæculi, membr.

Ὅτι παντοίοις σχήμασι λέγει καλλωπίζεσθαι τὴν βίβλον τῶν Ψαλμῶν ὁ μέγας 'Αθανάσιος, ὑπερβατοῖς, ὑπερθέσεσιν, ἀποστροφαῖς,

1. Β' Κορ. 6, 14. 2. Πράξ. 16, 3.

ἐκλείψεσι, παραβολαῖς, μεταφοραῖς, ἐμφάσεσι, προσωποποιΐας.

Ὅτι ὁ μέγας Ἀθανάσιος τὸ διάψαλμα διὰ τὰς ἐναλλαγάς φησι προκεῖσθαι τῶν ῥυθμῶν, οὐχὶ δὲ διὰ τὴν ὑποχώρησιν τοῦ ἁγίου Πνεύματος, ὥς τινες ἐφαντάσθησαν.

Ex codice Legio 2280, bombyc., xiv sæc., fol. 13.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ἀεὶ ὄντα Θεὸν Πατέρα· καὶ εἰς τὸν Λόγον Θεόν, τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, ὅτι συνυπάρχει τῷ Πατρὶ τῷ ἰδίῳ, καὶ ὅτι ἐκ τῆς οὐσίας τοῦ Θεοῦ τοῦ Πατρός ἐστιν ὁ Υἱός· καὶ ὅτι εἷς ὁ Υἱὸς τοῦ ἰδίου Πατρὸς τυγχάνει, καὶ ὅτι ἰσότιμός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ· ὅτι τε κατὰ πάντων τὸ κράτος καὶ τὸ κῦρος ἔχει ὁ τοῦ Θεοῦ Υἱός, καὶ ὅτι σὺν τῷ Πατρὶ αὐτοῦ πάρεστι πανταχοῦ τῇ θεότητι, καὶ ὅτι πάντα περιέχει τῇ οὐσίᾳ αὐτοῦ, καὶ ὅτι οὐ περιέχεται ὑπ' οὐδενὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καθάπερ ὁ Θεὸς ὁ Πατὴρ αὐτοῦ· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι τῆς τοῦ Πατρός ἐστιν οὐσίας καὶ συναΐδιον τῷ Πατρὶ καὶ Υἱῷ τυγχάνει τὸ ἅγιον Πνεῦμα, καὶ οὐ κεχώρισται τῇ θεότητι. Τὸν Λόγον φημὶ ἐν σαρκὶ γεγονέναι.

Τοῦ αὐτοῦ.

Ἡ μέντοι Τριάς, καὶ λαβόντος σῶμα ἐκ Μαρίας τοῦ Λόγου, Τριάς ἐστιν, οὐ δεχομένη προσθήκην, οὐδὲ ἀφαίρεσιν· ἀλλὰ ἀεὶ τελεία ἐστί. Καὶ ἐν Τριάδι μία θεότης ἐπιγινώσκεται.

In eod. cod., fol. 61.

Βέλτιον ἀποροῦντας σιωπᾶν καὶ πιστεύειν, ἢ ἀπιστεῖν διὰ τὸ ἀπορεῖν.

ΑΛΛΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

MAI, Bibliotheca nova Patrum, II, 583 seq.

I.

Τοῦ ἁγίου Ἀθανασίου κατὰ τῶν συμμεταβαλλομένων τοῖς καιροῖς ἐν τοῖς δόγμασι.

Τίς οὖν ἔτι τούτους Χριστιανοὺς ἡγήσεται, παρ' οἷς οὐ λόγος, οὐ γράμμα βέβαιον, ἀλλὰ πάντα κατὰ καιροὺς ἀλλάσσεται;

II.

Ἀθανασίου ἐπισκόπου, ἐκ τοῦ εἰς τό, «Ὁ Λόγος σὰρξ ἐγένετο.»

Καὶ ὥσπερ πτύσαντος αὐτοῦ, καὶ ἐκτείναντος χεῖρα, καὶ φωνήσαντος Λάζαρον, οὐκ ἐλέγομεν ἀνθρώπινα εἶναι τὰ κατορθώματα, εἰ καὶ διὰ τοῦ σώματος ἐγένοντο, ἀλλὰ Θεοῦ· οὕτως ἐὰν τὰ ἀνθρώπινα λέγηται περὶ τοῦ Σωτῆρος ἐν τῷ Εὐαγγελίῳ, πάλιν εἰς τὴν φύσιν τῶν λεγομένων ὁρῶντες, καὶ ὡς ἀλλότρια Θεοῦ πάντα τυγχάνοντα, μὴ τῇ

θεότητι τοῦ Λόγου ταῦτα λογισώμεθα, ἀλλὰ τῇ ἀνθρωπότητι αὐτοῦ· εἰ γὰρ καὶ ὁ Λόγος σὰρξ ἐγένετο, ἀλλὰ τῆς σαρκὸς ἴδια τὰ πάθη.

III.

Ἀγνοοῦσι δὲ οἱ ἄφρονες, ὅτι τοῖς τῶν ἁγίων ἐντετύχηκε συγγράμμασι καὶ τοιαῦτα γέγραφε καὶ μαρτυρεῖ ὁ πολὺς τῷ πνεύματι Ἀθανάσιος, τοιαῦτα εἰπὼν ἐν τῷ, Ὁ Λόγος ἐγένετο· «Ταῦτα ἀναγκαίως προεξητάσαμεν· ἵνα ἐὰν ἴδωμεν αὐτὸν δι' ὀργάνου ἰδίου σώματος θεϊκῶς πράττοντα ἢ λέγοντα τινά, γινώσκομεν ὅτι Θεὸς ὢν ταῦτα ἐργάζεται· καὶ πάλιν ἐὰν ἴδωμεν αὐτὸν δι' ὀργάνου τοῦ ἰδίου σώματος ἀνθρωπίνως λαλοῦντα ἢ πάσχοντα, μὴ ἀγνοῶμεν αὐτόν, ὅτι σαρκοφόρος γέγονεν ἄνθρωπος· καὶ οὕτω ταῦτα καὶ ποιεῖ καὶ λέγει· καὶ ἑκάστου γὰρ τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα ἐξ ἑνὸς πραττόμενα βλέποντες καὶ νοοῦντες, ὀρθῶς πιστεύομεν καὶ οὔποτε πλανηθείημεν.»

IV.

Ἀθανασίου. Θεὸς καὶ ἄνθρωπος ὁ αὐτός, εἷς ὢν καθ' ὕπαρξιν ἀνελλιπῆ τὰ ἑκάτερα.

V.

Ἀθανασίου ἐν τῇ ἐξηγήσει τοῦ, «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι.» = Ἀναισχυντία σαφῶς τὸ μὴ διχῶς νοεῖν τὸν Χριστὸν θεϊκῶς τε καὶ ἀνθρωπίνως.

VI.

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ λόγου εἰς τό, «Κύριος ἔκτισέ με», καὶ κατὰ Ἀρειανῶν.

Καὶ γοῦν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἐκτενῶς προσεύχεται, καὶ τὸ γόνυ κλίνει, λέγων· Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν· ἴδιον αὐτοῦ θέλημα λέγων τὸ τῆς σαρκός· ὅτι περ καὶ αὐτὴν τὴν ἡμετέραν σάρκα ἐν ἑαυτῷ οἰκειώσατο.

VII.

Τοῦ μεγάλου Ἀθανασίου ἐν τῷ εἰς τοὺς βαπτιζομένους λόγῳ.

Ὄψει τοὺς Λευΐτας φέροντας ἄρτους, καὶ ποτήριον οἴνου, καὶ τιθέντας ἐπὶ τὴν τράπεζαν· καὶ ὅσον οὔπω ἱκεσίαι καὶ δεήσεις γίνονται, ψιλός ἐστιν ὁ ἄρτος καὶ τὸ ποτήριον· ἐπὰν δὲ ἐπιτελεσθῶσιν αἱ μεγάλαι καὶ θαυμασταὶ εὐχαί, τότε γίνεται ὁ ἄρτος, σῶμα· καὶ τὸ ποτήριον, αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν· Ἔλθωμεν ἐπὶ τὴν τελείωσιν τῶν μυστηρίων· οὗτος ὁ ἄρτος καὶ τοῦτο τὸ ποτήριον, ὅσον οὔπω εὐχαὶ καὶ ἱκεσίαι γεγόνασι. ψιλά εἰσιν· ἐπὰν δὲ αἱ μεγάλαι εὐχαί, καὶ αἱ ἅγιαι ἱκεσίαι ἀναπεμφθῶσι, καταβαίνει ὁ Λόγος εἰς τὸν ἄρτον καὶ τὸ ποτήριον, καὶ γίνεται αὐτοῦ σῶμα.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ, ΠΕΡΙ ΤΩΝ ΑΖΥΜΩΝ

Ἐν τρισὶν ὕλαις ἐτέλουν οἱ Ἰουδαῖοι τὸ Πάσχα καὶ ἐν τρισὶν ἀρεταῖς· καὶ ἐν τρισὶ μάρτυσι κατὰ τὴν τάξιν τοῦ Νόμου. Καὶ αἱ μὲν τρεῖς ὕλαι ὁ ἀμνὸς ἦσαν, τὰ ἄζυμα καὶ ἡ πικραλίς· αἱ δὲ τρεῖς ἀρεταί, περιεζωσμένοι, καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ βακτηρίαν ἐν ταῖς χερσίν. Οἱ δὲ τρεῖς μάρτυρες, γραμματεῖς ἐπὶ τῇ τραπέζῃ ἑστῶτες, καὶ ἀκριβῶς γινώσκοντες τὴν τῆς σελήνης ἀπόχυσιν, διὰ ποτηρίου τινὸς σαλευομένου καὶ σημαινομένου· σαλπίζοντος εὐθὺς τοῦ ἱερέως ὅτι Πάσχα ἐστὶ Κυρίου καὶ λοιπὸν μετὰ τὸ ἄκουσμα τῆς φωνῆς τῆς σάλπιγγος, ἐποίουν τὴν ζύμην ἄνευ ἄρτου ἡμέρας ζ'. Πρὸ δὲ τοῦ σημείου τοῦ ποτηρίου καὶ τῆς σάλπιγγος, οὐκ εἶχον ἐξουσίαν ἑτοιμάσαι ἡμέρας ἑπτὰ ἀμνόν, ἢ ἄζυμον, ἢ πικρίδα· οὕτω γάρ φησι καὶ ὁ μέγας Δαυΐδ· «Σαλπίσατε ἐν Νεομηνίᾳ σάλπιγγι.[1]» Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῇ ε' ἡμέρᾳ ἐποίησε τὴν παράδοσιν τῶν ἁγίων μυστηρίων ὥρᾳ τῆς νυκτὸς ζ'· ἡ δὲ εἴσοδος τῶν ἀζυμοφάγων ἐγένετο Παρασκευῇ ἑσπέρας μετὰ τὸ ταφῆναι τὸν Κύριον. Διὰ τοῦτο οἱ δ' εὐαγγελισταὶ ἄρτον τέλειον λέγουσι παραδοῦναι τὸν Κύριον ἐν τοῖς ἁγίοις μυστηρίοις καὶ οὐκ ἄζυμον· ἵνα πιστώσηται ὅτι τέλειον σῶμα ἐκ τῆς ἁγίας Παρθένου· λέγω δὲ ἔμψυχον καὶ ἔννουν· καὶ οὐ καθάπερ ὁ αἱρετικὸς Ἀπολλινάριος ἔλεγεν, ὅτι σῶμα μόνον ἀνελάβετο· ἀλλ' ἡμεῖς ἄρτον τελειούμενόν φαμεν τὸν δι' ἀλεύρου καὶ ζύμης καὶ ἅλατος συνεστηκότα· καθάπερ σώματι ὁ πνευματικός, καὶ νοΐ· σῶμα γάρ, χωρὶς πνοῆς, νεκρόν ἐστι· καὶ τὸ ἄζυμον μόνον μὴ ἔχον ζύμην νεκρόν ἐστι καὶ οὐ ζωτικὸς ἄρτος· ἐπειδὴ ἡ ζύμη ζωὴν δίδωσι τῷ φυράματι καὶ ἕνωσιν καθάπερ τὸ πνεῦμα τῷ σώματι, καὶ τὸ ἅλας τῷ νῷ· καὶ διὰ τοῦτο τελοῦμεν τὸ μυστήριον δι' ἄρτου τελειουμένου, ἵνα μὴ τῇ βλασφημίᾳ τοῦ ἀσεβοῦς Ἀπολλιναρίου περιπέσωμεν. Γίνεται δὲ ἡ τοῦ φέγγους ἀπόχυσις, ἐν ἡμέραις τέσσαρσι καὶ δέκα ἥμισυ καὶ ὥραις τρισίν· εἰς δὲ τὸ πάθος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπερέβην ἕκτην καὶ δεκάτην ἡμέραν· ἵνα μαρτυρήσῃ ὅτι ἀληθινός ἐστι καὶ ζωὴ αἰώνιος. Ἰστέον οὖν ὡς αἰῶνι τοῦ Χριστοῦ καὶ τῶν ἁγίων ἀποστόλων αὐτοῦ τὴν σεμίδαλιν τῶν Ἀζύμων ἐσθίειν ἢ προσφέρειν οὐδεμία παρέλαβεν Ἐκκλησία· ἐπεὶ δὲ οὔτε ὁ Χριστὸς αὐτὸς κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ τὸ νομικὸν ἔφαγε Πάσχα, ἄκουε Ἰωάννου τοῦ εὐαγγελιστοῦ λέγοντος· Πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα.... καὶ δείπνου γενομένου τοῦ Διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου ἵνα αὐτὸν παραδῷ· καὶ ὅτε, φησίν, ἐγένετο ἡ ὥρα, τουτέστιν ὅτε παρέστη ὁ καιρὸς τοῦ προδοῦναι αὐτόν, ἀνέπεσαν καὶ οἱ δώδεκα ἀπόστολοι σὺν

1. Ψαλμ. 80, 4.

αὐτῷ· καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν. Ὁρᾷς, Πρὸ τοῦ με παθεῖν φησίν· ἐπεὶ οὖν ἔδει παθεῖν αὐτὸν κατὰ τὴν ἡμέραν τοῦ Πάσχα τοῦ νομικοῦ καθ' ἣν καὶ ὁ ἀμνὸς παρὰ τῶν Ἰουδαίων ἐθύετο, ἔμελλε δὲ γενέσθαι τὸ πάθος παρὰ τῶν θεοκτόνων Παρασκευῇ ἡμέρᾳ, ὡς αὖθίς φησιν ὁ Ἰωάννης· Ἐπεὶ Παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡμέρα ἐκείνη τοῦ Σαββάτου ἐν ᾗ τηνικαῦτα καὶ ἡ τεσσαρεσκαιδεκάτη τῆς σελήνης, κατὰ τὸν πρῶτον μῆνα, ἐν τῷ πεντακοσιοστῷ τριακοστῷ ἔτει ἐκπεσεῖν ἔτυχεν, ἵνα μὴ παραδοθεὶς οὐ φθάσῃ τὸ οἰκεῖον Πάσχα τοῖς μαθηταῖς παραδοῦναι, ἐν τῷ δείπνῳ ἀναπεσὼν ὀψέ, καὶ βραδὺ περὶ τὴν νύκτα κατὰ τὴν ὀψίαν, δηλονότι τῆς ε', ἔφαγε μέν, ἀλλὰ τὸ οἰκεῖον Πάσχα πρὸ τῆς ἑορτῆς τῶν Ἀζύμων· καὶ τοῦτο δῆλον ἐκ τοῦ ἀναπεσεῖν αὐτόν· οὐδὲ γὰρ νενομοθετημένον· ἐπειδὴ ἱσταμένους καὶ περιεζωσμένους καὶ ὑποδεδεμένους ἐσθίειν τὸ Πάσχα μετὰ σπουδῆς, καὶ ἐπὶ χεῖρας τὴν βακτηρίαν ἔχοντας τοῖς Ἰουδαίοις ὁ νόμος ἐκέλευε· κατέπαυσε μὲν τοῖς χρόνοις τοῦ οἰκείου κηρύγματος τὸ Πάσχα τὸ νομικόν, παρέδωκε δὲ τὸ οἰκεῖον διὰ τοῦ δείπνου· διὸ μετὰ τὸ δειπνῆσαι, λαβὼν ἄρτον, καὶ κλάσας, παρέδωκε τοῖς ἀποστόλοις τὸ μυστήριον τῆς Καινῆς Διαθήκης αὐτοῦ καὶ Λειτουργίας· ἐν τῇ νυκτὶ δηλονότι τῆς ε', ἐν ᾗ παρεδόθη. Ἰστέον δ' ὅτι καθ' ἣν ὥραν ἐσταύρωσαν οἱ θεοκτόνοι τὸν Κύριον τῆς δόξης, κατ' αὐτὴν καὶ τὸν ἀμνὸν θύσαντες, ἔφαγον τὸ Πάσχα τὸ νομικόν· καὶ τοῦτο δῆλον ἐκ τοῦ εἰπεῖν τὸν εὐαγγελιστὴν Ἰωάννην· ὅτι αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ Πραιτώριον ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα· ὥστε ἐν ἡμέρᾳ μιᾷ μετὰ τοῦ ἀμνοῦ ἐτύθη ὁ Χριστός· ἀλλὰ τί φησιν ὁ Λουκᾶς; ἄρτον εἶπεν λαβεῖν τὸν Χριστὸν καὶ οὐκ ἄζυμον· οὐ γὰρ ἔτι ἦν, πέμπτης οὔσης τηνικαῦτα ἡμέρας· τρισκαιδεκάτη ἦν ἔτι ἡ σελήνη καὶ οὐκ ἦσαν ἄζυμα, διὰ τὸ μήπω γενέσθαι· τῇ ιε' γὰρ τῆς σελήνης ἦν νενομοθετημένον ἐσθίειν τὰ ἄζυμα· τῇ δὲ ιδ' τὸν ἀμνὸν καὶ μόνον θύεσθαι· διὸ καὶ τῇ μὲν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης Πάσχα προσαγορεύει ὁ νόμος· τῇ δὲ ιε' πρῶτον Σάββατον ὀνομάζει· εἰ οὖν ὁ Χριστὸς ἐτύθη κατὰ τὴν ιδ' τῆς σελήνης κατὰ τὴν ἡμέραν τῆς Παρασκευῆς, τὸ δὲ Σάββατον ἦν τῶν Ἀζύμων ἑορτή, πότε τὰ ἄζυμα ἔφαγε; καὶ πότε τοῖς ἀποστόλοις ταῦτα ἐν τῇ Καινῇ Διαθήκῃ παρέδωκεν; ὅτι λέγουσιν οἱ μιμηταὶ τῶν Ἰουδαίων, ὅτι τὰ ἄζυμα παρὰ τῶν ἀποστόλων ποιεῖν παρελάβομεν· οὐδὲ γὰρ τὸ Πάσχα τὸ νομικὸν κατὰ τὸν χρόνον ἐκεῖνον φαγεῖν ἔφθασεν ὁ Χριστός· ὅτι δὲ οὕτως ἔχει τὸ ἀληθές, πρὸς πίστωσιν τῶν εἰρημένων, ἄκουσον καὶ τῆς νομοθεσίας Μωϋσέως ᾗ περὶ τοῦ Πάσχα καὶ τῶν Ἀζύμων νενομοθέτηκεν· «Αὗται», φησίν, «αἱ ἑορταὶ τῷ Κυρίῳ κληταὶ ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν. Ἐν τῷ α' μηνὶ ἐν τῇ ιδ' ἡμέρᾳ τοῦ μηνός, ἀναμέσον τῶν ἑσπερινῶν, Πάσχα τῷ Κυρίῳ. Καὶ ἐν τῇ ιε' ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν Ἀζύμων τῷ Κυρίῳ· ἑπτὰ ἡμέρας

ἄζυμα ἔδεσθε.[1]» Ἰδοὺ μανθάνεις καὶ ἐκ τῆς νομοθεσίας Μωϋσέως, ὅτι οὐκ ἦν τὰ ἄζυμα· καὶ γὰρ μετὰ τὸ δειπνῆσαι κατὰ τὴν ἡμέραν τὴν ε΄ παρέδωκεν ὁ Χριστὸς διὰ τῆς τοῦ ἄρτου κλάσεως τὸ τῆς Καινῆς Διαθήκης μυστήριον· ἐπειδὴ ἄζυμα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἦσαν...

1. Λευϊτ. 23, 4-6.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΕΡΙ ΤΗΣ ΕΝΣΑΡΚΟΥ ΕΠΙΦΑΝΕΙΑΣ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ, ΚΑΙ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ *

1. Οἱ κακοτέχνως τὰς θείας Γραφὰς βουλόμενοι νοεῖν, τὰ ἀνθρώπινα ῥήματα τῆς πτωχείας τοῦ Υἱοῦ τοῦ Θεοῦ παράγειν βούλονται πρὸς τὸ συστῆσαι τὴν ἑαυτῶν βλασφημίαν. Πᾶσα δὲ ἀκρίβεια τοῦ Χριστιανισμοῦ ἐν τοῖς εὐτελέσι ῥήμασι καὶ πράγμασιν εὑρίσκεται. Εἰ οὖν ἠδύναντο ἀκούειν τοῦ μακαρίου, Παύλου γράφοντος πρὸς Κορινθίους· «Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν·[1]» οὐκ ἄν ποτε ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐτόλμησαν εἰπεῖν· εἴπερ ἔγνωσαν, τίς ὁ τρόπος τῆς πτωχείας αὐτοῦ, καὶ τίς ἡ δύναμις τοῦ σταυροῦ αὐτοῦ. Ὅθεν καὶ ἀλλαχοῦ λέγει ὁ αὐτὸς Παῦλος. «Ἵνα ἐξισχύσητε καταλαβεῖν σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν ἀγάπην τῆς γνώσεως τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ.[2]» Διὰ τοῦτο ἐγγράφως ἐν τῇ πτωχείᾳ αὐτοῦ καὶ τοῖς παθήμασι παρρησιάζεται λέγων· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ·[3]» καὶ πάλιν· «Οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον·[4]» καί· «Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.[5]» Καὶ νῦν οὗτοι, εἰ ἔγνωσαν τὰς θείας Γραφάς, οὐκ ἂν τὸν Κτίστην τῶν ἁπάντων κτίσμα ἢ δημιούργημα βλασφημῆσαι ἐτόλμησαν. Παράγουσι γὰρ ἡμῖν, λέγοντες· Πῶς δύναται ὅμοιος, ἢ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας εἶναι, ὁπότε γέγραπται· «Ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ;[6]» ὑπεροχή ἐστι, φησί, τοῦ διδόντος παρὰ τὸν λαμβάνοντα· καί, «Τί με λέγεις ἀγαθόν; φησίν· οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός·[7]» καὶ πάλιν· «Θεέ μου, Θεέ μου, ἵνα τί μὲ ἐγκατέλιπες;[8]» καὶ αὖθις· «Περὶ τῆς ἡμέρας τῆς ἐσχάτης οὐδεὶς οἶδεν, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ·[9]» καὶ πάλιν· «Ὃν ὁ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 25, σ. 984.

1. Β' Κορ. 8, 9. 2. Ἐφ. 3, 18-19. 3. Γαλ. 6, 14. 4. Α' Κορ. 2, 2. 5. Α' Κορ. 2, 8. 6. Ἰω. 5, 26. 7. Μάρκ. 10, 18. 8. Ματθ. 27, 46. 9. Μάρκ. 13, 32.

Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον·[1]» καὶ πάλιν· «Ὃν ὁ Πατὴρ ἤγειρεν ἐκ νεκρῶν.[2]» Πῶς οὖν, φασὶν ὅμοιος εἶναι δύναται ἢ ὁμοούσιος ὁ ἐγειρόμενος ἐκ νεκρῶν τῷ ἐγείροντι αὐτόν;

2. Ταῦτα δὲ ἀπὸ πολλῶν ὀλίγα παρεθέμεθα, ὅπως, τούτων λυθέντων, καὶ τὰ λοιπὰ εὐχερῶς νοηθῇ. Ὀφείλομεν οὖν ἡμεῖς κατὰ τὸ δυνατὸν τὴν δύναμιν αὐτῶν ἐξηγήσασθαι. Ὅταν οὖν λέγει ὁ μακάριος Παῦλος, «Ὁ πατὴρ ἤγειρε τὸν Υἱὸν αὐτοῦ ἐκ νεκρῶν», Ἰωάννης ἡμῖν διηγεῖται, ὅτι ἔλεγεν ὁ Ἰησοῦς· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[3]» Ἔλεγε δέ, φησί, περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.[4] Δῆλον οὖν ἐστι τοῖς προσέχουσιν, ὅτι, τοῦ σώματος ἐγειρομένου, ὁ Υἱὸς λέγεται παρὰ τῷ Παύλῳ ἐγηγέρθαι ἐκ νεκρῶν· τὰ γὰρ τοῦ σώματος αὐτοῦ εἰς τὸ αὐτοῦ πρόσωπον λέγεται. Οὕτως οὖν καὶ ὅταν λέγῃ, Ζωὴν ἔδωκεν ὁ Πατὴρ τῷ Υἱῷ, τῇ σαρκὶ δεδομένην τὴν ζωὴν νοητέον. Εἰ γὰρ αὐτός ἐστιν ἡ ζωή, πῶς ἡ ζωὴ ζωὴν λαμβάνει; Καὶ εἰ αὐτὸς ἐπαγγέλλεται λέγων· «Τὰ πρόβατά μου τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα·[5]» καὶ εἰ αὐτός ἐστιν ἡ σοφία τοῦ Θεοῦ, καὶ εἰ αὐτὸς ἐποίησε πᾶσαν ἡλικίαν, πῶς λέγεται· «Προέκοπτε δὲ Ἰησοῦς σοφίᾳ καὶ ἡλικίᾳ;[6]» Καὶ εἰ ὁ Πατὴρ διὰ τοῦ ἰδίου Λόγου καὶ Υἱοῦ τὰ πάντα ἐποίησε, δῆλον, ὅτι καὶ τὴν ἔγερσιν τῆς σαρκὸς αὐτοῦ δι' αὐτοῦ αὐτῷ ζωὴν δίδωσιν. Ἐγείρεται μὲν κατὰ σάρκα ὡς ἄνθρωπος, καὶ λαμβάνει ζωὴν ὡς ἄνθρωπος, ἐν σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Καὶ αὐτὸς δέ ἐστιν ὁ ἐγείρων τὸν ἴδιον ναόν, ὡς Θεός, καὶ διδοὺς ζωὴν τῇ ἰδίᾳ σαρκί. Ὅταν οὖν πάλιν λέγῃ, «Ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον[7]», ἀλλαχοῦ φησιν· «Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ·[8]» καὶ ὅταν λέγῃ· «Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;[9]» ἐκ προσώπου ἡμετέρου λέγει· «διότι μορφὴν δούλου λαβών, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ[10]», καὶ τὰ ἑξῆς. Καὶ καθὼς λέγει Ἡσαΐας· «Αὐτὸς τὰς μαλακίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται;[11]» ὥστε οὐχ ὑπὲρ ἑαυτοῦ ὀδυνᾶται, ἀλλ' ὑπὲρ ἡμῶν· καὶ οὐκ αὐτὸς ἐγκατελείφθη ὑπὸ τοῦ Θεοῦ, ἀλλ' ἡμεῖς, καὶ δι' ἡμᾶς τοὺς ἐγκαταλειφθέντας παρεγένετο εἰς τὸν κόσμον. Καὶ ὅτε λέγει· «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα[12]», περὶ τοῦ ναοῦ λέγει, ὅ ἐστι τὸ σῶμα αὐτοῦ.

3. Οὐ γὰρ ὁ Ὕψιστος ὑψοῦται, ἀλλ' ἡ σὰρξ τοῦ Ὑψίστου ὑψοῦται· καὶ τῇ σαρκὶ τοῦ Ὑψίστου ἐχαρίσατο ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

---

1. Ἰω. 10, 36. 2. Γαλ. 1, 1. 3. Ἰω. 2, 19. 4. Ἰω. 2, 21. 5. Ἰω. 10, 27-28. 6. Λουκ. 2, 52. 7. Ἰω. 10, 36. 8. Ἰω. 17, 19. 9. Ματθ. 27, 46. 10. Φιλιπ. 2, 6-7. 11. Ἡσ. 53, 4. 12. Φιλιπ. 2, 9.

Καὶ οὐχ ὁ Λόγος τοῦ Θεοῦ κατὰ χάριν ἔλαβε τὸ καλεῖσθαι Θεός, ἀλλ' ἡ σὰρξ αὐτοῦ σὺν αὐτῷ ἐθεολογήθη. Οὐ γὰρ εἶπεν, ὅτι ὁ Λόγος Θεὸς γέγονεν, ἀλλά, «Θεὸς ἦν ὁ Λόγος.[1]» Ἀεὶ ἦν, φησίν, ὁ Θεὸς Λόγος, καὶ οὗτος αὐτὸς ὁ Θεὸς γέγονε σάρξ, ἵνα ἡ σὰρξ αὐτοῦ γένηται Θεὸς Λόγος· καθὼς καὶ ὁ Θωμᾶς, ψηλαφήσας τὴν σάρκα αὐτοῦ, ἀνεβόησεν· «Ὁ Κύριός μου, καὶ ὁ Θεός μου[2]», τὸ συναμφότερον θεολογῶν· ὁμοίως δὲ καὶ ὁ Ἰωάννης ἔγραψεν· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες, ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς.[3]» Φανερὸν οὖν ἐστιν, ὅτι ἐν σαρκὶ ὁ Υἱὸς καὶ Λόγος τοῦ Πατρὸς ἐψηλαφήθη, καὶ τὸ συναμφότερον, Λόγον ζωῆς, ἡ θεία Γραφὴ παραδέδωκε ψηλαφηθέντα. Καὶ ὅτε λέγει· «Οὔπω ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη[4]», τὴν σάρκα αὐτοῦ λέγει μήπω δοξασθεῖσαν. Οὐ γὰρ ὁ Κύριος τῆς δόξης δοξάζεται, ἀλλ' ἡ σὰρξ τοῦ Κυρίου τῆς δόξης· αὕτη λαμβάνει δόξαν συναναβαίνουσα αὐτῷ εἰς οὐρανόν. Ὅθεν καὶ Πνεῦμα υἱοθεσίας οὔπω ἦν ἐν ἀνθρώποις, διότι ἡ ληφθεῖσα ἀπαρχὴ ἐξ ἡμῶν οὔπω ἦν ἀνελθοῦσα εἰς οὐρανόν.

4. Ὅσα οὖν λέγει ἡ Γραφή, ὅτι ἔλαβε ὁ Υἱός, καὶ ἐδοξάσθη ὁ Υἱὸς διὰ τὴν ἀνθρωπότητα αὐτοῦ λέγει, οὐ διὰ τὴν θεότητα. Καὶ ὅτε λέγει, «Ὁ πατήρ μου, ὁ πέμψας με, μείζων μου ἐστίν[5]», ἐπεὶ ἄνθρωπος γέγονε, μείζω αὐτοῦ λέγει τὸν Πατέρα. Λόγος δὲ ὢν τοῦ Πατρὸς ἴσος αὐτοῦ ἐστίν. «Ἐγὼ γάρ», φησί, «καὶ ὁ Πατὴρ ἕν ἐσμεν·[6]» καὶ «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.[7]» Καὶ οὐκ ἀπὸ ἁρπαγῆς ἔχει τὸ εἶναι αὐτὸν ἴσον τῷ Πατρί, ἀλλὰ κατὰ φύσιν ἴσος ἐστὶ καὶ ὁμοούσιος τῷ Πατρί· διότι ἐκ τῆς πατρικῆς οὐσίας γεγένηται. Καὶ ὅτε λέγει ὁ Ἀπόστολος, «Ὅτι ἐν Χριστῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς[8]», ἐν τῇ σαρκὶ αὐτοῦ κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος νοητέον. Καὶ ὅτε λέγει, «Ὅς γε τοῦ ἰδίου Υἱοῦ, οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν[9]», ἀλλαχοῦ λέγει· «Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς.[10]»

5. Οὐ γὰρ ἑαυτὸν ἦλθε σῶσαι ὁ ἀθάνατος Θεός, ἀλλὰ τοὺς θανατωθέντας· καὶ οὐχ ὑπὲρ ἑαυτοῦ ἔπαθεν, ἀλλ' ὑπὲρ ἡμῶν· ὥστε διὰ τοῦτο τὴν εὐτέλειαν ἡμῶν καὶ τὴν πτωχείαν ἀνεδέξατο, ἵνα ἡμῖν τὸν πλοῦτον αὐτοῦ χαρίσηται. Τὸ γὰρ πάθος αὐτοῦ, ἡμῶν ἀπάθειά ἐστι· καὶ ὁ θάνατος αὐτοῦ, ἡμῶν ἀθανασία ἐστί· καὶ τὸ δάκρυον αὐτοῦ, χαρὰ ἡμετέρα· καὶ ἡ ταφὴ αὐτοῦ, ἡμῶν ἀνάστασις· καὶ τὸ βάπτισμα αὐτοῦ, ἡμῶν ἁγιασμός· «Ὑπὲρ αὐτῶν γάρ», φησίν, «ἁγιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ.[11]» Καὶ ὁ μώλωψ αὐτοῦ, ἡμῶν

1. Ἰω. 1, 1. 2. Ἰω. 20, 28. 3. Α' Ἰω. 1, 1. 4. Ἰω. 7, 39. 5. Ἰω. 14, 28. 6. Ἰω. 10, 30. 7. Ἰω. 14, 9. 8. Κολ. 2, 9. 9. Ῥωμ. 8, 32. 10. Ἐφ. 5, 25. 11. Ἰω. 17, 19.

ἴασις· «Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.[1]» Καὶ ἡ παιδεία αὐτοῦ, ἡμῶν εἰρήνη· «Παιδεία γὰρ εἰρήνης ἡμῶν ἐπ' αὐτόν·[2]» τουτέστιν, ἕνεκεν τῆς ἡμῶν εἰρήνης αὐτὸς παιδεύεται· καὶ ἡ ἀδοξία αὐτοῦ, ἡμῶν δόξα· ὅθεν αἰτεῖ τὴν δόξαν δι' ἡμᾶς, λέγων· «Δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.[3]» Ἡμεῖς γάρ ἐσμεν οἱ ἐν αὐτῷ δοξαζόμενοι· καὶ ἡ κάθοδος αὐτοῦ ἡμῶν ἐστιν ἄνοδος, κατὰ τὸ γεγραμμένον. «Καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ·[4]» καὶ τό, «Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι, ἐν Χριστῷ Ἰησοῦ ἐφ' ἡμᾶς.[5]» Καὶ τὸ λέγειν αὐτὸν ἐν τῷ σταυρῷ· «Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου[6]», πάντας ἀνθρώπους παρατίθεται τῷ Πατρὶ δι' ἑαυτοῦ, τοὺς ἐν αὐτῷ ζωοποιουμένους. Μέλη γὰρ αὐτοῦ εἰσι, καὶ τὰ πολλὰ μέλη ἕν ἐστι σῶμα, ὅπερ ἐστὶ ἡ Ἐκκλησία· καθὼς καὶ ὁ μακάριος Παῦλος γράφει Γαλάταις· «Πάντες γὰρ ὑμεῖς ἕν ἐστε ἐν Χριστῷ Ἰησοῦ·[7]» τοὺς πάντας οὖν παρατίθεται ἐν ἑαυτῷ.

6. Οὕτως οὖν καὶ ὅτε λέγει, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ[8]», περὶ τῆς Ἐκκλησίας λέγει, τῆς ἐν αὐτῷ κτιζομένης. Οὐ γὰρ ὁ ποιητὴς τῶν ἁπάντων κτίσμα καὶ ποίημά ἐστιν, ἀλλὰ τὸ ποίημα ἐν τῷ ποιητῇ ἀνανεοῦται, κατὰ τὸ λεγόμενον ὑπὸ τοῦ Παύλου· «Αὐτοῦ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ.[9]» Καὶ καθὼς πάλιν λέγει· «Ἵνα γνωρισθῇ νῦν ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ἐν ᾧ ἔχομεν τὴν παρρησίαν, καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ.[10]» Καὶ πάλιν φησί· «Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν.[11]» Καὶ πάλιν λέγει καὶ περὶ τῶν δύο λαῶν· «Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.[12]»

7. Καὶ ὅταν λέγῃ· «Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός·[13]» ὁ Θεός, συναριθμήσας ἑαυτὸν μετὰ τῶν ἀνθρώπων, κατὰ τὴν σάρκα αὐτοῦ τοῦτο εἶπε, καὶ πρὸς τὸν νοῦν τοῦ προσελθόντος αὐτῷ. Ἐκεῖνος γὰρ ἄνθρωπον αὐτὸν ἐνόμιζε μόνον καὶ οὐ Θεόν, καὶ τοῦτον ἔχει τὸν νοῦν ἡ ἀπόκρισις· Εἰ μὲν γὰρ ἄνθρωπον, φησί, νομίζεις με, καὶ οὐ Θεόν, μή με λέγε ἀγαθόν· οὐδεὶς γὰρ ἀγαθός.

---

1. Ἡσ. 53, 5. 2. Ἡσ. 53, 5. 3. Ἰω. 17, 5. 4. Ἐφ. 2, 6. 5. Ἐφ. 2, 7. 6. Λουκ. 23, 46. 7. Γαλ. 3, 28. 8. Παρμ. 8, 22. 9. Ἐφ. 2, 10. 10. Ἐφ. 3, 10-12. 11. Ἐφ. 1, 4-5. 12. Ἐφ. 2, 15, 16. 13. Μάρκ. 10, 18.

Οὐ γὰρ διαφέρει ἀνθρωπίνῃ φύσει τὸ ἀγαθόν, ἀλλὰ Θεῷ. Καὶ ἐπιφέρει· «Τὰς ἐντολὰς οἶδας;» Εἰρηκότος δὲ ἐκείνου· «Ποίας;» ἔφη· «Οὐ μοιχεύσεις, οὐ φονεύσεις», καὶ τὰ ἑξῆς. Ἀπεκρίνατο λέγων· «Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, τί ἔτι ὑστερῶ; Ἔφη αὐτῷ· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου πάντα ὅσα ἔχεις, καὶ δός πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ λαβὼν τὸν σταυρόν σου ἀκολούθει μοι.[1]» Διὰ τούτων οὖν ἔδειξεν, ὅτι καὶ αὐτῷ διαφέρει τὸ ἀγαθόν· ὁ γὰρ μὴ ἀκολουθῶν τῷ ἀγαθῷ πῶς δύναται ζωὴν αἰώνιον κληρονομῆσαι; Καὶ ὅταν λέγῃ περὶ τῆς ἐσχάτης ἡμέρας, ὅτι «Οὐδεὶς οἶδεν, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ», ἀνθρωπίνως λέγει. Εἰ γὰρ τὸν Πατέρα ἐπίσταται, τὴν ἐσχάτην ἡμέραν πῶς ἀγνοεῖ; «Οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν Πατέρα», φησίν, «εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.[2]» Καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον οἶδε πάντα τὰ τοῦ Θεοῦ, πῶς ὁ Υἱὸς τὴν ἡμέραν, ἣν ἔκτισεν, ἀγνοεῖ; Καὶ εἰ οἱ αἰῶνες δι' αὐτοῦ ἐγένοντο καὶ οἱ χρόνοι, φανερόν, ὅτι καὶ ἡ ἐσχάτη ἡμέρα ἐν τοῖς αἰῶσι καὶ χρόνοις εὑρίσκεται, καὶ ἀδύνατόν ἐστιν αὐτὸν ἀγνοεῖν.

8. Ὅσα οὖν εὐτελῆ ῥήματα ὑπὸ τοῦ Κυρίου εἴρηται, τῇ πτωχείᾳ αὐτοῦ διαφέρει, ἵνα ἡμεῖς ἐν αὐτῷ πλουτήσωμεν, οὐχ ἵνα ἐν αὐτοῖς βλασφημήσωμεν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καὶ κατὰ τοῦτο ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γέγονεν, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τουτέστι τοῦ Ἀδάμ, υἱοὶ τοῦ Θεοῦ γένωνται. Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ Πατρὸς Λόγος ἀρρήτως, ἀφράστως, ἀκαταλήπτως, ἀιδίως, ὁ αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ Παρθένου Θεοτόκου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες ἄνωθεν γεννηθῶσιν ἐκ δευτέρου, τουτέστιν, ἐκ Θεοῦ. Αὐτὸς οὖν μητέρα ἔχει μόνον ἐπὶ γῆς, καὶ ἡμεῖς Πατέρα μόνον ἔχομεν ἐν οὐρανῷ. Καὶ διὰ τοῦτο ἑαυτὸν Υἱὸν ἀνθρώπου καλεῖ, ἵνα οἱ ἄνθρωποι Θεὸν καλέσωσι Πατέρα ἐν τοῖς οὐρανοῖς· «Πάτερ ἡμῶν», φησίν, «ὁ ἐν τοῖς οὐρανοῖς.[3]» Ὥσπερ οὖν ἡμεῖς οἱ δοῦλοι τοῦ Θεοῦ γεγόναμεν, οὕτως ὁ Δεσπότης τῶν δούλων υἱὸς τοῦ ἰδίου δούλου γέγονε θνητός, τουτέστι τοῦ Ἀδάμ, ἵνα οἱ υἱοὶ τοῦ Ἀδάμ, θνητοὶ ὄντες, υἱοὶ τοῦ Θεοῦ γένωνται, κατὰ τὸ λεγόμενον· «Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.[4]» Ὅθεν καὶ θανάτου γεύεται ὁ Υἱὸς τοῦ Θεοῦ διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς τοῦ Θεοῦ μεταλάβωσι, διὰ τὸν κατὰ Πνεῦμα αὐτῶν Πατέρα Θεόν· Αὐτὸς οὖν κατὰ φύσιν Υἱός ἐστι τοῦ Θεοῦ, ἡμεῖς δὲ κατὰ χάριν. Καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ χάριν ἡμετέραν υἱὸς γέγονε τοῦ Ἀδάμ, ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ. Ὅθεν λέγει, «Ἀπέρχομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν.[5]» Πατὴρ γὰρ αὐτοῦ ἐστιν ὁ Θεός, ὡς προεῖπον, κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· καὶ Θεὸς αὐτοῦ γεγο-

1. Μάρκ. 10, 19-21. 2. Ματθ. 11, 27. 3. Ματθ. 6, 9. 4. Ἰω. 1, 12. 5. Ἰω. 20, 17.

νε κατ' οἰκονομίαν, διότι ἄνθρωπος, ἡμῶν δὲ κατὰ φύσιν Δεσπότης ἐστὶ καὶ Θεός. Καὶ διὰ τοῦτο ὁ Λόγος καὶ Υἱὸς τοῦ Πατρὸς ἑνωθεὶς σαρκί, γέγονε σάρξ, ἄνθρωπος τέλειος, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες Πνεύματι, γένωνται ἓν Πνεῦμα. Αὐτὸς οὖν ἐστι Θεὸς σαρκοφόρος, καὶ ἡμεῖς ἄνθρωποι πνευματοφόροι. Ἀπαρχὴν γὰρ λαβὼν ἐκ τῆς οὐσίας τῶν ἀνθρώπων, τουτέστιν ἐκ τοῦ σπέρματος Ἀδὰμ (ἥτις ἐστὶ μορφὴ δούλου), καὶ ἐν ὁμοιώματι ἀνθρώπου γεγονώς, ἔδωκεν ἡμῖν ἐκ τῆς οὐσίας τοῦ Πατρός, ἀπαρχὴν ἁγίου Πνεύματος ἵνα γενώμεθα οἱ πάντες εἰς υἱοὺς Θεοῦ, ἐν ὁμοιώματι τοῦ Υἱοῦ τοῦ Θεοῦ. Αὐτὸς οὖν ὁ ἀληθινὸς καὶ φύσει Υἱὸς τοῦ Θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα φορέσωμεν Θεόν.

9. Ἀσεβὲς οὖν ἐστι κτιστὸν ἢ ποιητὸν λέγειν τὸ Πνεῦμα τοῦ Θεοῦ· ὁπότε πᾶσα Γραφὴ Παλαιά τε καὶ Καινή, μετὰ Πατρὸς καὶ Υἱοῦ αὐτὸ συναριθμεῖ καὶ δοξάζει· διότι τῆς αὐτῆς θεότητός ἐστι, καὶ τῆς αὐτῆς ἐξουσίας· καθὼς αὐτὸς ὁ Κύριος λέγει· «Ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν·[1]» ὡς καὶ ἐν τῷ Ἰωὴλ ἐκ προσώπου τοῦ Πατρὸς λέγει· «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν.[2]» Καὶ διὰ τοῦτο ἐμφυσᾷ αὐτὸ εἰς τὸ πρόσωπον τῶν ἀποστόλων λέγων· «Λάβετε Πνεῦμα ἅγιον·[3]» ἵνα μάθωμεν, ὅτι ἐκ τοῦ πληρώματος τῆς θεότητός ἐστι τὸ διδόμενον Πνεῦμα τοῖς μαθηταῖς. «Ἐν Χριστῷ γάρ», φησί, «κατοικεῖ, τουτέστιν ἐν τῇ σαρκὶ αὐτοῦ, πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς·[4]» καθὼς καὶ ὁ Βαπτιστὴς Ἰωάννης λέγει· «Ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν.[5]» Σωματικῷ γὰρ εἴδει, τουτέστιν ὡς περιστερά, ὤφθη τὸ Πνεῦμα τὸ ἅγιον, καταβαῖνον καὶ μένον ἐπ' αὐτόν. Ἐν ἡμῖν μὲν γὰρ ἀπαρχὴ καὶ ἀρραβὼν θεότητος κατοικεῖ, ἐν Χριστῷ δὲ πᾶν τὸ πλήρωμα τῆς θεότητος. Καὶ μή τις νομίσῃ, ὅτι μὴ ἔχων αὐτὸ ἐλάμβανεν· αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν, ὡς Θεός· καὶ αὐτὸς αὐτὸ κάτω ὑπεδέχετο, ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. Καὶ ὁ μὲν Ἡσαΐας ἐκ προσώπου τοῦ Πατρὸς βοᾷ λέγων· «Οὕτω λέγει Κύριος ὁ Θεός σου, ὁ ποιήσας σε καὶ πλάσας σε ἐκ κοιλίας· Μὴ φοβοῦ, ὁ παῖς μου Ἰακώβ, καὶ ὁ ἠγαπημένος Ἰσραήλ, ὃν ἐξελεξάμην· ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ· ἐπιθήσω τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου.[6]» Ἐν τῷ Εὐαγγελίῳ δὲ ὁ Υἱὸς ἐπαγγέλλεται διδόναι ὕδωρ τοῖς πορευομένοις ἐν δίψει, λέγων τῇ Σαμαρείτιδι περὶ τοῦ ἁγίου Πνεύματος· «Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν σὺ

1. Ἰω. 7, 38-39. 2. Ἰωὴλ 2, 28. 3. Ἰω. 20, 22. 4. Κολ. 2, 9. 5. Ἰω. 1, 16. 6. Ἡσ. 44, 2-3.

ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.[1]» Καὶ μετ' ὀλίγα λέγει αὐτῇ· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.[2]» Καὶ διὰ τοῦτο ὁ Δαβὶδ ψάλλων τῷ Θεῷ λέγει· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς·[3]» οἶδε γὰρ παρὰ τῷ Θεῷ Πατρὶ ὄντα τὸν Υἱὸν τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος.

10. Καὶ διὰ Ἱερεμίου ὁ Υἱὸς λέγει· «Δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.[4]» Καὶ ὅτε δοξολογοῦσι τὰ σεραφὶμ τὸν Θεόν, λέγοντα τρίτον· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ[5]», Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα δοξολογοῦσι. Καὶ διὰ τοῦτο, ὥσπερ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ βαπτιζόμεθα, οὕτως καὶ εἰς τὸ ὄνομα τοῦ ἁγίου Πνεύματος, καὶ γινόμεθα υἱοὶ Θεοῦ, οὐ Θεῶν. Πατὴρ γὰρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, Κύριος σαβαώθ ἐστι. Μία γὰρ ἡ θεότης, καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσι. Καὶ διὰ τοῦτο, ἅπερ εἶπεν ὁ Πατὴρ ἐν τῷ Ἡσαΐᾳ, ὁ Ἰωάννης λέγει, ὅτι ὁ Υἱὸς εἶπεν· ἐν δὲ ταῖς Πράξεσιν ὁ Παῦλός φησιν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον εἶπε. Λέγει γὰρ οὕτως ὁ Ἡσαΐας· «Εἶδον τὸν Κύριον σαβαώθ, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ ἐπληρώθη ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξιν ἐκάλυπτον τὰ πρόσωπα, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέτοντο. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, λέγοντες· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.[6]» Καὶ μετ' ὀλίγα ὁ αὐτός· «Ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· ἰδοὺ ἐγώ, ἀπόστειλόν με. Καὶ εἶπέ μοι· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἶπον αὐτῷ· Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλάψητε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου. Καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν· καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.[7]» Ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης λέγει· «Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν οἱ Ἰουδαῖοι εἰς τὸν Ἰησοῦν, ὅτι εἶπεν Ἡσαΐας, ὅτι Ἐτύφλωσεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ νοήσωσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ[8]», τουτέστι τοῦ Υἱοῦ· ὥστε καὶ Κύριος Σαβαώθ ἐστιν ὁ

1. Ἰω. 4, 10. 2. Ἰω. 4, 13-14. 3. Ψαλμ. 35, 10. 4. Ἱερ. 2, 13. 5. Ἡσ. 6, 3. 6. Ἡσ. 6, 1-3. 7. Ἡσ. 6, 8-10. 8. Ἰω. 12, 39-41.

Υἱός. Κύριος γὰρ τῶν δυνάμεων ἑρμηνεύεται τὸ Κύριος Σαβαώθ· «Ὁ δὲ Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης[1]», ὡς ὁ Δαβὶδ εἶπε· Κύριος δὲ τῆς δόξης ἐστὶν ὁ ἐσταυρωμένος Χριστὸς κατὰ τὸν Παῦλον. Καὶ καθὼς εἶπε Δαβίδ· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει·[2]» καὶ ἀλλαχοῦ· «Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἐμφάνηθι.[3]» Ἐν δὲ τοῖς Εὐαγγελίοις λέγει ὁ Υἱός· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός·[4]» αὐτὸς οὖν ἐστιν ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ὁ ποιμαίνων τὸν Ἰσραήλ. Ὁ δὲ Παῦλος ἐν ταῖς Πράξεσι τὸ ἅγιον Πνεῦμα λέγει διὰ Ἡσαΐου εἰρηκέναι ταῦτα, ἅπερ εἶπεν Ἡσαΐας[5], ὅτι Κύριος Σαβαώθ μοι εἶπεν.[6] Ὁ Πατὴρ οὖν καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα Κύριος Σαβαώθ ἐστι.

11. Καὶ ὅτε λέγει ἡ Γραφὴ περὶ τοῦ Πατρός, ὅτι Αὐτὸς ἔκτισε τὰ πάντα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα·[7] ἀλλαχοῦ ἡ Γραφὴ διδάσκει ἡμᾶς, ὅτι διὰ τοῦ Υἱοῦ ἐκτίσθη. Οὐχ ἕτερα χωρὶς ὁ Πατὴρ ἔκτισε, καὶ ἄλλα ὁ Υἱός· ἀλλ' ἅπερ ὁ Πατὴρ ποιεῖ, διὰ τῆς ἰδίας δυνάμεως ποιεῖ, ἥτις ἐστὶν ὁ Υἱός· τὰ πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.[8] Οὕτως οὖν καὶ ὅτε λέγει ὁ Υἱός· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· ἔλεγε δέ», φησί, «περὶ τοῦ ἰδίου σώματος·[9]» ἑτέρα Γραφὴ λέγει, ὅτι· «Ὁ Πατὴρ ἤγειρε τὸν Υἱὸν αὐτοῦ ἐκ νεκρῶν·[10]» καὶ καλῶς λέγει· ἤγειρε γὰρ διὰ τοῦ ἰδίου Λόγου καὶ Υἱοῦ τὴν σάρκα τοῦ Υἱοῦ αὐτοῦ· Καὶ οὐ λέγομεν τὸ σῶμα εἶναι Υἱὸν φύσει τοῦ Θεοῦ, ἀλλὰ τὸ σῶμα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τοῦ οὖν σώματος ἐγειρομένου, ὁ Υἱὸς νοεῖται ἐγηγερμένος ἐκ νεκρῶν. Διὰ τοῦτο κατὰ σάρκα λέγομεν, ὅτι καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ νεκρῶν· κατὰ δὲ τὸ πνεῦμα καὶ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἦν καὶ πανταχοῦ. Ἐπεὶ οὖν πρότερον πλούσιος ὤν, τουτέστι Θεός· ὕστερον δὲ πτωχὸς γέγονε, τουτέστιν ἄνθρωπος, καὶ ὡμοιώθη ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας·καὶ διὰ τοῦτο ὡς ἄνθρωπος λαμβάνει ζωήν, ὁ ἔχων ζωήν, αὐτὸς γάρ ἐστιν ἡ ζωή· λαμβάνει δὲ δι' ἡμᾶς, καὶ ὡς ἄνθρωπος προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ ἡ ἀίδιος τοῦ Θεοῦ δύναμις καὶ σοφία, καὶ ὡς ἄνθρωπος ἁγιάζεται ὁ ἅγιος, καὶ μὴ χρείαν ἔχων ἁγιασμοῦ. «Ὑπὲρ αὐτῶν» γάρ, φησίν, «ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ.[11]» Καὶ ὡς ἄνθρωπος ὑψοῦται λαβὼν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ὅπερ ἀεὶ κατὰ φύσιν ἔχει. «Θεὸς γὰρ ἦν», φησίν, «ὁ Λόγος.[12]»

12. Ὅσα οὖν λέγει ἡ Γραφὴ ὅτι ἔλαβεν ὁ Υἱός, διὰ τὸ σῶμα αὐτοῦ λέγει, ὅπερ σῶμα ἀπαρχή ἐστι τῆς Ἐκκλησίας. «Ἀπαρχή» γάρ, φησίν, «ὁ Χριστός[13]» Τῆς οὖν ἀπαρχῆς λαβούσης ὄνομα τὸ ὑπὲρ πᾶν

---

1. Ψαλμ. 23, 10. 2. Ψαλμ. 22, 1. 3. Ψαλμ. 79, 2. 4. Ἰω. 10, 14. 5. Πρβλ. Πράξ. 28, 25. 6. Πρβλ. Ἡσ. 6, 9. 7. Πρβλ. Κολ. 1, 16. 8. Ἰω. 1, 3. 9. Ἰω. 2, 19-21. 10. Πρβλ. Γαλ. 1, 1. 11. Ἰω. 17, 19. 12. Ἰω. 1, 1. 13. Α' Κορ. 15, 23.

ὄνομα, συνηγέρθη δυνάμει καὶ τὸ φύραμα, καὶ συνεκαθέσθη, κατὰ τὸ λεγόμενον· «Καὶ συνήγειρε καὶ συνεκάθισε.[1]» Καὶ διὰ τοῦτο χάριν ἔλαβον οἱ ἄνθρωποι τὸ καλεῖσθαι θεοὶ καὶ υἱοὶ Θεοῦ. Πρῶτον οὖν τὸ ἴδιον σῶμα ἤγειρεν ὁ Κύριος ἐκ νεκρῶν, καὶ ὕψωσεν ἐν ἑαυτῷ· μετὰ ταῦτα ἐγερεῖ καὶ τὰ μέλη τοῦ σώματος αὐτοῦ, ἵνα χαρίσηται αὐτοῖς τὰ πάντα, ὡς Θεός, ὅσα αὐτὸς ὡς ἄνθρωπος ἔλαβεν. Αὐτὸς οὖν ἑαυτῷ χαρίζεται ζωήν, καὶ αὐτὸς ἑαυτὸν ἁγιάζει, καὶ αὐτὸς ἑαυτὸν ὑψοῖ. Ὅτε οὖν λέγει, ὅτι ὁ Πατὴρ ἡγίασεν αὐτόν, καὶ ἤγειρεν αὐτόν, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ ἔδωκεν αὐτῷ ζωήν· δῆλον, ὅτι δι' αὐτοῦ τὰ πάντα ποιεῖ ὁ Πατήρ. Δι' αὐτοῦ οὖν αὐτὸν ἐγείρει, καὶ δι' αὐτοῦ αὐτὸν ἁγιάζει, καὶ δι' αὐτοῦ αὐτὸν ὑψοῖ, καὶ δι' αὐτοῦ αὐτῷ ζωὴν δίδωσι. Καὶ ὅτε παρατίθεται τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας τοῦ Πατρός, ὡς ἄνθρωπος ἑαυτὸν παρατίθεται τῷ Θεῷ, ἵνα πάντας ἀνθρώπους παραθῆται τῷ Θεῷ. Αὐτὸς γάρ ἐστιν ἡ χείρ, καὶ αἱ χεῖρες τοῦ Πατρός. Καὶ ὅτε λέγει· «Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με [2]», ἐκ προσώπου τῆς ᾿Εκκλησίας λέγει, ἥτις, πρότερον κτισθεῖσα, μετὰ ταῦτα γεννᾶται ἐκ Θεοῦ. Διὰ τοῦτο πρῶτον κεῖται ἐν τῇ Παροιμίᾳ τό, «Ἔκτισέ με ὁ Κύριος [3]», καὶ ὕστερος τό, «ἐγέννησε.»

13. Καὶ ὅτε λέγει ἡ Γραφὴ περὶ Πατρός· «Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς; [4]» ὁμοίως καὶ περὶ Υἱοῦ λέγει, ὅτι δι' αὐτοῦ ἐκτίσθη τὰ πάντα· τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγεται· «᾿Αντανελεῖς», φησί, «τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ᾿Εξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται καί· ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.[5]» Καὶ ὅτε λέγει ὁ Υἱὸς περὶ Πατρὸς τῷ Πέτρῳ· «Μακάριος εἶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοις οὐρανοῖς· [6]» τὰ αὐτὰ περὶ ἑαυτοῦ λέγει· «Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.[7]» Ὁμοίως δὲ καὶ περὶ τοῦ ἁγίου Πνεύματος ὁ Παῦλος λέγει· «Ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.[8]» Ὥσπερ οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου τῆς ἀνθρωπότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐ κεχώρισται, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ τῆς θεότητος αὐτοῦ καὶ τῆς οὐσίας οὐκ ἔστιν ἀλλότριον. Καὶ ὅταν λέγῃ ὁ Κύριος ἐν Ἡσαΐᾳ· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν [9]», ἐν τῷ Εὐαγγελίῳ λέγει· «Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι.[10]» Καὶ πάλιν· «Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας, πόθεν ἔρχεται,

---

1. ᾿Εφ. 2, 6. 2. Παρμ. 8, 25. 3. Παρμ. 8, 22. 4. Μαλ. 2, 10. 5. Ψαλμ. 103, 29-30. 6. Ματθ. 16, 17. 7. Ματθ. 11, 27. 8. Α' Κορ. 2, 10-11. 9. Ἡσ. 1, 2. 10. ᾿Ιω. 3, 6.

καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος.[1]» Ἐν δὲ τῇ ἀρχῇ τοῦ Εὐαγγελίου Ἰωάννης λέγει· «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρός, οὐδὲ ἐκ θελήματος, σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.[2]» Ὅσοι οὖν ἐκ Πνεύματος ἁγίου ἐγεννήθησαν, οὗτοι ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, οὗτοι εἰς Πατέρα καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθησαν. Καὶ πάλιν, ὅτε λέγει ὁ Πέτρος τῷ Ἀνανίᾳ· «Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.[3]» Ὥστε ὁ ψευσάμενος τῷ ἁγίῳ Πνεύματι, τῷ Θεῷ ἐψεύσατο, τῷ κατοικοῦντι ἐν ἀνθρώποις διὰ τοῦ Πνεύματος αὐτοῦ. Ὅπου γάρ ἐστι τὸ Πνεῦμα τοῦ Θεοῦ, ἐκεῖ ἐστιν ὁ Θεός· «Ἐν τούτῳ» γάρ, φησί, «γινώσκομεν, ὅτι ὁ Θεὸς ἐν ἡμῖν μένει, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.[4]»

14. Καὶ ὅτε μὲν λέγει ἡ Γραφή, ὅτι Πνεῦμα ἅγιον ἐλάλει ἐν τοῖς προφήταις, ἀλλαχοῦ λέγει ὁ μακάριος Παῦλος, ὅτι ὁ Πατὴρ ἐλάλει ἐν τοῖς προφήταις· Πολυμερῶς γὰρ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς «λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τοῦ ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ.[5]» Καὶ ἀλλαχοῦ λέγει, ὅτι ὁ Υἱὸς λαλεῖ· «Εἰ δοκιμήν», φησί, «ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.[6]» Ὁ δὲ Υἱὸς τὸ Πνεῦμα εἶπε τὸ λαλοῦν ἐν τοῖς ἀποστόλοις, Ὅταν, φησί, «παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, μὴ μεριμνήσητε, πῶς, ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν.[7]» Καὶ ὁτὲ μὲν ὁ Ἀπόστολος λέγει, ὅτι τὰ σώματα τῶν πιστῶν ναός ἐστι τοῦ ἁγίου Πνεύματος, ὁτὲ δὲ τὰ μέλη αὐτῶν μέλη Χριστοῦ, ὁτὲ δὲ αὐτοὺς ναὸν εἶναι τοῦ Πατρός· «Ὑμεῖς» γάρ, φησί, «ναός ἐστε Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός· Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός·[8]» καί, «Εἴ τις φθείρῃ τὸν ναὸν τοῦ Θεοῦ, φθερεῖ τοῦτον ὁ Θεός.[9]» Καὶ πάλιν· «Οὐκ οἴδατε, ὅτι ναὸς τοῦ Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἅγιον οἰκεῖ ἐν ὑμῖν; [10]» Εἴ τις γάρ ἐστι ναὸς τοῦ Πνεύματος, οὗτος ναός ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πατρός· ὅπου γὰρ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ, ἐκεῖ ὁ Θεὸς κατοικεῖ. Καί, «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ.[11]» Ὁμοίως δὲ καὶ περὶ τοῦ Πνεύματος λέγει, ὅτι «Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν.[12]» Πρὸς δὲ Κορινθίους γράφει Παῦλος· «Τὸ

1. Ἰω. 3, 8. 2. Ἰω. 1, 12-13. 3. Πράξ. 5, 3-4. 4. Α' Ἰω. 4, 13. 5. Ἑβρ. 1, 1-2. 6. Β' Κορ. 13, 3. 7. Ματθ. 10, 17-20. Λουκ. 12, 11-12. 8. Β' Κορ. 6, 16. 9. Α' Κορ. 3, 17. 10. Α' Κορ. 3, 16. 11. Ἰω. 5,21. 12. Ἰω. 6, 63.

δὲ Πνεῦμα ζωοποιεῖ.[1]» Ὁρᾷς, ὅτι ἅπερ ἐστὶν ἔργα τοῦ Πατρός, ταῦτα λέγει ἡ Γραφὴ τοῦ Υἱοῦ εἶναι, καὶ τοῦ ἁγίου Πνεύματος· ὡς καὶ ὁ Ἀπόστολος ἐδίδαξε λέγων· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ Πνεῦμα τὸ αὐτό· καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.[2]» Εἰρηκὼς οὖν, ὅτι ὁ Πατήρ ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, καὶ μετ' ὀλίγον λέγει τὸ ἅγιον Πνεῦμα τὸ ἐνεργοῦν τὰ πάντα ἐν πᾶσι. «Πάντα δὲ ταῦτα», φησίν, «ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἴδια ἑκάστῳ, καθὼς βούλεται.[3]»

15. Καὶ ὅτε μὲν ὁ μακάριος Παῦλος διδάσκει περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι ἀρραβὼν τῆς κληρονομίας ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Δαυὶδ λέγει τὸν Κύριον εἶναι τὴν κληρονομίαν· «Κύριος» γάρ, φησί, «μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου.[4]» Καὶ ἀλλαχοῦ λέγει· «Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα, σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.[5]» Ὁ δὲ Ἱερεμίας λέγει, ὅτι «Ὁ πλάσας τὰ πάντα, αὐτὸς κληρονομία τοῦ Ἰακώβ, Κύριος ὄνομα αὐτῷ.[6]» Τῶν οὖν προφητῶν τὸν Κύριον κληρονομίαν λεγόντων τῶν ἁγίων, ὁ Παῦλος τὸ ἅγιον Πνεῦμα κληρονομίαν εἶναι εἶπεν· «Ἐν ᾧ», φησί, «καὶ πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας, τῷ ἁγίῳ, ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν·[7]» ὡς καὶ Μωσῆς τὸ πρόσωπον ἐσφραγίσθη τῷ ἁγίῳ Πνεύματι, ὅτε ἔλαβε νόμον παρὰ Θεοῦ, καὶ οὐδεὶς ἠδύνατο αὐτῷ ἀτενίσαι τῶν υἱῶν Ἰσραήλ·[8] ἐσημειώθη γὰρ ἐπ' αὐτὸν τὸ φῶς τοῦ προσώπου Κυρίου· ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ γέγραπται· «Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν.[9]» Ὁ Θεὸς γὰρ φῶς ἐστιν· ὁμοίως δὲ καὶ ὁ Υἱὸς φῶς ἐστι, διότι τῆς αὐτῆς οὐσίας ἐστὶ τοῦ ἀληθινοῦ φωτός, ὡς καὶ Ἡσαΐας λέγει· «Καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ ὡς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ.[10]» Ἐν δὲ τῷ Εὐαγγελίῳ Ἰωάννης ὁ Βαπτιστὴς λέγει περὶ τοῦ Κυρίου· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.[11]» Ἀλλαχοῦ δὲ λέγει τὸν Κύριον τὸν ἁγιάζοντα. «Ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.[12]» Καὶ ὅτε τὸν Θεὸν καλεῖ πῦρ ἡ Γραφή· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον[13]», ὁμοίως καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου λέγει· ὅτι «Ὤφθησαν τοῖς ἀποστόλοις διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.[14]» Ὅσοι γὰρ Πνεῦμα Θεοῦ φοροῦσι, φῶς φοροῦσι· καὶ οἱ φοροῦντες φῶς Χριστὸν εἰσιν ἐνδεδυμένοι· καὶ οἱ ἐνδεδυμένοι Χριστὸν Πατέρα ἐνδέδυνται. «Δεῖ γὰρ τὸ φθαρτὸν

---

1. Β' Κορ. 3, 16. 2. Α' Κορ. 12, 4-6. 3. Α' Κορ. 12, 11. 4. Ψαλμ. 15, 5. 5. Ψαλμ. 141, 6. 6. Ἱερ. 10, 16. 7. Ἐφ. 1, 13, 14. 8. Πρβλ. Ἔξ. 34, 30. 9. Ματθ. 13, 43. 10. Ἡσ. 10, 17. 11. Ματθ. 3, 11. 12. Λευϊτ. 22, 16. 13. Δευτ. 4, 24. 14. Πράξ. 2, 3-4.

τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.[1]» Οἱ γὰρ φοροῦντες τὸ Πνεῦμα τοῦ Θεοῦ ἀφθαρσίαν φοροῦσιν· ἀφθαρσία δέ ἐστιν ὁ Θεός.

16. Καὶ ὅτε λέγει Δαυίδ· «Πολλοὶ λέγουσι, Τίς δείξει ἡμῖν τὰ ἀγαθά; [2]» περὶ τοῦ ἁγίου Πνεύματος λέγει· καὶ ἀλλαχοῦ εἴρηκε· «Κύριος οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.» Καὶ ὁ Ματθαῖος περὶ τοῦ Πατρὸς οὕτω λέγει· «Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; [3]» Ὁ δὲ Λουκᾶς τὸν αὐτὸν τρόπον ἱστορῶν ἑρμηνεύει, τί ἐστι τὰ ἀγαθά, λέγων· «Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν.[4]» Εἰ μὴ γὰρ ἦν τῆς οὐσίας τοῦ μόνου ἀγαθοῦ τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἂν ἀγαθὸν ἐκλήθη, ὁπότε ὁ Κύριος παραιτεῖται τὸ καλεῖσθαι ἀγαθός· καθὸ ἄνθρωπος γέγονε, λέγων· «Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός.[5]» Τὸ δὲ ἅγιον Πνεῦμα οὐ παραιτεῖται ἡ Γραφὴ καλεῖν ἀγαθόν, κατὰ τὸν Δαυὶδ τὸν λέγοντα· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.[6]» Καὶ ὅτε πάλιν ὁ Κύριος λέγει περὶ ἑαυτοῦ· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.[7]» Ἀλλαχοῦ τὸ ἅγιον Πνεῦμα καλεῖ ἄρτον οὐράνιον λέγων· «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.[8]» Ἐδίδαξε γὰρ ἡμᾶς ἐν τῇ εὐχῇ ἐν τῷ νῦν αἰῶνι αἰτεῖν τὸν ἐπιούσιον ἄρτον, τουτέστι τὸν μέλλοντα, οὗ ἀπαρχὴν ἔχομεν ἐν τῇ νῦν ζωῇ, τῆς σαρκὸς τοῦ Κυρίου μεταλαμβάνοντες, καθὼς αὐτὸς εἶπεν· «Ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.[9]» Πνεῦμα γὰρ ζωοποιοῦν ἡ σάρξ ἐστι τοῦ Κυρίου, διότι ἐκ Πνεύματος τοῦ ζωοποιοῦ συνελήφθη. «Τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστι.[10]»

17. Καὶ ὅτε λέγει ὁ Ἱερεμίας περὶ τοῦ Θεοῦ, ὅτι αὐτὸς ὡδήγησε τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ· «Καὶ οὐκ εἴπατε», φησί, «Ποῦ ἐστιν ὁ Κύριος, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ; [11]» Ὁ Ἡσαΐας τὸ Πνεῦμα τὸ ἅγιον εἶπεν ὡδηγηκέναι τὸν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ· ἔστι γοῦν ἀκοῦσαι αὐτοῦ λέγοντος· «Ἤγαγεν αὐτοὺς διὰ τῆς ἀβύσσου ὡς ἵππον διὰ τῆς ἐρήμου· καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ τοῦ πεδίου. Καὶ κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς.[12]» Πρὸς δὲ Κορινθίους γράφει ὁ Ἀπόστολος, ὅτι Χριστὸς ἦν ὁ ὁδηγῶν· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.[13]» Καὶ ὅτε λέγει ὁ Παῦλος ὑπὸ τοῦ

---

1. Α' Κορ. 15, 53. 2. Ψαλμ. 4, 7. 3. Ματθ. 7, 11. 4. Λουκ. 11,13. 5. Μάρκ. 10, 18. 6. Ψαλμ. 142, 10. 7. Ἰω. 6, 51. 8. Ματθ. 6, 11. 9. Ἰω. 6, 51. 10. Ἰω. 3, 6. 11. Ἱερ. 2, 6. 12. Ἡσ. 63, 13-14. 13. Α' Κορ. 10, 4.

Θεοῦ κεκλῆσθαι αὐτόν· «Ὁ Θεός», φησίν, «ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσι.[1]» Ῥωμαίους δὲ ὑπὸ τοῦ Χριστοῦ κεκλῆσθαι λέγει γράφων πρὸς αὐτούς· «Ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ.[2]» Τὸ δὲ Πνεῦμα τὸ ἅγιον τὸν Παῦλον καὶ τὸν Βαρνάβαν κεκληκέναι εἴρηκεν εἰς τὸ τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν Χριστόν. Καὶ τό γε θαυμαστόν, τοῦ Ἰησοῦ εἰπόντος Παύλῳ ἐν τῷ ἱερῷ· «Πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστέλλω σε·[3]» καὶ τοῦ Παύλου Γαλάταις γράφοντος, «Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ Πατρὸς τοῦ ἐγείροντος αὐτὸν ἐκ νεκρῶν·[4]» καὶ μετ' ὀλίγον· «Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον τοῦτο, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὐδὲ ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ·[5]» τὸ Πνεῦμα τὸ ἅγιον ἀποστεῖλαν τόν τε Παῦλον καὶ τὸν Βαρνάβαν φαίνεται, κηρῦξαι τοῖς ἔθνεσι τὸν Χριστόν.[6]

18. Καὶ ὁτὲ μὲν ἐκ προσώπου τοῦ Πατρὸς λαλοῦσιν οἱ προφῆται, ὡς ὅταν ἐν Ψαλμοῖς λέγῃ ὁ Θεός· Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, «Εἰ τῷ Δαυὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου·[7]» καὶ πάλιν· «Ἐκ καρποῦ τῆς ὀσφύος μου θήσομαι ἐπὶ τοῦ θρόνου σου·[8]» καὶ καθὼς ὁ Πέτρος εἴρηκε· «Προφήτης οὖν ὑπάρχων ὁ Δαυίδ, καὶ εἰδώς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι τὸν Χριστὸν κατὰ σάρκα ἐπὶ τοῦ θρόνου αὐτοῦ·[9]» ὁτὲ δὲ ἐκ προσώπου τοῦ Υἱοῦ, ὡς ὅταν λέγῃ ὁ Ἡσαΐας· «Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. Διὰ τοῦτο γνώσεται ὁ λαός μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸ ὄνομά μου· ὅτι ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν πάρειμι·[10] ὁτὲ δὲ ἐκ προσώπου τοῦ ἁγίου Πνεύματος, ὡς ὅταν ὁ μὲν προφήτης Ἄγαβος λέγῃ· «Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη.[11]» Καὶ πάλιν ὁ Παῦλος πρὸς Τιμόθεον γράφει· «Τὸ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως·[12]» καὶ πάλιν· «Εἶπε τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ[13]» τοῦ Αἰθίοπος τοῦ εὐνούχου. Καὶ ὁ μὲν προφήτης Ἰεζεκιήλ, αἰτιώμενος τὸν παλαιὸν λαόν, ἔλεγε· Καὶ ἐλύπησαν με ἐν πᾶσι τούτοις, λέγει Κύριος.[14]» Ὁ δὲ Παῦλος γράφει τῷ νέῳ λαῷ· «Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.[15]» Καὶ ὁ μὲν Δαυὶδ περὶ τῶν Ἰουδαίων λέγει· «Καὶ παρώξυναν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ·[16]» ὁ δὲ

---

1. Γαλ. 1, 15-16. 2. Ῥωμ. 1, 6. 3. Πράξ. 22, 21. 4. Γαλ. 1, 1. 5. Γαλ. 1, 11-12. 6. Πρβλ. Πράξ. 13, 2. 7. Ψαλμ. 88, 36-37. 8. Ψαλμ. 131, 11. 9. Πράξ. 2, 30. 10. Ἡσ. 52, 5-6. 11. Πράξ. 22, 11. 12. Α' Τιμ. 4, 1. 13. Πράξ. 8, 29. 14. Πρβλ. Ἰεζ. 16, 43. 15. Ἐφ. 4, 30. 16. Πρβλ. Ψαλμ. 77, 40.

Ἡσαΐας περὶ αὐτῶν· «Αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν.[1]» Καὶ ὁ Στέφανος ἐν ταῖς Πράξεσι λέγει· «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν.[2]» Καὶ ὅτε μὲν λέγει ὁ Παῦλος περὶ Πατρός· «Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;[3]» τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ Υἱοῦ καὶ περὶ τοῦ ἁγίου Πνεύματος ὁμοίως λέγει· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.[4]» Ὁ δὲ Κύριος τῷ Σατανᾷ λέγει περὶ ἑαυτοῦ· «Οὐκ ἐκπειράσεις Κύριον, τὸν Θεόν σου·[5]» ὁ δὲ Πέτρος εἶπε πρὸς τὴν Σαπφεῖραν· «Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου;[6]»

19. Καὶ ὁ Θεὸς μέν ἐστιν ὁ περιέχων καὶ πληρῶν τὰ πάντα, ὡς καὶ διὰ τοῦ Ἡσαΐου λέγει· «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει. Κύριος·[7]» Ὁμοίως καὶ περὶ τοῦ Υἱοῦ γράφει ὁ Παῦλος· «Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.[8]» Τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ ἁγίου Πνεύματός φησιν ὁ Δαυίδ· «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;[9]» Τὸ δὲ εἰπεῖν αὐτόν· «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου;» ἔδειξεν ἡμῖν καὶ τὸ ἅγιον Πνεῦμα εἶναι τὸ τὰ πάντα πληροῦν· Καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; «Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.[10]» Τίς δὲ παραγέγονεν εἰς τὸν ᾅδην εἰ μὴ ὁ Υἱὸς ὁ ἐκ νεκρῶν ἀναστάς; καὶ ὅτε μὲν λέγει ὁ Στέφανος ἐν ταῖς Πράξεσιν· «Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ·[11]» τὰ αὐτὰ καὶ περὶ Υἱοῦ ὁ Παῦλος λέγει· «Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν·[12]» ὁμοίως δὲ καὶ ὁ Δαυὶδ λέγει· «Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.[13]» Μία γὰρ δόξα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· «Τὴν δόξαν μου», φησὶν ἡ Γραφή, «ἑτέρῳ οὐ δώσω·[14]» οὐ γάρ ἐστι δεύτερος Θεὸς ὁ Υἱός, ἀλλὰ Λόγος τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, θεολογούμενος ἐν Πατρί, ὡς καὶ ὁ Πατὴρ ἐν Υἱῷ θεολογεῖται· καθὼς καὶ Ἡσαΐας λέγει θεολογῶν Υἱὸν σὺν Πατρί· «Καὶ προσκυνήσουσί σοι καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ πλὴν σοῦ Θεὸς οὐκ ἔστι. Σὺ γὰρ εἶ ὁ Θεός, καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ. Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ.[15]» Ἀντίκεινται δὲ αὐτῷ οἱ μὴ ὁμολογοῦντες αὐτὸν καὶ τὸ Πνεῦμα αὐτοῦ τῆς αὐτῆς τῷ Πατρὶ οὐσίας, καὶ πλὴν αὐτοῦ μὴ εἶναι Θεόν, καὶ οἱ τὸ πάθος αὐτοῦ καὶ τὴν πτωχείαν ἐπαισχυνόμενοι. Οὐδεὶς γὰρ δύ-

1. Ἡσ. 63, 10. 2. Πράξ. 7, 51. 3. Ῥωμ. 8, 33. 4. Α' Κορ. 6,11· 5. Ματθ. 4, 7. 6. Πράξ. 5, 9. 7. Ἱερ. 23, 24. 8. Ἐφ. 4, 10· 9. Ψαλμ. 138, 7. 10. Ψαλμ. 138, 7. 11. Πράξ. 7, 2. 12. Α' Κορ. 2,8· 13. Ψαλμ. 23, 10. 14. Ἡσ. 48, 11. 15. Ἡσ. 45, 14-16.

ναται γνῶναι Θεόν, ἐὰν μὴ τὸν σταυρωθέντα καὶ ἐκ νεκρῶν ἀναστάντα ὁμολογήσῃ σὺν τῷ ἀποστόλῳ Θωμᾷ[1] Κύριον καὶ Θεὸν τὸν λέγοντα τοῖς ἀποστόλοις αὐτοῦ· «Εἰ γὰρ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν, καὶ ἀπάρτι γινώσκετε αὐτόν, καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ 'Ιησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με; Φίλιππε, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα μου. Καὶ πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν Πατέρα; Οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, οὐκ ἀπ' ἐμαυτοῦ λαλῶ. 'Ο δὲ Πατήρ μου ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρί μου, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν, Εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε μοι.[2]» Ἔργον δὲ ἦν τοῦ Θεοῦ Πατρὸς τὸ ἐκβάλλειν τὰ δαιμόνια· ἐν Πνεύματι δὲ ἁγίῳ εἶπεν ἐκβάλλειν τὰ δαιμόνια·[3] «Εἰ δὲ ἐγώ», φησίν, «ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια.[4]» Περὶ οὗ ὁ Λουκᾶς φησιν· Εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. Ὅτε γὰρ ἡ Γραφὴ τὸν Χριστὸν βραχίονα ὀνομάζει τοῦ Πατρός, τὸ ἅγιον Πνεῦμα δάκτυλον Θεοῦ καλεῖ· καὶ ὅτε δὲ τὸν Υἱὸν Θεοῦ Λόγον ὀνομάζει, τὸ ἅγιον Πνεῦμα ἐμφύσημα τοῦ Θεοῦ λέγει.

20. Καὶ πάλιν λέγει ὁ 'Απόστολος· «Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ, ὅτι Πάντα ὑποτέτακται, δῆλον, ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι.[5]» Περὶ τῆς ὑποταγῆς τοῦ κόσμου λέγει τῆς ἐν σαρκὶ αὐτοῦ ὑποτεταγμένης. Περὶ γὰρ τῆς βασιλείας αὐτοῦ τῆς θεϊκῆς Δανιὴλ ἐξέφρασε λέγων· «Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.[6]» Καθὼς καὶ ὁ Λουκᾶς λέγει τὸν ἄγγελον Γαβριὴλ εἰρηκέναι πρὸς τὴν Παρθένον περὶ τοῦ Κυρίου· «Καὶ βασιλεύσει», φησίν, «εἰς τὸν αἰῶνα καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.[7]» 'Ο δὲ 'Απόστολος λέγει τέλος ἔχειν τὴν βασιλείαν αὐτοῦ. «Δεῖ γὰρ αὐτὸν βασιλεύειν», φησίν, «ἄχρις ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.[8]» 'Ομοίως δὲ καὶ ὁ Δαυίδ· «Εἶπε», φησίν, «ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[9]» Τὸ λέγειν οὖν αὐτόν, κάθου, ἀρχὴν σημαίνει· καὶ τὸ λέγειν, ἕως τεθῶσιν οἱ ἐχθροί σου, τέλος δείκνυσιν. «Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ

---

1. Πρβλ. 'Ιω. 20, 28. 2. 'Ιω. 14, 7-12. 3. Πρβλ. Ματθ. 12, 28. 4. Λουκ. 11, 20. 5. Α' Κορ. 15, 24-28. 6. Πρβλ. Δαν. 3, 33. 7. Λουκ. 1, 33. 8. Α' Κορ. 15, 25. 9. Ψαλμ. 109, 1.

Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα· ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι.[1]» Τοῦτο δέ ἐστιν, ὅταν φησὶν ὑποταγῶμεν οἱ πάντες τῷ Υἱῷ, εὑρεθῶμεν αὐτοῦ μέλη, καὶ γενώμεθα αὐτῷ εἰς υἱοὺς Θεοῦ. Ὑμεῖς γάρ, φησίν, «εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ·[2]» τότε δὲ αὐτὸς ὑποταγήσεται ἀνθ' ἡμῶν τῷ Πατρί, ὡς κεφαλὴ ὑπὲρ τῶν ἰδίων μελῶν. Τῶν γὰρ μελῶν αὐτοῦ μηδέπω ὑποταγέντων πάντων, αὐτός, ἡ κεφαλὴ αὐτῶν, οὔπω ὑποτέτακται τῷ Πατρί, ἀναμένων τὰ ἴδια μέλη. Εἰ δὲ ἦν εἷς τῶν ὑποτεταγμένων, ἐξ ἀρχῆς ἂν ὑπετάσσετο τῷ Πατρί, καὶ οὐκ ἐπὶ τοῦ τέλους τοῦτο ἐποίει. Ἡμεῖς γάρ ἐσμεν οἱ ἐν αὐτῷ ὑποτασσόμενοι τῷ Πατρί, καὶ ἡμεῖς ἐσμεν οἱ ἐν αὐτῷ βασιλεύοντες, ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ ἡμῶν ὑπὸ τοὺς πόδας ἡμῶν· διὰ γὰρ τοὺς ἐχθροὺς ἡμῶν ὁ Δεσπότης τῶν οὐρανῶν ἐν ὁμοιώματι ἡμῶν γέγονε, καὶ ἔλαβε τὸν ἀνθρώπινον θρόνον Δαυὶδ τοῦ κατὰ σάρκα πατρὸς αὐτοῦ εἰς τὸ ἀνοικοδομῆσαι καὶ ἀνορθῶσαι αὐτόν. Ἵνα, ὅταν ἀνορθωθῇ, οἱ πάντες ἐν αὐτῷ βασιλεύσωμεν, καὶ παραδῷ τὴν ἀνθρωπίνην βασιλείαν κατωρθωμένην, τῷ Πατρί, «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι[3]», βασιλεύων δι' αὐτοῦ, ὡς διὰ Λόγου Θεοῦ, μετὰ τὸ βασιλεῦσαι αὐτὸν δι' αὐτοῦ, ὡς δι' ἀνθρώπου σωτῆρος.

21. Καὶ ὅταν λέγῃ ὁ Πέτρος· «Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεὸς τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε·[4]» οὐ περὶ τῆς θεότητος αὐτοῦ λέγει, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν, ἀλλὰ περὶ τῆς ἀνθρωπότητος αὐτοῦ, ἥτις ἐστὶ πᾶσα ἡ Ἐκκλησία, ἡ ἐν αὐτῷ κυριεύουσα καὶ βασιλεύουσα μετὰ τὸ αὐτὸν σταυρωθῆναι· καὶ χριομένη εἰς βασιλείαν οὐρανῶν, ἵνα συμβασιλεύσῃ αὐτῷ, τῷ δι' αὐτὴν ἑαυτὸν κενώσαντι, καὶ ἀναλαβόντι αὐτὴν διὰ τῆς δουλικῆς μορφῆς. Ὁ γὰρ Λόγος καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀεὶ ἦν Κύριος καὶ Θεός· καὶ οὐ μετὰ τὸ σταυρωθῆναι ἐποιήθη Κύριος καὶ Χριστός· ἀλλά, ὡς προεῖπον, τὴν ἀνθρωπότητα αὐτοῦ ἐποίησεν ἡ θεότης αὐτοῦ Κύριον καὶ Χριστόν· καὶ ὅταν λέγῃ. «Πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ ἐμὸν θέλημα γένηται, ἀλλὰ τὸ σόν·[5]» καί, «Τὸ μὲν Πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής·[6]» δύο θελήματα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον, ὅπερ ἐστὶ τῆς σαρκός· τὸ δὲ θεϊκόν, ὅπερ Θεοῦ. Τὸ γὰρ ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος· τὸ δὲ θεϊκὸν αὐτοῦ πρόθυμον. Ὥσπερ δὲ ὁ Πέτρος ἀκούσας περὶ τοῦ πάθους ἐδειλίασε, καὶ εἶπεν· «Ἵλεώς σοι, Κύριε·[7]» ἐπιτιμῶν δὲ αὐτῷ ὁ Κύριος λέγει· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων·[8]» οὕτως καὶ ἐνταῦθα νοεῖται· γενόμενος γὰρ ἐν ὁμοιώματι ἀνθρώπων, παραιτεῖται τὸ πάθος, ὡς ἄνθρωπος· Θεὸς δὲ ὤν, καὶ κατὰ τὴν οὐσίαν

1. Α' Κορ. 15, 28. 2. Γαλ. 3, 28. 3. Α' Κορ. 15, 28. 4. Πράξ. 5,36. 5. Ματθ. 26, 39. 6. Μάρκ. 14, 38. 7. Ματθ. 16, 22. 8. Ματθ. 16, 23.

τὴν θεϊκὴν ἀπαθὴς ὑπάρχων, προθύμως ὑπεδέξατο τὸ πάθος καὶ τὸν θάνατον· διότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ θανάτου· ὅτι Θεὸς ἦν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, ἀποθνήσκων ἑκοντί, καὶ ἐγειρόμενος κατ' ἐξουσίαν ἰδίαν ὡς Θεός, ὡς καὶ Δαυὶδ εἶπεν· «'Αναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί αὐτοῦ·[1]» καὶ αὖθις· «'Εξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον· Κύριος κρινεῖ λαούς.[2]» Λέγει δὲ καὶ ὁ 'Απόστολος ἀλλαχοῦ· «"Επαθεν ἐξ ἀσθενείας, ζῇ δὲ ἐκ δυνάμεως Θεοῦ.[3]» Δύναμις δέ ἐστι Θεοῦ ὁ Υἱός, παθὼν ἐξ ἀσθενείας, τουτέστιν, ἐκ τῆς σαρκικῆς συμπλοκῆς· καὶ παραιτούμενος τὸ πάθος, ὡς ἄνθρωπος· ζῶν δὲ διὰ τῆς ἑαυτοῦ δυνάμεως.

22. Καὶ ὅτε λέγει ὁ Κύριος ἐν τῷ κατὰ 'Ιωάννην Εὐαγγελίῳ· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας 'Ιησοῦν Χριστόν·[4]» ἀλλαχοῦ ὁ αὐτὸς 'Ιωάννης τὸν Υἱὸν λέγει ἀληθινὸν Θεόν. «Οἴδαμεν» γάρ, φησίν, «ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει· καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ ἐν τῷ Υἱῷ αὐτοῦ 'Ιησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός, καὶ ζωὴ ἡ αἰώνιος.[5]» "Ωστε ἀληθινὸς Θεός ἐστιν ὁ Υἱός, καὶ πρὸ τοῦ γενέσθαι αὐτὸν ἄνθρωπον, καὶ μετὰ τὸ γενέσθαι μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπον 'Ιηοοῦν Χριστόν. Τοῦτο γάρ ἐστι, καὶ ὃν ἀπέστειλεν 'Ιησοῦν Χριστόν, τὸν ἡνωμένον Πατρὶ κατὰ Πνεῦμα, ἡμῖν δὲ κατὰ σάρκα, καὶ οὕτω μεσιτεύσαντα Θεῷ καὶ ἀνθρώποις· τὸν μὴ μόνον ἄνθρωπον, ἀλλὰ καὶ Θεὸν τὸν αὐτὸν ὄντα, καθὼς καὶ 'Ιερεμίας λέγει· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. 'Εξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· καὶ ἔδωκεν αὐτὴν 'Ιακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ 'Ισραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ.[6]» Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Πότε δὲ συνανεστράφη τοῖς ἀνθρώποις, εἰ μὴ ὅτε συνεγεννήθη μετ' αὐτῶν ἐκ γυναικός, καὶ συνενηπίασε, καὶ συνηύξησε, καὶ συνέφαγε; Καὶ ἀλλαχοῦ λέγει· «Βαθεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας· καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;[7]» 'Ομοίως δὲ καὶ 'Ησαΐας λέγει, ὅτι «Παιδίον ἐγεννήθη ἡμῖν, καὶ Υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος.[8]» Καὶ ἀλλαχοῦ λέγει· «'Ιδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ 'Εμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον Μεθ' ἡμῶν ὁ Θεός.[9]» Θεὸς οὖν ἐστιν ὁ γεννηθεὶς ἐκ Παρθένου, καὶ γενόμενος ἄν-

---

1. Ψαλμ. 67, 2. 2. Ψαλμ. 7, 7-9. 3. Β' Κορ. 13, 4. 4. 'Ιω. 17, 3. 5. Α' 'Ιω. 5, 20. 6. Βαρ. 3, 36-37. 7. 'Ιερ. 17, 9. 8. 'Ησ. 9, 6. 9. 'Ησ. 7. 14.

θρωπος ἐκ Μαρίας τῆς Θεοτόκου. Καὶ πάλιν ἀλλαχοῦ λέγει· «Καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος.[1]» Ἦν γὰρ αὐτὸν πρὸ τούτου θεωρήσας ἐν τῇ θεϊκῇ καὶ ἐνδόξῳ αὐτοῦ μορφῇ, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὅτε καὶ οἱ σεραφὶμ ἐδοξολόγουν αὐτόν, λέγοντες· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ.[2]» Καὶ μετὰ ταῦτα ὁρᾷ αὐτὸν δούλου μορφὴν λαβόντα, καὶ ἐν ὁμοιώματι ἀνθρώπου γενόμενον. Διὰ τοῦτο λέγει· «Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν. Ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ· ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη· οὗτος τὰς μαλακίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. Καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ πληγῇ, καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν.[3]» Καὶ ἀλλαχοῦ λέγει περὶ αὐτοῦ· «Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει. Αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων.[4]» Καὶ πάλιν ἀλλαχοῦ λέγει· «Οὐκ ἄγγελος, οὐδὲ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.[5]» Ὁ δὲ Δαυὶδ λέγει· «Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.[6]» Οὗτος γὰρ ὁ ἄνθρωπος ὁ γεννηθεὶς ἐν αὐτῇ, αὐτός ἐστιν ὁ Ὕψιστος, καθὼς ἐν ἄλλῳ ψαλμῷ λέγει· «Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος· σὺ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.[7]» Ταῦτα δὲ ἀπὸ μέρους ἐγράψαμεν, ἵνα, καθὼς εἶπεν ὁ Ἀπόστολος, «Μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν τῇ πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάτης.[8]»

1. Ἠσ. 53, 2. 2. Ἠσ. 6, 3. 3. Ἠσ. 53, 2-5. 4. Ἠσ. 35, 4-5. 5. Ἠσ. 63, 9. 6. Ψαλμ. 86, 5. 7. Ψαλμ. 82, 19. 8. Ἐφ. 4, 14.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ*

1. Πιστεύομεν εἰς ἕνα ἀγέννητον Θεόν, Πατέρα παντοκράτορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων, τὸν ἔχοντα ἀφ' ἑαυτοῦ τὸ εἶναι· καὶ εἰς ἕνα μονογενῆ Λόγον, Σοφίαν, Υἱόν, ἐκ τοῦ Πατρὸς ἀνάρχως καὶ ἀιδίως γεγεννημένον, Λόγον δὲ οὐ προφορικόν, οὐκ ἐνδιάθετον, οὐκ ἀπόρροιαν τοῦ τελείου, οὐ τμῆσιν τῆς ἀπαθοῦς φύσεως, οὔτε προβολήν, ἀλλ' Υἱὸν αὐτοτελῆ, ζῶντά τε καὶ ἐνεργοῦντα, τὴν ἀληθινὴν εἰκόνα τοῦ Πατρός, ἰσότιμον καὶ ἰσόδοξον· τοῦτο γάρ ἐστι, φησί, τὸ θέλημα τοῦ Πατρός, Ἵνα, καθὼς τιμῶσι τὸν Πατέρα, οὕτω τιμῶσι καὶ τὸν Υἱόν·[1] Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὥς φησιν Ἰωάννης ἐν Καθολικαῖς τό· «Ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ ἡ αἰώνιος·[2]» παντοκράτορα ἐκ παντοκράτορος· πάντων γάρ, ὧν ἄρχει ὁ Πατὴρ καὶ κρατεῖ, ἄρχει καὶ κρατεῖ καὶ ὁ Υἱός· ὅλος ἐξ ὅλου, ὅμοιος τῷ Πατρὶ ὢν ὥς φησιν ὁ Κύριος· «Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα.[3]» Ἐγεννήθη δὲ ἀνεκφράστως καὶ ἀπερινοήτως· «Τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται;[4]» ἀντὶ τοῦ, οὐδείς· ὅς, ἐπὶ συντελείᾳ τῶν αἰώνων κατελθὼν ἐκ τῶν κόλπων τοῦ Πατρός, ἐκ τῆς ἀχράντου Παρθένου Μαρίας τὸν ἡμέτερον ἀνείληφεν ἄνθρωπον, Χριστὸν Ἰησοῦν, ὃν ὑπὲρ ἡμῶν παθεῖν παρέδωκεν ἰδίᾳ προαιρέσει, ὥς φησιν ὁ Κύριος. «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.[5]» Ἐν ᾧ ἀνθρώπῳ σταυρωθείς, καὶ ἀποθανὼν ὑπὲρ ἡμῶν, ἀνέστη ἐκ νεκρῶν, καὶ ἀνελήφθη εἰς οὐρανούς. Ἀρχὴ ὁδῶν κτισθεὶς ἡμῖν[6], ἐν τῇ γῇ ὤν, ἡμῖν ἔδειξεν ἐκ σκότους φῶς, σωτηρίαν ἐκ πλάνης, ζωὴν ἐκ νεκρῶν, εἴσοδον ἐν τῷ παραδείσῳ, ἐξ οὗ ἐκβέβληται Ἀδάμ, εἰς ὃν πάλιν εἰσῆλθε διὰ τοῦ λῃστοῦ, ὡς εἶπεν ὁ Κύριος· «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ·[7]» εἰς ὃν καὶ ὁ Παῦλος εἰσῄει· ἄνοδόν τε εἰς οὐρανούς, ὅπου πρόδρομος εἰσῆλθεν ὑπὲρ ἡμῶν ὁ Κυριακὸς ἄνθρωπος, ἐν ᾧ μέλλει κρίνειν ζῶντας καὶ νεκρούς.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Gompletus. Series Graeca, τ. 25, σ. 200 ἑξ.

1. Ἰω. 5, 23. 2. Α' Ἰω. 5, 20. 3. Ἰω. 14, 9. 4. Ἡσ. 53, 8. 5. Ἰω. 10, 18. 6. Πρβλ. Παρμ. 8, 22. 7. Λουκ. 22, 43.

2. Πιστεύομεν ὁμοίως καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ πάντα ἐρευνῶν καὶ τὰ βάθη τοῦ Θεοῦ[1], ἀναθεματίζοντες τὰ παρὰ τοῦτο φρονοῦντα δόγματα. Οὔτε γὰρ υἱοπάτορα φρονοῦμεν, ὡς οἱ Σαββέλλιοι λέγοντες μονοούσιον καὶ οὐχ ὁμοούσιον, καὶ ἐν τούτῳ ἀναιροῦντες τὸ εἶναι Υἱόν· οὔτε τὸ παθητὸν σῶμα, ὃ ἐφόρεσε διὰ τὴν τοῦ παντὸς κόσμου σωτηρίαν, ἀνατίθεμεν τῷ Πατρί· οὔτε τρεῖς ὑποστάσεις μεμερισμένας καθ' ἑαυτάς, ὥσπερ σωματοφυῶς ἐπ' ἀνθρώπων, ἔστι λογίσασθαι, ἵνα μὴ πολυθεΐαν, ὡς τὰ ἔθνη, φρονήσωμεν· ἀλλ' ὥσπερ ἐκ πηγῆς ποταμὸς γεγεννημένος οὐ διῃρέθη, καίτοι δύο σχήματα καὶ δύο ὀνόματα τυγχάνοντα. Οὔτε γὰρ ὁ Πατὴρ Υἱός ἐστιν, οὔτε ὁ Υἱὸς Πατήρ ἐστιν· ὁ γὰρ Πατήρ, Υἱοῦ Πατήρ ἐστι· καὶ ὁ Υἱός, Πατρὸς Υἱός ἐστιν. Ὡς γὰρ οὐκ ἔστιν ἡ πηγὴ ποταμός, οὐδὲ ὁ ποταμὸς πηγή, ἀμφότερα δὲ ἓν καὶ ταὐτόν ἐστιν ὕδωρ τὸ ἐκ τῆς πηγῆς εἰς τὸ ποταμὸν μετοχετευόμενον· οὕτως ἡ ἐκ τοῦ Πατρὸς εἰς τὸν Υἱὸν θεότης ἀρρεύστως καὶ ἀδιαιρέτως τυγχάνει. Φησὶ γὰρ ὁ Κύριος· «Ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω.[2]» Παρὰ δὲ τῷ Πατρί ἐστιν ἀεὶ ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός· οὐδέποτε δὲ ἐκενώθη ὁ κόλπος τοῦ Πατρὸς τῆς τοῦ Υἱοῦ θεότητος, φησὶ γάρ· «Ἐγὼ ἤμην παρ' αὐτῷ ἁρμόζουσα.[3]» Οὐ φρονοῦμεν δὲ κτίσμα ἢ ποίημα ἢ ἐξ οὐκ ὄντων τὸν τοῦ παντὸς κτίστην Θεὸν τὸν τοῦ Θεοῦ Υἱόν, τὸν ἐκ τοῦ ὄντος ὄντα, τὸν ἐκ τοῦ μόνου μόνον, ὡς συναπεγεννήθη ἐκ τοῦ Πατρὸς ἀιδίως ἡ ὁμοία δόξα καὶ δύναμις· ὁ γὰρ ἑωρακὼς τὸν Υἱὸν καὶ τὸν Πατέρα ἑώρακε.[4] Τὰ πάντα δηλονότι διὰ τοῦ Υἱοῦ ἐκτίσθησαν· ἀλλ' οὐκ ἔστιν αὐτὸς κτίσμα, ὥς φησιν ὁ Παῦλος περὶ τοῦ Κυρίου. «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, καὶ αὐτός ἐστι πρὸ πάντων.[5]» Οὐ λέγει δὲ ὅτι πρὸ πάντων ἐκτίσθη, ἀλλ' ὅτι πρὸ πάντων ἐστί· τὸ γοῦν ἐκτίσθαι ἐπὶ πάντων κεῖται· τὸ δέ, ἔστι πρὸ πάντων, μόνῳ τῷ Υἱῷ ἁρμόττει.

3. Γέννημα τοίνυν κατὰ φύσιν ἐκ τελείου τέλειόν ἐστι, πρὸ πάντων βουνῶν γεννηθέν, τουτέστι πρὸ πάσης λογικῆς καὶ νοερᾶς οὐσίας, ὡς καὶ ἐν ἑτέρῳ τόπῳ φησὶν αὐτὸν ὁ Παῦλος «πρωτότοκον πάσης κτίσεως.[6]» Ἀλλὰ πρωτότοκον εἰπών, δηλοῖ μὴ εἶναι αὐτὸν κτίσμα, ἀλλὰ γέννημα τοῦ Πατρός· ξένον γὰρ ἐπὶ τῆς θεότητος αὐτοῦ τὸ λέγεσθαι κτίσμα. Τὰ γὰρ πάντα ἐκτίσθησαν ὑπὸ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ· ὁ δὲ Υἱὸς μόνος ἐκ τοῦ Πατρὸς ἀιδίως ἐγεννήθη· διὸ πρωτότοκός ἐστι πάσης κτίσεως ὁ Θεὸς Λόγος, ἄτρεπτος ἐξ ἀτρέπτου. Ἔστι τοίνυν τὸ ὃ δι' ὑμᾶς ἐφόρεσε σῶμα κτίσμα περὶ οὗ λέγει Ἱερεμίας κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνευτῶν ἔκδοσιν· «Κύριος ἡμῖν ἔκτισεν εἰς καταφύτευμα σωτηρίαν καινήν, ἐν ᾗ σωτηρίᾳ περιελεύσονται ἄνθρωποι.[7]» Κατὰ δὲ τὸν Ἀκύλαν, περὶ τοῦ αὐτοῦ ῥητοῦ κεῖται· Ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ. Ἡ δὲ κτισθεῖσα ἡμῖν

1. Πρβλ. Α' Κορ. 2, 10. 2. Ἰω. 16, 28. 3. Παρμ. 8, 30. 4. Πρβλ. Ἰω. 14, 9. 5. Κολ. 1, 16, 17. 6. Κολ. 1, 15. 7. Ἱερ. 31, 22.

εἰς καταφύτευμα σωτηρία καινὴ καὶ οὐ παλαιά, ἡμῖν τε καὶ οὐ πρὸ ἡμῶν, Ἰησοῦς ἐστιν, ὁ κατὰ τὸν Σωτῆρα γενόμενος ἄνθρωπος, ὃς ἑρμηνεύεται πὴ μὲν σωτηρία, πὴ δὲ Σωτήρ. Ἔστι δὲ ἐκ τοῦ Σωτῆρος ἡ σωτηρία, ὃν τρόπον ἐκ τοῦ φωτὸς ὁ φωτισμός. Ἡ οὖν ἐκ τοῦ Σωτῆρος σωτηρία κτισθεῖσα καινή, καθὼς λέγει Ἱερεμίας, ἔκτισεν ἡμῖν σωτηρίαν, καὶ ὡς Ἀκύλας φησίν, Ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ, τουτέστιν ἐν τῇ Μαρίᾳ. Οὐδὲν γὰρ ἐκτίσθη καινὸν ἐν τῇ θηλείᾳ, εἰ μὴ τὸ ἐκ τῆς παρθένου Μαρίας τεχθὲν ἄνευ συνουσίας Κυριακὸν σῶμα, ὡς καὶ ἐν Παροιμίαις ἐκ προσώπου τοῦ Ἰησοῦ λέγει· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.[1]» Οὐ λέγει δέ, πρὸ ἔργων ἔκτισέ με, ἵνα μή τις εἰς τὴν θεότητα τοῦ Λόγου ἐκλάβοι τὸ ῥητόν.

4. Ἑκάτερα τοίνυν τὰ περὶ τὸ κτίσμα ῥητὰ σωματικῶς εἰς τὸν Ἰησοῦν γέγραπται· ἀρχὴ γὰρ ὁδῶν ἐκτίσθη ὁ Κυριακὸς ἄνθρωπος, ὃν εἰς σωτηρίαν ἡμῖν ἐφανέρωσε. «Διὰ τούτου γὰρ τὴν πρὸς τὸν Πατέρα ἔχομεν προσαγωγήν·[2]» αὐτὸς γάρ ἐστιν ἡ ὁδός, ἡ πρὸς τὸν Πατέρα ἀνάγουσα ἡμᾶς. Ὁδὸς δὲ σωματικόν τί ἐστι θέαμα, ἥτις ἐστὶν ὁ Κυριακὸς ἄνθρωπος. Τὰ πάντα γοῦν ἔκτισεν ὁ τοῦ Θεοῦ Λόγος οὐκ ὢν κτίσμα, ἀλλὰ γέννημα. Οὐδὲν γὰρ τῶν κτισμάτων ἔκτισέ τι ἴσον ἢ ὅμοιον ἑαυτῷ· Πατρὶ δὲ ἔοικε τὸ γεννᾶν, τεχνίτῃ δὲ τὸ κτίζειν. Ποίημα γοῦν ἐστι καὶ κτίσμα τὸ ὃ δι' ἡμᾶς ἐφόρεσε σῶμα ὁ Κύριος, «Ὃ ἐγεννήθη ἡμῖν», ὥς φησιν ὁ Παῦλος, «ἀπὸ Θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ δικαιοσύνη καὶ ἀπολύτρωσις·» καίπερ πρὸ ἡμῶν καὶ πάσης κτίσεως σοφία τοῦ Πατρὸς ἦν ὁ Λόγος καὶ ἔστι. Τὸ δὲ ἅγιον Πνεῦμα, ἐκπόρευμα ὂν τοῦ Πατρός, ἀεί ἐστιν ἐν ταῖς χερσὶ τοῦ πέμποντος Πατρὸς καὶ τοῦ φέροντος Υἱοῦ, δι' οὗ ἐπλήρωσε τὰ πάντα. Ὁ Πατήρ, συνέχων ἐξ ἑαυτοῦ τὸ εἶναι, ἐγέννησε τὸν Υἱόν, ὡς ἔφαμεν, καὶ οὐκ ἔκτισεν ὡς ποταμὸν ἀπὸ πηγῆς, καὶ ὡς βλαστὸν ἀπὸ ῥίζης, καὶ ὡς ἀπαύγασμα ἀπὸ φωτός, ἃ οἶδεν ἡ φύσις ἀδιαίρετα· δι' οὗ τῷ Πατρὶ δόξα, κράτος, μεγαλωσύνη πρὸ πάντων τῶν αἰώνων, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Παρμ. 8, 22. 2. Ἐφ. 2, 18.

ΕΙΣ ΤΟ ΠΑΝΤΑ ΜΟΙ ΠΑΡΕΔΟΘΗ ΥΠΟ ΤΟΥ ΠΑΤΡΟΣ ΜΟΥ *

καὶ οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ· καὶ τίς ἐστιν ὁ Πατὴρ εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ἀποκαλῦψαι.[1]

1. Καὶ τοῦτο οὐ νοήσαντες οἱ τῆς αἱρέσεως Ἀρείου Εὐσέβιός τε καὶ οἱ σὺν αὐτῷ, ἀσεβοῦσιν εἰς τὸν Κύριον· φασὶ γάρ· Εἰ τὰ πάντα παρεδόθη (πάντα λέγοντες τὴν κυριότητα τῆς κτίσεως), ἦν ποτε, ὅτε οὐκ εἶχεν αὐτά. Εἰ δὲ οὐκ εἶχεν, οὐκ ἔστιν ἐκ τοῦ Πατρός· Εἰ γὰρ ἦν, εἶχεν ἂν αὐτὰ ἀεὶ ἐξ αὐτοῦ ὤν, καὶ χρείαν οὐκ εἶχε τοῦ λαβεῖν αὐτά. Ἀλλὰ καὶ ἐκ τούτου μᾶλλον ἡ ἄνοια αὐτῶν ἐλεγχθήσεται. Οὐ γὰρ τοῦ ἄρχειν τῆς κτίσεως, ἢ τοῦ ἐπιστατεῖν τῶν ποιημάτων, σημαντικόν ἐστι τὸ ῥητόν, ἀλλά τινα νοῦν τῆς οἰκονομίας δηλῶσαι θέλει. Εἰ γάρ, ὅτε ἔλεγε, παρεδόθη αὐτῷ, δῆλον ὅτι πρὸ τοῦ λάβῃ, κενὴ ἦν ἡ κτίσις τοῦ Λόγου. Καὶ ποῦ τό, «Τὰ πάντα ἐπ' αὐτῷ συνέστηκεν; [2]» Εἰ δέ, ἅμα τῷ γενέσθαι τὴν κτίσιν, παρεδόθη αὐτῷ πᾶσα χρεία οὐκ ἦν παραδόσεως· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ περιττὸν τὸ παραδίδοσθαι τῷ Κυρίῳ ταῦτα, ὧν αὐτός ἐστι δημιουργός. Κύριος γὰρ ἦν τῶν γινομένων ἐν τῷ ποιεῖν αὐτά. Ἀλλὰ καὶ εἰ μετὰ τὸ γενέσθαι παρεδόθη αὐτῷ, σκόπει τὸ ἄτοπον. Εἰ γὰρ παρεδόθη, καὶ ἀνεχώρησεν ὁ Πατὴρ λαβόντος τούτου, καὶ κινδυνεύομεν εἰς τάς τινων μυθολογίας ἐμπεσεῖν, ὅτι, τούτῳ παραδούς, αὐτὸς ἀπέστη, Ἢ εἰ τοῦ Υἱοῦ ἔχοντος, ἔχει καὶ ὁ Πατήρ, ἔδει μὴ εἰπεῖν, παρεδόθη, ἀλλ' ὅτι προσελάβετο κοινωνόν, ὡς Παῦλος τὸν Σιλουανόν. Ἀλλὰ καὶ μᾶλλον ἄτοπον τοῦτο· οὐ γὰρ ἐνδεὴς ὁ Θεὸς οὐδὲ διὰ χρείαν προσελάβετο τὸν Υἱὸν εἰς βοήθειαν· ἀλλά, Πατὴρ ὢν τοῦ Λόγου, πάντα δι' αὐτοῦ ποιεῖ, καὶ οὐ παραδίδωσιν αὐτῷ κτίσιν, ἀλλὰ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τῆς κτίσεως προνοεῖ, ὥστε μηδὲ στρουθίον ἄνευ τοῦ Πατρὸς πεσεῖν εἰς τὴν γῆν [3], μηδὲ τὸν χόρτον ἀμφιέννυσθαι ἄνευ τοῦ Θεοῦ [4], ἀλλὰ καὶ ἐργαζομένου τοῦ Πατρός, ἐργάζεσθαι καὶ τὸν Υἱὸν ἕως ἄρτι.[5] Οὐκοῦν τῶν ἀσεβῶν τὸ φρόνημα μάταιον. Οὐ γάρ, ὡς νοοῦσιν, ἔστιν, ἀλλὰ τῆς κατὰ σάρκα οἰκονομίας ἐστὶ δηλωτικὸν τὸ ῥητόν.

2. Ἐπειδὴ γὰρ ἥμαρτε καὶ πέπτωκεν ὁ ἄνθρωπος, καὶ πεσόντος αὐτοῦ τὰ πάντα τετάρακται, «ὁ θάνατος ἴσχυεν ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως [6]», ἡ γῆ κεκατήραται, ὁ ᾅδης ἠνοίγη, ὁ παράδεισος ἐκλείσθη, ὁ οὐρανὸς ἐθυμώθη, καὶ τέλος ἐφθάρη ὁ ἄνθρωπος καὶ ἀπεκτηνώ-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 208-220.

1. Ματθ. 11, 27. 2. Κολ. 1, 17. 3. Πρβλ. Ματθ. 10, 29. 4. Πρβλ. Ματθ. 6, 30. 5. Πρβλ. Ἰω. 5, 17. 6. Ῥωμ. 5, 14.

θη [1], ὁ δὲ διάβολος ἐνήλλετο καθ' ἡμῶν. Τότε δὴ ὁ Θεὸς φιλάνθρωπος ὢν καὶ μὴ θέλων ἀπολέσθαι τὸν κατ' εἰκόνα ἄνθρωπον, ἔλεγε· «Τίνα ἀποστελῶ, καὶ τίς πορεύσεται; [2]» Πάντων τε σιωπώντων, ὁ Υἱὸς ἔλεγεν· «'Ιδοὺ ἐγώ, ἀπόστειλόν με· [3]» καὶ δὴ τότε λέγων, βάδιζε, παρέδωκεν αὐτῷ τὸν ἄνθρωπον, ἵνα γένηται αὐτὸς ὁ Λόγος σάρξ, καὶ παραλαβὼν τὴν σάρκα κατὰ πάντα διορθώσηται. Παρεδόθη γὰρ αὐτῷ, ὡς ἰατρῷ, θεραπεῦσαι τὸ δῆγμα τοῦ ὄφεως· ὡς ζωῇ, ἀνεγεῖραι τὸ νεκρόν· ὡς φωτί, καταυγάσαι τὸ σκότος· καὶ λόγῳ ὄντι, ἀνακαινίσαι τὸ λογικόν· 'Ως γοῦν παρεδόθη αὐτῷ τὰ πάντα, καὶ γέγονε ἄνθρωπος, εὐθὺς διωρθώθη καὶ ἐτελειώθη τὰ ὅλα· ἡ γῆ ἀντὶ κατάρας εὐλόγηται, ὁ παράδεισος ἠνοίγη τῷ λῃστῇ, ὁ ᾅδης ἔπτηξε, καὶ τὰ μνημεῖα ἠνοίγη, ἐγειρομένων τῶν νεκρῶν, αἱ πύλαι τοῦ οὐρανοῦ ἐπήρθησαν [4], ἵν' ὁ ἐξ 'Εδὼμ παραγένηται.[5] 'Αμέλει τὸ πῶς παρεδόθη αὐτῷ πάντα, σημᾶναι θέλων αὐτὸς ὁ Σωτήρ, ἐπήγαγεν εὐθὺς ὡς ὁ Ματθαῖός φησιν· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, καγὼ ἀναπαύσω ὑμᾶς· [6]» παρεδόθητε γάρ μοι, ἵνα κοπιάσαντας ἀναπαύσω, καὶ νεκρωθέντας ζωοποιήσω. Συνᾴδει δὲ τούτῳ καὶ τὸ παρὰ τῷ 'Ιωάννῃ κείμενον· «'Ο Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.[7]» Δέδωκε γάρ, ἵν' ὥσπερ δι' αὐτοῦ τὰ πάντα γέγονεν, οὕτως ἐν αὐτῷ τὰ πάντα ἀνακαινισθῆναι δυνηθῇ. Οὐ γάρ, ἵν' ἐκ πτωχοῦ πλούσιος γένηται, παρεδόθη αὐτῷ, οὐδ' ἵνα, ὡς μὴ ἔχων ἐξουσίαν, λάβῃ ἐξουσίαν, παρέλαβε τὰ πάντα, μὴ γένοιτο! ἀλλ' ἵνα μᾶλλον, ὡς Σωτήρ, τὰ πάντα διορθώσηται. Ἔπρεπε μὲν γὰρ τὴν μὲν ἀρχὴν τῆς δημιουργίας «δι' αὐτοῦ [8]» γενέσθαι εἰς τὸ εἶναι αὐτά, τὴν δὲ διόρθωσιν «ἐν αὐτῷ [9]» ἐχουσῶν διαφορὰν τῶν λέξεων. 'Εν ἀρχῇ μὲν γὰρ δι' αὐτοῦ γέγονεν εἰς τὸ εἶναι· ὕστερον δέ, πεσόντων πάντων, γέγονε ὁ Λόγος σάρξ, καὶ ἐνεδύσατο αὐτήν, ἵν' ἐν αὐτῷ τὰ ὅλα κατορθωθῇ. Πάσχων γὰρ αὐτὸς ἡμᾶς ἀνέπαυσε καὶ πεινῶν αὐτὸς ἡμᾶς ἔτρεφε, καὶ εἰς τὸν ᾅδην καταβαίνων ἡμᾶς ἀνέφερε. Τότε γοῦν γινομένων πάντων πρόσταγμα ἦν τὸ γενέσθαι, οἷον τό, ἐξαγαγέτω, καί, γενέσθω· [10] ἐπὶ δὲ τῇ διορθώσει παραδοθῆναι πάντα ἔπρεπεν, ἵν αὐτὸς γένηται ἄνθρωπος, καὶ ἐν αὐτῷ τὰ πάντα ἀνακαινισθῇ. 'Εν αὐτῷ γὰρ ὢν ὁ ἄνθρωπος, ἐζωοποιεῖτο· διὰ τοῦτο γὰρ συνεπλάκη ὁ Λόγος τῷ ἀνθρώπῳ, ἵνα ἡ κατάρα μηκέτι ἰσχύσῃ κατὰ τοῦ ἀνθρώπου. Διὰ τοῦτο γὰρ καὶ ἐν ἑβδομηκοστῷ πρώτῳ ψαλμῷ τοὺς ἀξιοῦντάς φασι τὸν Θεὸν περὶ τοῦ ἀνθρωπείου γένους, «'Ο Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός [11]», ἵνα καὶ τὸ καθ' ἡμῶν κρῖμα τοῦ θανάτου, ὅπερ ἦν καθ' ἡμῶν, παραδοθῇ τῷ Υἱῷ, καὶ λοιπὸν αὐτὸς ἐν αὐτῷ αὐτὸ ἐξαφανίσῃ, ἀποθανὼν ὑπὲρ ἡμῶν. Τοῦτο γὰρ σημαίνων καὶ αὐτὸς ἔλεγεν

1. Πρβλ. Ψαλμ. 48, 13. 2. 'Ησ. 6, 8. 3. 'Ησ. 6, 8. 4. Πρβλ. Ψαλμ. 23, 7. 5. Πρβλ. 'Ησ. 63, 1. 6. Ματθ. 11, 28. 7. 'Ιω. 3, 35. 8. 'Ιω. 1, 3. 9. 'Εφ. 1, 10. 10. Γεν. 1, 3 ἑξ. 11. Ψαλμ. 71, 2.

ἐν τῷ ὀγδοηκοστῷ ἑβδόμῳ ψαλμῷ· «Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου.[1]» Τὸν γὰρ καθ' ἡμῶν θυμὸν αὐτὸς ἐβάσταζεν, ὡς καὶ ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἑβδόμῳ φησί· «Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ.[2]»

3. Οὕτω μὲν οὖν πάντα παραδεδόσθαι τῷ Σωτῆρι νοεῖν ἔξεστι, καὶ εἰ δεῖ νοήσαντα πάλιν εἰπεῖν, παραδέδοται αὐτῷ ἅπερ οὐκ εἶχεν. Οὐ γὰρ ἦν ἄνθρωπος πρὸ τούτου, ἀλλὰ γέγονε διὰ τὸ σῶσαι τοῦτον. Καὶ οὐκ ἦν ἐν ἀρχῇ σὰρξ ὁ Λόγος, ἀλλ' ὕστερον γέγονε σάρξ, ἐν ᾗ καὶ τὴν πρὸς ὑμᾶς ἔχθραν διήλλαξε κατὰ τὸν Ἀπόστολον, «καὶ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι κατήργησεν[3]», ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Ἃ μέντοι ἔχει ὁ Πατήρ, ταῦτα καὶ τοῦ Υἱοῦ ἐστιν, ὡς ἐν τῷ Ἰωάννῃ φησί· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι[4]», πάνυ γε καλῶς ἐχόντων τῶν ῥημάτων. Ὅτε μὲν γὰρ ὅπερ οὐκ ἦν ἐγίνετο, παραδίδοται αὐτῷ τὰ πάντα· ὅτε δὲ τὴν πρὸς τὸν Πατέρα ἑνότητα σημᾶναι βούλεται, οὐ κρύπτει, ἀλλὰ διδάσκει λέγων· Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι. Καὶ τὴν ἀκρίβειαν χρὴ θαυμάζειν τοῦ λόγου. Οὐ γὰρ εἴρηκε, Πάντα ὅσα ἔχει ὁ Πατήρ, δέδωκέ μοι, ἵνα μή, ὥς ποτε μὴ ἔχων, δειχθῇ· ἀλλ' ὅτι ἐμά ἐστιν. Ὄντων γὰρ ἐν τῇ τοῦ Πατρὸς ἐξουσίᾳ τούτων, ἔστιν ὁμοίως ἐν τῇ τοῦ Υἱοῦ. Τί δὲ ἔχει ὁ Πατήρ, ἐξεταστέον πάλιν. Εἰ μὲν γὰρ τὴν κτίσιν σημαίνει, οὐδὲν ἄρα εἶχε πρὸ τῆς κτίσεως, καὶ φαίνεται προσλαμβάνων ἀπὸ τῆς κτίσεως. Ἀλλὰ μὴ γένοιτο τοῦτο νοεῖν! Ὡς γάρ ἐστιν αὐτὸς πρὸ τῆς κτίσεως, οὕτω καὶ πρὸ τῆς κτίσεως ἔχει ἅπερ ἔχει, ἅτινα καὶ τοῦ Υἱοῦ εἶναι πιστεύομεν. Εἰ γὰρ ἐν τῷ Πατρὶ ὁ Υἱός, ἄρα ἂν τὰ πάντα, ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ ἐστιν. Ἀνατρέπον δὲ τὸ ῥητόν ἐστι τοῦτο τὴν τῶν κακοδόξων πονηρίαν λεγόντων· Εἰ πάντα παραδέδοται τῷ Υἱῷ, ἄρα πέπαυται ὁ Πατὴρ τῆς τῶν παραδοθέντων ἐξουσίας, ἐπειδὴ κατέστησεν ἀνθ' ἑαυτοῦ τὸν Υἱόν· Καὶ γὰρ ὁ Πατὴρ οὐδένα κρίνει, πᾶσαν δὲ τὴν κρίσιν δέδωκε τῷ Υἱῷ. Ἀλλ' ἐμφραττέσθω «τὰ στόματα τῶν λαλούντων τὰ ἄδικα·[5]» «οὐ γάρ, ἐπειδὴ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ[6]», αὐτὸς τῆς δεσποτείας ἐψίλωται· οὐδ' ὅτι πάντα παραδεδόσθαι τῷ Υἱῷ παρὰ τοῦ Πατρὸς εἴρηται, αὐτὸς οὐκ ἔστιν ἐπὶ πάντων· χωριζόντων δὲ σαφῶς τὸν Μονογενῆ τοῦ Θεοῦ τὸν ἀχώριστον τῇ φύσει, εἰ καὶ τοῖς λόγοις οὗτοι μεμηνότες χωρίζουσιν, οὐ νοοῦντες οἱ δυσσεβεῖς, ὡς οὐκ ἂν χωρισθείη ποτὲ τὸ φῶς τοῦ ἡλίου, ἀλλ' ἔστιν ἐν αὐτῷ φυσικῶς. Ἀπὸ γὰρ τῶν ἐν χερσὶ καὶ συνήθων εἰκόνι πτωχῇ χρησαμένους, τὸ νοούμενον παραστῆσαι τῷ λόγῳ δεῖ, ἐπειδὴ τολμηρὸν ἐμβατεύειν τὴν ἀπερινόητον φύσιν.

4. Ὡς οὐκ ἂν τοίνυν ποτὲ τὸ ἐξ ἡλίου φῶς τὴν οἰκουμένην καταλάμπον χωρὶς αὐτοῦ περιλάμπειν δυνατὸν νοηθῆναι παρὰ τοῖς

---

1. Ψαλμ. 87, 8. 2. Ψαλμ. 137, 8. 3. Ἐφ. 2, 15. 4. Ἰω. **16, 15.**
5. Ψαλμ. 62, 12. 6. Ἰω. 5, 22.

ἐρρωμένοις τὸν νοῦν, ἐπειδὴ ἥνωται τῇ φύσει τοῦ ἡλίου τὸ ἐξ αὐτοῦ φῶς, καὶ ὡς εἰ λέγοι τὸ φῶς. Πάντα καταλάμπειν παρείληφα παρὰ τοῦ ἡλίου, καὶ πάντα αὔξειν καὶ ἐνισχύειν διὰ τῆς ἐν ἐμοὶ θερμότητος· οὐ χωρίζειν τις μεμηνὼς νοήσει τὴν τοῦ ἡλίου ὀνομασίαν τῆς ἐξ αὐτοῦ φύσεως, ἥ ἐστι τὸ φῶς· οὕτω νοεῖν εὐσεβὲς καὶ τὴν θείαν οὐσίαν τοῦ Λόγου ἡνωμένην φύσει τῷ ἑαυτοῦ Πατρί. Καὶ γὰρ τὸ ἐν χερσὶ ῥητὸν τὴν σαφήνειαν παρέξει τοῦ ζητουμένου σαφεστάτην, εἰπόντος τοῦ Σωτῆρος· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν», ὃ δηλοῖ αὐτὸν ἀεὶ εἶναι σὺν τῷ Πατρί· τὸ γάρ, ὅσα ἔχει, τὴν δεσποτείαν κρατεῖν δείκνυσι τὸν Πατέρα· τὸ δέ, ἐμά ἐστι, τὴν ἀχώριστον ἕνωσιν. Ἀνάγκη τοίνυν νοεῖν ἡμᾶς ὅτι ἔστιν ἐν τῷ Πατρὶ τὸ ἀίδιον, τὸ αἰώνιον, τὸ ἀθάνατον· ἔστι δὲ ἐν αὐτῷ οὐχ ὡς ἀλλότρια αὐτοῦ, ἀλλ' ὡς ἐν πηγῇ ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα καὶ ἐν τῷ Υἱῷ. Ὅταν τοίνυν περὶ Υἱοῦ νοεῖν ἐθέλῃς μαθὼν τίνα ἐστὶ τὰ ἐν τῷ Πατρί, ταῦτα καὶ ἐν τῷ Υἱῷ εἶναι πίστευε. Εἰ μὲν οὖν κτίσμα ἐστὶν ὁ Πατὴρ ἢ ποίημα, ἔστι ταῦτα καὶ ἐν τῷ Υἱῷ· καὶ εἰ θεμιτὸν εἰπεῖν ἐπὶ τοῦ Πατρός, ἦν ποτε, ὅτε οὐκ ἦν, ἢ ἐξ οὐκ ὄντων· λεγέσθω τοῦτο καὶ ἐπὶ τοῦ Υἱοῦ. Εἰ δὲ ἀσεβές ἐστι ταῦτα λέγειν ἐν τῷ Πατρὶ εἶναι, ἀσεβὲς ἔστω καὶ ἐν τῷ Υἱῷ ταῦτα νοεῖν. Τὰ γὰρ τοῦ Πατρός, ταῦτα τοῦ Υἱοῦ ἐστιν. Ὁ γὰρ τιμῶν τὸν Υἱὸν τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν, καὶ ὁ δεχόμενος τὸν Υἱόν, δέχεται σὺν αὐτῷ τὸν Πατέρα·[1] «ὁ γὰρ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα.[2]» Ὡς οὖν οὐκ ἔστι κτίσμα ὁ Πατήρ, οὕτως οὐδὲ ὁ Υἱός· καὶ ὡς οὐκ ἔστιν εἰπεῖν ἐπ' αὐτοῦ, ἦν ποτε, ὅτε οὐκ ἦν, ἢ ἐξ οὐκ ὄντων, οὕτως οὐχ ἁρμόζει, οὐδ' ἐπὶ τοῦ Υἱοῦ λέγειν τὸ αὐτό. Ἀλλὰ μᾶλλον ὡς ἐν τῷ Πατρὶ τὸ ἀίδιον, τὸ ἀθάνατον, τὸ ἀεί, τὸ μὴ κτίσμα· οὕτω καὶ περὶ Υἱοῦ φρονεῖν ἀκόλουθον. Κατὰ γὰρ τὸ γεγραμμένον, «Καθὼς ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχει ἐν ἑαυτῷ.[3]» Δέδωκε δὲ εἴρηκεν, ἵνα τὸν διδόντα Πατέρα δείξῃ. Ὡς δὲ ἐν τῷ Πατρί, οὕτω καὶ ἐν τῷ Υἱῷ ἐστιν ἡ ζωή, ἵνα τὸ ἀδιαίρετον καὶ ἀίδιον διδάξῃ. Διὰ τοῦτο γὰρ καὶ ἀκριβῶς εἴρηκεν, Ὅσα ἔχει ὁ Πατήρ, ἵνα, καὶ ὧδε λέγων τὸν Πατέρα, μὴ καὶ αὐτὸς Πατὴρ νομισθῇ. Οὐ γὰρ εἴρηκεν, Ἐγώ εἰμι ὁ Πατήρ, ἀλλ', Ὅσα ἔχει ὁ Πατήρ.

5. Πατὴρ μὲν γάρ, ὦ Ἀρειανοί, παρὰ τοῦ Πατρὸς χρηματίζει ὁ μονογενὴς Υἱὸς αὐτοῦ, οὐ μὴν ὡς ὑμεῖς πλανώμενοι ἴσως ἂν ὑπολάβοιτε, ἀλλ' Υἱὸς μὲν τοῦ γεννήσαντος Πατρός, πατὴρ δὲ τοῦ μέλλοντος αἰῶνος. Δεῖ γὰρ ὑμῶν πάσας τὰς ὑπονοίας περιελεῖν. Φησὶ γοῦν διὰ τοῦ προφήτου· «Ἐγεννήθη ἡμῖν Υἱός, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, πατὴρ τοῦ μέλλοντος αἰῶνος.[4]» Οὐκοῦν καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος ὁ Μονογενής,

1. Πρβλ. Ματθ. 10, 40. 2. Ἰω. 14, 9. 3. Ἰω. 5, 26. 4. Ἡσ. 9, 6.

καὶ Θεὸς ἰσχυρός, καὶ ἐξουσιαστὴς ὁ Υἱὸς ὑπάρχει τοῦ Θεοῦ· καὶ σαφῶς δέδεικται, ὅτι πάντα, ὅσα ἔχει ὁ Πατήρ, αὐτοῦ ἐστι, καὶ καθὼς ζωὴν δίδωσιν ὁ Πατήρ, καὶ τῷ Υἱῷ ὁμοίως πάρεστιν οὓς θέλει ζωοποιεῖν. «Ἀκούσονται γάρ», φησί, «τῆς φωνῆς τοῦ Υἱοῦ οἱ νεκροί, καὶ ζήσονται.[1]» Καὶ ἓν θέλημα Πατρὸς καὶ Υἱοῦ καὶ βούλημα, ἐπεὶ καὶ ἡ φύσις μία καὶ ἀδιαίρετος. Καὶ περισσῶς οἱ Ἀρειανοὶ κόπτουσιν ἑαυτούς, μὴ νοοῦντες τὸ εἰρημένον πρὸς τοῦ Σωτῆρος ἡμῶν, τό, Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν. Ἐκ γὰρ τούτου, καὶ ἡ Σαβελλίου ἀνατρέπεται παραφροσύνη, καὶ τῶν νῦν Ἰουδαίων ἐλέγξει τὴν ἄνοιαν. Διὰ γὰρ τοῦτο ζωὴν ἔχων ἐν ἑαυτῷ ὁ Μονογενής, ὡς ὁ Πατὴρ ἔχει, καὶ μόνος οἶδε τίς ἐστιν ὁ Πατήρ, ἐν τῷ Πατρὶ ὤν, καὶ ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα. Εἰκὼν γάρ ἐστι, καὶ ἀκολούθως, ὡς ἐν εἰκόνι, πάντα τὰ τοῦ Πατρὸς ἐν αὐτῷ ἐστι. Σφραγὶς γάρ ἐστιν ἰσότυπος ἐν αὐτῷ δεικνὺς τὸν Πατέρα, Λόγος ζῶν, ἀληθινός, δύναμις, σοφία, ἁγιασμός, καὶ ἀπολύτρωσις ἡμῶν. «Ἐν αὐτῷ γὰρ καὶ ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν·[2]» καί, «Οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Πατὴρ εἰ μὴ ὁ Υἱός, καὶ τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ.[3]»

6. Καὶ πῶς τολμῶσιν οἱ δυσσεβεῖς φλυαρεῖν, ἃ μὴ θέμις, ἄνθρωποι ὄντες, καὶ τὰ ἐπὶ γῆς οὐχ εὑρίσκοντες διηγήσασθαι; Τί δὲ λέγω τὰ ἐπὶ γῆς; τὰ ἑαυτῶν ἡμῖν εἰπάτωσαν, εἰ ἄρα εὑρεῖν δυνήσονται τὴν ἑαυτῶν ἐξιχνιάσαι φύσιν. Τολμηροὶ ὄντως καὶ αὐθάδεις, δόξας οὐ τρέμοντες, ἔνθα «ἐπιθυμοῦσιν ἄγγελοι παρακῦψαι[4]», καὶ τοσούτῳ καὶ τὴν φύσιν καὶ τὴν τάξιν ἀνώτεροι. Τί γὰρ ἐγγύτερον τῶν χερουβὶμ ἢ τῶν σεραφίμ; καὶ ὅμως οὐδὲ ὁρῶντα, ἢ ποσὶν ἑστῶτα, ἀλλ᾿ οὐδὲ γυμνοῖς, κεκαλυμμένοις δὲ ὥσπερ καὶ τοῖς προσώποις τὴν δοξολογίαν προσφέρουσιν, ἀπαύστοις τοῖς χείλεσιν οὐδὲν ἕτερον ἢ τὴν θείαν καὶ ἄφραστον φύσιν τῇ τρισαγιότητι δοξάζοντα. Καὶ οὐδαμοῦ τις τῶν θεσπεσίων προφητῶν, τῶν μάλιστα καταξιωθέντων τῆς τοιαύτης θέας, ἀπήγγειλεν ἡμῖν, ὅτι ἐν μὲν τῷ ἅπαξ εἰπεῖν τό, ἅγιος, μεγάλῃ τῇ φωνῇ, ἐν δὲ τῷ δευτερῶσαι, ἧσσον, ἐν δὲ τῷ τρισσεῦσαι, ὑποβεβηκότως· καὶ μετὰ τοῦτο τὸν πρῶτον ἁγιασμὸν κυριολογοῦντα, τὸν δὲ δεύτερον ὑποτάσσοντα, καὶ τὸν τρίτον κατώτερον τιθέντα. Ἀλλ᾿ ἄπαγε τῆς ἀνοίας τῶν θεοστυγῶν καὶ ἀφρόνων! Ἡ γὰρ πανύμνητος καὶ σεβάσμιος καὶ προσκυνητὴ Τριὰς μία καὶ ἀδιαίρετος καὶ ἀσχημάτιστος. Συνάπτεται δὲ ἀσυγχύτως, ὥσπερ καὶ ἀτμήτως ἡ μονὰς χωρίζεται. Τὸ γὰρ τρίτον τὰ τίμια ζῷα ταῦτα προσφέρειν τὴν δοξολογίαν Ἅγιος, ἅγιος, ἅγιος λέγοντα, τὰς τρεῖς ὑποστάσεις τελείας δεικνύντα ἐστίν, ὡς καὶ ἐν τῷ λέγειν τό, Κύριος, τὴν μίαν οὐσίαν δηλοῦσιν. Οἱ τοίνυν ἐλασσοῦντες τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν εἰς Θεὸν βλασφημοῦσι, τὴν τελειότητα κακοδοξοῦντες, καὶ ἀτελῆ διαβάλλοντες· καὶ κο-

1. Ἰω. 5, 25. 2. Πράξ. 17, 28. 3. Πρβλ. Ματθ. 11, 27. 4. Α' Πέτρ. 1, 12.

λάσεως μεγίστης ἑαυτοὺς ὑπευθύνους καθιστῶσιν. Ὁ γὰρ εἰς ὁποτέραν τῶν ὑποστάσεων βλασφημιῶν οὐχ ἕξει ἄφεσιν οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι. Δυνατὸς δέ ἐστιν ὁ Θεὸς ἀνοῖξαι τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτῶν πρὸς κατανόησιν τοῦ ἡλίου τῆς δικαιοσύνης· ἵν', ἐπιγνόντες, ὃ πάλαι ἠθέτουν, συντόνῳ τῷ τῆς εὐσεβείας λογισμῷ σὺν ἡμῖν αὐτὸν δοξάσωσιν, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, τοῦ Πατρός, καὶ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΠΕΡΙ ΠΙΣΤΕΩΣ ΛΟΓΟΣ Ο ΜΕΙΖΩΝ*

1. Τὸ γάρ, ἦν [1], ἐπὶ τῆς θεότητος αὐτοῦ ἀναφέρεται· τὸ δέ, σὰρξ ἐγένετο, ἐπὶ τοῦ σώματος. Ὁ Λόγος σὰρξ ἐγένετο [2], οὐκ εἰς σάρκα ἀναλυθείς, ἀλλὰ σάρκα φορέσας· ὡς δ' ἂν εἴποι τις· Ὁ δεῖνα γέγονε γέρων, οὐκ ἐξ ἀρχῆς γεννηθείς· ἤ, Ὁ στρατιώτης βετεράνος ἐγένετο, οὐ πρότερον τοιοῦτος ὤν, οἷος γέγονεν. Ἰωάννης, «Ἐγενόμην», φησίν, «ἐν τῇ νήσῳ τῇ Πάτμῳ, ἐν τῇ ἡμέρᾳ Κυριακῇ· [3]» οὐχ ὅτι ἐκεῖ γέγονεν, ἢ γεγένηται· ἀλλ' εἶπεν, Ἐγενόμην ἐν Πάτμῳ, ἀντὶ τοῦ, Παρεγενόμην. Οὕτως ὁ Λόγος εἰς σάρκα παραγέγονεν, ὡς λέλεκται· «Ὁ Λόγος σὰρξ ἐγένετο.» Ἄκουσον λέγοντος· «Ἐγενόμην ὡσεὶ σκεῦος ἀπολωλός [4]», καί, «Ἐγενόμην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.[5]»

2. Τὸ ἐγειρόμενον ἐκ νεκρῶν ἄνθρωπος ἦν, ἢ Θεός; Ἑρμηνεύει Πέτρος ὁ ἀπόστολος, ἡμῶν μᾶλλον γινώσκων, καὶ λέγει· «Καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον· ὁ δὲ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν.[6]» Τὸ γοῦν ἀπὸ τοῦ ξύλου καθαιρεθὲν σῶμα νεκρὸν τοῦ Ἰησοῦ καὶ εἰς μνημεῖον τεθέν, ἐνταφιασθέν τε ὑπὸ Ἰωσὴφ τοῦ Ἀριμαθείας, αὐτὸ ἤγειρεν ὁ Λόγος λέγων· «Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[7]» Ὁ γὰρ πάντας τοὺς νεκροὺς ζωοποιῶν καὶ τὸν ἐκ Μαρίας ἄνθρωπον Χριστὸν Ἰησοῦν ἐζωοποίησεν, ὃν ἀνείληφεν. Εἰ γάρ, ἐπὶ σταυροῦ ὤν, τὰ προδιαλυθέντα νεκρὰ τῶν ἁγίων ἤγειρε σώματα, πολλῷ μᾶλλον ἐγεῖραι δύναται, ὃ ἐφόρεσε σῶμα, ὁ ἀεὶ ζῶν Θεὸς Λόγος, ὥς φησιν ὁ Παῦλος· «Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργής.[8]»

3. Ζωὴ ἀποθανεῖν οὐ δύναται, μᾶλλον δὲ τοὺς νεκροὺς ζωοποιεῖ. Ἔστι τοίνυν καὶ πηγὴ ζωῆς τῇ ἐκ Πατρὸς θεότητι· ἄνθρωπος δὲ ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθεὶς ἐκ νεκρῶν, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, ὁ ἐκ Παρθένου Μαρίας, ὃν ἡ τοῦ Λόγου θεότης δι' ἡμᾶς ἀνείληφε. Τὸ γοῦν γεγράφθαι, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, φανερῶς τὴν θεότητα δηλοῖ. Τὸ δέ, Ὁ Λόγος σὰρξ ἐγένετο, τὸ ἀνθρώπινον τοῦ Κυρίου δείκνυσιν.

4. Ἐγένετο Λάζαρον ἀσθενήσαντα ἀποθανεῖν· ὁ δὲ Κυριακὸς ἄνθρωπος οὐκ ἄκων, οὐδὲ ἀσθενήσας ἀπέθανεν· ἀλλ' ἀφ' ἑαυτοῦ ἦλθεν

---

1. Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 26, σ. 1264.

1. Ἰω. 1, 1. 2. Ἰω. 1, 14. 3. Ἀποκ. 1, 9. 4. Ψαλμ. 30, 13. 5. Ψαλμ. 87, 5. 6. Πράξ. 13, 29. 7. Ἰω. 2, 19. 8. Ἑβρ. 4, 12.

ἐπὶ τὴν τοῦ θανάτου οἰκονομίαν, στερεοποιούμενος ὑπὸ τοῦ ἐν αὐτῷ ἐνοικήσαντος Θεοῦ Λόγου, τοῦ εἰπόντος· «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ. Ἀπ' ἐμαυτοῦ αὐτὴν τίθημι· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[1]» Ἡ θεότης οὖν ἐστι τοῦ Υἱοῦ ἡ τιθεῖσα καὶ λαμβάνουσα τὴν ψυχὴν οὗ ἐφόρεσεν ἀνθρώπου. Πλήρη γὰρ ἀνείληφε τὸν ἄνθρωπον, ἵνα καὶ πλήρη αὐτὸν καὶ σὺν αὐτῷ τοὺς νεκροὺς ζωοποιήσῃ.

5. Αὐτὸς γὰρ δυνατὸς ὢν καὶ δημιουργὸς τῶν ὅλων, ἐν τῇ Παρθένῳ κατασκευάζει αὐτῷ ναὸν τὸ σῶμα, καὶ ἰδιοποιεῖται τοῦτο ὥσπερ ὄργανον, ἐν αὐτῷ γνωριζόμενος καὶ ἐνοικῶν. Τούτου ἕνεκεν τὸ δυνάμενον ἀποθανεῖν ἑαυτῷ λαμβάνει σῶμα· ἵνα τοῦτο, τοῦ Θεοῦ Λόγου μεταλαβόν, ἀντὶ πάντων ἱκανὸν γένηται τῷ θανάτῳ, καὶ διὰ τὸν ἐνοικήσαντα Λόγον ἄφθαρτον διαμείνῃ.

6. Ὑπὲρ πάντας γὰρ ὢν ὁ Λόγος τοῦ Θεοῦ, εἰκότως τὸν ἑαυτοῦ ναὸν καὶ τὸ σωματικὸν ὄργανον προσαγαγὼν ἀντίψυχον ὑπὲρ πάντων, ἐπλήρου τὸ ὀφειλόμενον ἐν τῷ θανάτῳ· καὶ ὡς συνὼν δὲ διὰ τοῦ ὁμοίου τοῖς πᾶσιν ὁ ἄφθαρτος τοῦ Θεοῦ Υἱός, εἰκότως τοὺς πάντας ἐνέδυσεν ἀφθαρσίαν ἐν τῇ τῆς ἀναστάσεως ἐπαγγελίᾳ· καὶ αὐτὴ ἡ ἐν τῷ θανάτῳ φθορά, κατὰ τὸν ἄνθρωπον, οὐκέτι χώραν ἔχει, διὰ τὸν ἐνοικήσαντα Λόγον ἐν τούτοις διὰ τοῦ ἑνὸς σώματος. Καὶ ὥσπερ μεγάλου βασιλέως εἰσελθόντος εἴς τινα πόλιν μεγάλην, καὶ οἰκήσαντος εἰς μίαν τῶν ἐν αὐτῇ οἰκιῶν, πάντως ἡ τοιαύτη πόλις πολλῆς τιμῆς ἀξιοῦται, καὶ οὐκέτι τις ἐχθρὸς αὐτὴν ἢ ληστὴς ἐπιβαίνων καταστρέφει, πάσης δὲ μᾶλλον ἐπιμελείας ἀξιοῦται διὰ τὸν εἰς μίαν αὐτῆς οἰκίαν οἰκήσαντα βασιλέα, οὕτω καὶ ἐπὶ τοῦ ἡμετέρου Σωτῆρος γέγονεν. Ἐλθόντος γὰρ αὐτοῦ εἰς τὴν ἡμετέραν χώραν, καὶ οἰκήσαντος εἰς ἓν τῶν ὁμοίων σωμάτων, λοιπὸν πᾶσα κατὰ τὸν ἄνθρωπον ἐπιβουλὴ [ἐπιβολὴ] πέπαυται.

7. Οὐ γὰρ περικεκλεισμένος ἦν ἐν τῷ σώματι, οὐδὲ ἐν σώματι μὲν ἦν, ἀλλαχόσε δὲ οὐκ ἦν, οὐδὲ ἐκεῖνο μὲν ἐκίνει, ἄλλα δὲ τῆς αὐτοῦ προνοίας ἐστερεῖτο· ἀλλὰ τὸ παραδοξότατον, Λόγος ὤν, οὐ συνείχετο μὲν ὑπό τινος, συνεῖχε δὲ τὰ πάντα μᾶλλον αὐτός. Τῇ δὲ τοῦ Λόγου εἰς αὐτὸ ἐπιβάσει οὐκέτι κατὰ τὴν ἰδίαν φύσιν ἐφθείρετο τὸ σῶμα· ἀλλὰ διὰ τὸν ἐνοικοῦντα τοῦ Θεοῦ Λόγον ἐκτὸς ἐγίνετο φθορᾶς. Πάσχον μὲν γὰρ τὸ σῶμα, κατὰ τὴν τῶν σωμάτων φύσιν ἔπασχεν· εἶχε δὲ τῆς ἀφθαρσίας τὴν φύσιν ἐκ τοῦ συνοικήσαντος αὐτῷ Λόγου.

8. Αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς ἐν τριημέρῳ διαστήματι νεκρὸν γενόμενον τὸ σῶμα ἔδειξεν ἀθάνατον καὶ ἄφθαρτον· καὶ ἐδείχθη πᾶσιν, ὅτι οὐκ ἀσθενείᾳ φύσεως τοῦ ἐνοικοῦντος Λόγου τέθνηκε τὸ σῶμα, ἀλλ' ἐπὶ τῷ τὸν θάνατον ἐξαφανισθῆναι ἐν αὐτῷ τῇ δυνάμει τοῦ Σωτῆρος.

---

1. Ἰω. 10, 18.

9. Ποῖον ἔδει τέλος γενέσθαι τοῦ σώματος, ἐπιβάντος αὐτῷ τοῦ Λόγου; Μὴ ἀποθανεῖν μὲν γὰρ οὐκ ἐδύνατο· ἅτε δὴ θνητὸν ὄν, καὶ ὑπὲρ πάντων προσφερόμενον εἰς τὸν θάνατον, οὗ χάριν καὶ ὁ Σωτὴρ κατεσκεύασεν αὐτό· μεῖναι δὲ νεκρὸν οὐχ οἷόν τε ἦν, διὰ τὸ ζωῆς αὐτὸ ναὸν γενέσθαι· ὅθεν ἀπέθανε μὲν ὡς θνητόν, ἀνέζησε δὲ διὰ τὴν ἐν αὐτῷ ζωήν.

10. Τί ἄπιστον λέγεται παρ' ἡμῶν, εἰ, πλανωμένης τῆς ἀνθρωπότητος, καθίσας ὁ Λόγος ἐπ' αὐτήν, ἄνθρωπος ἐπεφάνη, ἵνα χειμαζομένην αὐτὴν περισώσῃ διὰ κυβερνήσεως καὶ ἀγαθότητος;

11. Ψυχῆς μὲν ἔργον ἐστὶ θεωρεῖν τὰ ἔσω τοῦ ἰδίου σώματος τοῖς λογισμοῖς· οὐ μὴν καὶ τὰ ἔξωθεν τοῦ ἰδίου σώματος ἐνεργεῖν, ἢ τὰ τούτου μακρὰν τῇ παρουσίᾳ κινεῖν. Οὐδέποτε γοῦν ἄνθρωπος μακρὰν ἤδη ταῦτα κινεῖ, καὶ μεταφέρει· οὐδέ, εἰ ἐπὶ τῆς ἰδίας οἰκίας καθέζοιτό τις, καὶ λογίζοιτο τὰ ἐν οὐρανῷ, ἤδη καὶ τὸν ἥλιον κινεῖ, καὶ τὸν οὐρανὸν περιστρέφει· ἀλλ' ὁρᾷ μὲν κινούμενα καὶ γινόμενα, οὐ μὴν ὥστε καὶ ἐργάσασθαι δυνατὸς τυγχάνει. Οὐ δὴ τοιοῦτος ὁ τοῦ Θεοῦ Λόγος ἐν τῷ ἀνθρώπῳ· οὐ γὰρ συνεδέδετο τῷ σώματι, ἀλλὰ μᾶλλον αὐτὸς ἐκράτει τοῦτο· ὥστε καὶ ἐν τούτῳ ἦν καὶ ἐν τοῖς πᾶσιν ἐτύγχανε· καὶ ἔξωθεν τῶν ὅλων ἦν, καὶ ἐν μόνῳ τῷ Πατρί.

12. Σκόπει, παρακαλῶ, εἰ μὴ τὴν χλεύην καθ' ἑαυτῶν κινοῦντες ἀγνοοῦσιν, τὸν κόσμον σῶμα μέγα φασὶν εἶναι οἱ τῶν Ἑλλήνων σοφοί, καὶ ἀληθεύουσι λέγοντες· ὁρῶμεν γὰρ αὐτὸν καὶ τὸ τούτου μέρος, ὅτι ταῖς αἰσθήσεσιν ὑποπίπτει. Εἰ τοίνυν καὶ ἐν τῷ κόσμῳ σώματι ὄντι ὁ τοῦ Θεοῦ Λόγος ἐστί, καὶ ἐν ὅλοις καὶ ἐν τοῖς κατὰ μέρος αὐτοῦ πᾶσιν ἐπιβέβηκε· τί θαυμαστὸν ἢ τί ἄτοπον εἰ καὶ ἐν ἀνθρώπῳ φαμὲν αὐτὸν ἐπιδεδημηκέναι; Εἰ δέ, καὶ γενητῆς οὔσης τῆς κτίσεως, οὐκ ἄτοπον ἐν αὐτῇ τὸν Λόγον εἶναι, οὐκ ἄρα οὐδὲ ἐν ἀνθρώπῳ αὐτὴν εἶναι ἄτοπον. Οὐκοῦν ὅλως οὐκ ἀπρεπὲς τὸ ἐν ἀνθρώπῳ εἶναι τὸν Λόγον· καὶ πάντα ὑπ' αὐτοῦ καὶ ἐν αὐτῷ φωτίζεσθαι καὶ κινεῖσθαι.

13. Ἀπατηθέντα γὰρ τὸν Ἀδὰμ ὑπὸ τοῦ διαβόλου παραβῆναι τὴν τοῦ πλάσαντος αὐτὸν ἐντολήν, καὶ ὑπὸ κατάραν καὶ κατοχὴν θανάτου γενόμενον ὁρῶν ὁ τοῦ παντὸς κτίστης Θεὸς Λόγος, ἐκ τῆς ἀπογόνου τοῦ Ἀδὰμ Παρθένου Μαρίας πλάσας ἑαυτῷ τὸ χωρῆσαι δυνάμενον ἄχραντον σῶμα πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ τὰ πάθη τὰ ἀνθρώπεια, ὑπὲρ παντὸς τοῦ κόσμου αὐτὸ ἑκουσίως παραδέδωκεν· ἵνα τόν ποτε βασιλεύοντα τοῦ θανάτου διάβολον θανατώσῃ, τῷ τοῦ ἰδίου σώματος θανάτῳ. Αἷμα δὲ οὐκ ἐκ τοῦ πνεύματος τῆς τοῦ Λόγου θεότητος ἐκπορεύεται· ἀλλ' ἐξ οὗ ἐφόρεσεν ἀνθρώπου.

14. Τό, «Ἐγώ εἰμι ἡ ἄμπελος [1]», καί, «Ὁ Πατήρ μου μείζων μου ἐστί [2]», καὶ τό, «Ἔκτισέ με [3]», καί, «Ἐγώ εἰμι σκώληξ, καὶ

1. Ἰω. 15, 1. 2. Ἰω. 14, 28. 3. Παρμ. 8, 22.

οὐκ ἄνθρωπος[1]», καὶ ὅσα ἐν τοῖς Εὐαγγελίοις καὶ ἐν τοῖς προφήταις εἶπε ταπεινὰ περὶ αὐτοῦ, εἰς τὸ ἐφόρεσε σῶμα δι' ἡμᾶς εἴρηται. Οὔτε τὸ παθητὸν σῶμα, ὃ ἐφόρεσε διὰ τὴν τοῦ παντὸς σωτηρίαν, ἀνατίθεμεν τῷ Πατρί· τὰ πάντα γὰρ ἐκτίσθη ὑπὸ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ. Ὁ δὲ Υἱὸς μόνος ὑπὸ τοῦ Πατρὸς ἐγεννήθη· διὸ «πρωτότοκός ἐστι πάσης κτίσεως[2]» ὁ Θεὸς Λόγος· ἄτρεπτος γὰρ ἐξ ἀτρέπτου ἐστί· τοίνυν τὸ δι' ἡμᾶς ἐφόρεσε τὸ σῶμα κτίσμα ἐστίν.

15. Τὸν γὰρ Ἀδὰμ ἐνδυσάμενος σὺν τοῖς παθήμασι κατὰ πάντα χωρὶς ἁμαρτίας, τὸν κεκλημένον Ἰησοῦν, ἵνα δι' αὐτοῦ τὸ ἀπολόμενον πρόβατον προσάξῃ τῷ Πατρί, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος·[3]» περὶ οὗ Παῦλος γράφει· «Ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν.[4]» Καὶ ἐν ἑτέρῳ τόπῳ φησί· «Δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ζωή. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.[5]»

16. Δι' αὐτοῦ τοῦ Λόγου πάντα ἐγένετο καὶ ἐκτίσθη· οὐκ αὐτὸς δὲ ἐγένετο, ἀλλ' ὅνπερ δι' ἡμᾶς ἐφόρεσεν ἄνθρωπον γεγονότα καὶ κτισθέντα δηλοῦσιν αἱ Γραφαί. Φησὶ γὰρ ὁ Κύριος· «Πᾶν κλῆμα μένον ἐν ἐμοὶ καρπὸν φέρει·[6]» καὶ ἐν τῷ ἐφόρεσεν ἀνθρώπῳ τῷ ἐκ τοῦ γένους Ἀδὰμ ἐζωοποίησε τὸ ἐκ τοῦ γένους Ἀδάμ.

17. Ὅρα, ὅτι ἕως τοῦ νῦν οὐδεὶς οἶδε τὸν Υἱὸν τοῦ Θεοῦ ὡς ἔστιν, ἄχρι τοῦ φανερῶσαι ἑαυτὸν ἡμῖν. Ὃν δὲ ἐφόρεσε δι' ἡμᾶς υἱὸν τοῦ ἀνθρώπου, εἴδομεν· ὃν εἶπεν ὁ Παῦλος· «Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας, ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν·[7]» ὃν καὶ Στέφανος λέγει· «Θεωρῶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ·[8]» οὐκ εἶπε τὸν Λόγον ἢ τὴν Σοφίαν τοῦ Πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν Υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ Μαρίας Κυριακὸν σῶμα.

18. Περὶ τοῦ, «Ὁ δὲ Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι·[9]» λέγεται δὲ ὁ κατὰ τὸν Σωτῆρα νοούμενος ἄνθρωπος, ὁ αὐτὸς ποτὲ νήπιος ὤν, καὶ ποτὲ προκόπτων ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι, ἀρχόμενός τε ὢν ὡσεί, ἐτῶν λ', ὡς ὁ εὐαγγελιστὴς Λουκᾶς φησι. Τὸ δὲ προκοπὴν καὶ ἡλικίαν ἐπιδεχόμενον σῶμα, αὐτό ἐστι κτίσμα καὶ ποίημα. Ἰησοῦς δὲ ὁ Χριστός, ὁ κατὰ τὸν Σωτῆρα νοούμενος ἄνθρωπος, αὐτός ἐστιν ὁ προκοπὴν ἡλικίας ἐπιδεχόμενος, ποτὲ νήπιος τυγχάνων, ποτὲ ἀνήρ, ἀρχόμενός τε ὡσεὶ ἐτῶν λ', ὥς φησιν ὁ Λουκᾶς.[10] Ὁ τοίνυν μεθηλικιούμενος ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὃς ἐγένετο πιστὸς ἀπόστολος καὶ ἀρχιερεὺς τῷ ποιήσαντι αὐτόν, αὐτός ἐστιν ὁ τὴν προκοπὴν ὑπομένων.

---

1. Ψαλμ. 21, 7. 2. Κολ. 1, 15. 3. Ἡσ. 53, 7. 4. Α' Τιμ. 2, 5-6. 5. Α' Κορ. 15, 21-22. 6. Ἰω. 15, 5. 7. Ἑβρ. 3, 1-2. 8. Πράξ. 7, 56. 9. Λουκ. 2, 52. 10. Λουκ. 3, 23.

19. Στέφανος λέγει· «Θεωρῶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τῆς δυνάμεως τοῦ Θεοῦ·[1]» οὐκ εἶπε τὸν Λόγον ἢ τὴν Σοφίαν τοῦ Πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν Υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ Μαρίας Κυριακὸν σῶμα, ὅπερ ὁ Παῦλος λέγει καθίσαι ἐκ δεξιῶν τοῦ Θεοῦ.[2] Περὶ οὗ σώματος Δαυὶδ φησι προφητικῶς ἐκ προσώπου τοῦ Πατρός· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[3]» Ἐπεὶ προεγίνωσκεν ἐχθροὺς ἐσομένους τὸν διάβολον καὶ τὰς συνεργοὺς αὐτοῦ ἀντικειμένας ἐνεργείας, αἵτινες ἤχθρευον τῷ Κυριακῷ ἀνθρώπῳ γινώσκουσαι διὰ τοῦ θανάτου αὐτοῦ καταργουμένας αὐτὰς καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τὸν διάβολον. Οἱ γὰρ τὴν θεότητα τοῦ Λόγου ἐλαττοῦντες, ὡς μὴ δυναμένου τοῦ Κυρίου δι' ἑαυτοῦ τοὺς ἐχθροὺς ἀμύνασθαι, οἷον τὸ εἰρηκέναι τὸν Πατέρα τῷ Υἱῷ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου», τοῦτο οὖν γινωσκέτωσαν οἱ ἀπαίδευτοι εἰς τὸν κατὰ σάρκα νοούμενον ἄνθρωπον γεγράφθαι. Ἐν γὰρ αὐτῷ Δαυὶδ περὶ τοῦ Κυριακοῦ ἀνθρώπου γέγραπται· «Ἐχθρὸς οὐκ ὠφελήσει[4] ἐν σοί.» Τὸ σῶμα τοίνυν ἐστὶν ᾧ λέγει· «Κάθου ἐκ δεξιῶν μου», οὗ καὶ γέγονεν ἐχθρὸς ὁ διάβολος σὺν ταῖς πονηραῖς δυνάμεσι, καὶ Ἰουδαῖοι καὶ Ἕλληνες.

20. Πάντα εἰπὼν ἐν αὐτῷ κτισθέντα ὁ μακάριος Παῦλος, αὐτὸν μόνον εἶπε πρὸ πάντων. Ἐκ γὰρ τῶν παλαιῶν πεπαιδευμένος νομομαθὴς ὤν, τάς τε Παροιμίας τοῦ Σολομῶντος φιλολογήσας, καὶ δύο εἴδη περὶ τοῦ Κυρίου εὑρών, ἓν μὲν περὶ τοῦ ἐκ Μαρίας ἔμελλεν ἀναλαμβάνειν ἀνθρώπου, ἕτερον δὲ περὶ τοῦ πρὸ πάντων αἰώνων ἀιδίως ἐκ τοῦ Πατρὸς γεννηθέντος Λόγου· καὶ περὶ μὲν τοῦ ἐκ Μαρίας Ἰησοῦ γράφει Τιμοθέῳ· «Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα·[5]» περὶ δὲ τοῦ ἀεὶ σὺν τῷ Πατρὶ Θεοῦ Λόγου εἶπεν, ὅτι ἔστι πρὸ πάντων. Ἐλεγχέσθωσαν τοίνυν παρὰ πάντων τῶν ἁγίων οἱ λέγοντες τὸν τοῦ Θεοῦ Λόγον ἀρχὴν τῶν ἔργων κτισθέντα καὶ παρὰ τοῦ Δαυὶδ ἀκουέτωσαν, ὅτι οὐκ ἔστιν ἔργον, ἀλλ' ἔργων ποιητής, ὡς λέγει· «Ἔργα χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς.[6]»

21. «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας[7]», λέγεται ὁ κατὰ τὸν Σωτῆρα νοούμενος ἄνθρωπος. Ὁ αὐτὸς ποτὲ νήπιος ὤν, καὶ ποτὲ προκόπτων ἡλικίᾳ καὶ χάριτι ἀρχόμενος ὡσεὶ ἐτῶν λ', ὡς ὁ εὐαγγελιστὴς Λουκᾶς φησι. Τὸ δὲ προκοπὴν καὶ ἡλικίαν ἐπιδεχόμενον σῶμα, αὐτό ἐστι τὸ κτίσμα καὶ ποίημα. Ἐλεγχόμενοι τοίνυν παρὰ τῶν ἁγίων οἱ λέγοντες κτίσμα τὸν ἐκ Πατρὸς Λόγον ἢ πεπαύσθωσαν τῆς δυσσεβοῦς βλασφημίας, ἢ Χριστομάχοι παρὰ πάντων ἀποκηρυττέσθωσαν· ἐν ᾧ γὰρ ἡττῶνται, πεποίθασιν ἐν ταῖς

1. Πράξ. 7, 56. 2. Πρβλ. Κολ. 3, 1. 3. Ψαλμ. 109, 1. 4. Ψαλμ. 88, 23. 5. Β' Τιμ. 2, 8. 6. Ψαλμ. 101, 26-27. 7. Ἑβρ. 13, 8.

Παροιμίαις τῷ λέγοντι· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.[1]» Ἀλλ᾽ ὀλισθαίνουσιν· προφητεύων γὰρ Σολομὼν εἰς τὸν μέλλοντα διὰ τὴν παντὸς τοῦ κόσμου εὐεργεσίαν ἐκ Μαρίας κτίζεσθαι Κυριακὸν ἄνθρωπον, εἶπεν ἐκ προσώπου αὐτοῦ τό, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.»

22. «Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός, τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.[2]» Αὐτὸν γοῦν τὸν σταυρωθέντα τοῦ Κυρίου ἄνθρωπον δεικνύντες διὰ δακτύλου οἱ ἀπόστολοι εἶπον· Τοῦτον τὸν Ἰησοῦν Χριστὸν καὶ Κύριον ἐποίησεν ὁ Θεός. Αὐτὸς φανερῶς ὁ τοῦ Κυρίου ἄνθρωπος καὶ ἀρχὴ ὁδῶν ἐκτίσθη τῶν προγεγραμμένων εἰς εὐεργεσίαν, ἄρχων πάντων τῶν ἁγίων καὶ χρηματιζόντων ὁδῶν, καὶ Κύριος Ἰησοῦς Χριστὸς ὁ ποιηθεὶς καὶ σταυρωθείς. Περὶ οὗ καὶ Ἱερεμίας εἶπε κατὰ τὴν τῶν Ο′ ἑρμηνευτῶν ἔκδοσιν· «Κύριος ἔκτισέ με σωτηρίαν εἰς καταφύτευμα καινήν, ἐν ᾗ σωτηρίᾳ περιελεύσονται ἄνθρωποι·[3]» κατὰ δὲ τὸν Ἀκύλαν περὶ τοῦ αὐτοῦ ῥητοῦ λέγει· «Ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ.» Τήνδε λέγει σωτηρίαν καινήν, καὶ οὐ παλαιάν, ἡμῖν κτισθεῖσαν, καὶ οὐ πρὸ ἡμερῶν. Καὶ ὃν λέγει καινὸν κτισθέντα ἐν τῇ θηλείᾳ τὸν κατὰ τὸν Σωτῆρα νόει ἄνθρωπον Ἰησοῦν· ἑρμηνεύεται γὰρ Ἰησοῦς πῇ μὲν Σωτήρ, πῇ δὲ σωτηρία· ἐκ τοῦ Σωτῆρος ἡ σωτηρία, ὃν τρόπον ἐκ τοῦ φωτὸς ὁ φωτισμός· ὅντινα εἶπεν ἄνθρωπον Ἰησοῦν, σωτηρίαν ἡμῖν κτισθέντα καινὸν ἐν τῇ θηλείᾳ· ὅ ἐστιν ἐν τῇ Μαρίᾳ, μᾶλλον δὲ ἐκ τῆς Μαρίας. Ὃν τοίνυν ὁ Σολομὼν εἶπεν ἀρχὴν ὁδῶν κτισθέντα καὶ ἣν Ἱερεμίας λέγει κτισθεῖσαν σωτηρίαν καινήν, καὶ καινὸν ἐν τῇ θηλείᾳ, τὸν ὑπὲρ ἡμῶν καὶ δι᾽ ἡμᾶς ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον Χριστὸν Ἰησοῦν, ἐκ τῶν Γραφῶν δείξαντες, τῶν ἑξῆς ἐχόμεθα· ἐφ᾽ οἷς ἢ ἀγνοήσαντές τινες, ἢ προληφθέντες, ἐν πλάνῃ διαμεμενηκότες, οὔτε διδάσκειν ὀρθῶς, οὔτε διδάσκεσθαι βούλονται.

23. Εἰ πάντες χωρεῖν ἠδύναντο πνευματικῶς τὰ θεῖα λόγια, οὐχ ἱμείρετο μεταδιδόναι αὐτοῖς τὸ πνευματικὸν χάρισμα· οὐδὲ γάλα αὐτοὺς ἐπότιζεν, εἰ τὴν στερεὰν τροφὴν πάντες μεταλαμβάνειν ἠδύναντο· ἀλλὰ τοῖς ἔτι νηπιάζουσιν περὶ αὐτὸν τὸν τῆς θεογνωσίας λόγον δίκην νηπίων γαλουχουμένων τὸν τῆς κατηχήσεως ἐπιτρέπει δέχεσθαι λόγον· οὔπω τὸν τῶν ἀγγέλων ἄρτον τρέφεσθαι δυναμένοις, τὸν ἐν σώματι ἀνθρωπείῳ κρυβέντα Θεὸν Λόγον.

24. Χρὴ τοίνυν ἡμᾶς, ὡς ἐπιστήμονας οἰκονόμους μυστηρίων θείων, μεταδιδόναι τὸν λόγον πρὸς ὃ χωρεῖν ἕκαστος δύναται· ῥήγνυνται γὰρ οἱ παλαιοὶ ἀσκοὶ μὴ χωροῦντες τὸν νέον τῆς ἀληθινῆς ἀμπέλου οἶνον, τουτέστι τὸν λόγον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπεὶ τοίνυν τινές, μᾶλλον δὲ καὶ πολλοί, οἱ μήπω μαθηταὶ γενόμενοι, ἐκ προπετείας ἐπὶ τὸ διδάσκειν ἐληλύθασιν, «οὐκ εἰδότες οὔτε ἃ λέγουσιν,

---

1. Παρμ. 8, 22. 2. Πράξ. 2, 36. 3. Ἱερ. 38, 22.

οὔτε περὶ τίνων διαβεβαιοῦνται [1]», τυφλώττοντες τοὺς τῆς διανοίας ὀφθαλμούς, οὐκ ἔχοντες νοῦν ὁρῶντα τὸν Θεόν, ὡς ὁ Ἰακώβ, οὔτε καρδίαν καθαρὰν τὴν ὀψομένην τὸν Θεόν· τὰ διὰ τὸν ἄνθρωπον τοῦ Σωτῆρος, ὃν δι' ἡμᾶς ἐφόρεσε, γεγραμμένα ῥητά, καὶ ἔργα ταπεινά, καὶ πτωχὰς φωνάς, τῇ θεότητι τοῦ Λόγου συνάπτοντες, πλανῶνται καὶ πλανῶσι τοὺς ἀμαθεῖς καὶ ἀστηρίκτους· ἀνάγκην ἔσχομεν, ὡς ὁ Ἰούδας [2] γράφει, ἐκθέσθαι διὰ τῆς ἐπιστολῆς, ποῖα ῥητὰ τῇ θεότητι τοῦ Λόγου ἁρμόζει, καὶ ποῖα τῷ δι' ἡμᾶς ἀναληφθέντι ἀνθρώπῳ. Ὡς γὰρ ἐν ἑνὶ βαλαντίῳ χρύσεα νομίσματα καὶ ἀργύριον ἀπόκειται ἑνὸς βασιλέως εἰκόνα καὶ ἐπιγραφὴν τοῦ ὀνόματος ἑκάτερα ἔχοντα, ἀλλ' οἶδεν ὁ φυλάττων αὐτὰ τραπεζίτης τὴν τοῦ χρυσίου ὑπεροχήν, παρὰ τὴν ὑποβεβηκυῖαν τοῦ ἀργυρίου τιμήν· οὕτως κἂν ἐν μιᾷ Γραφῇ περὶ τῆς θεότητος τοῦ Υἱοῦ καὶ περὶ τοῦ ἐκ Μαρίας δι' ἡμᾶς ἐφόρεσε σώματος, γέγραπται· ἀλλ' ἕκαστον αὐτῶν ἐπιγνωσόμεθα, ὡς συνετοὶ μαθηταὶ τοῦ ἑνὸς καὶ ὄντως διδασκάλου. Ὅσαι τοίνυν ταπειναὶ λέξεις καὶ ἔργα, εἰς τὸ σῶμα τοῦ Ἰησοῦ γεγραμμένα νόει· ὅσα δὲ ἔνδοξα γράμματα, εἰς τὴν τοῦ Λόγου θεότητα. Ὅταν πεινάσῃ μετὰ τὸ νηστεῦσαι, τοῦ σώματος ἐλάττωμα· ἡνίκα δὲ ἐκ ε' ἄρτων τοὺς ͵ε χωρὶς παιδίων καὶ γυναικῶν τρέφει, καὶ ιβ' κοφίνους κλασμάτων περισσεύει, τῆς θεότητος τοῦ Λόγου ἔργον. Ὅταν ἐπὶ τὸ προσκεφάλαιον ἐν τῷ πλοίῳ κοιμᾶται, ἀναπαύσεως σωματικῆς ἔργον. Ὅταν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἀπειλῇ τοῖς κύμασι καὶ τοῖς ἀνέμοις, «Σιώπα, πεφίμωσο [3]», εὐθὺς ἀκούει παρὰ τῶν ἐν τῷ πλοίῳ μεθ' ὅρκου ὁμολογούντων. «Ἀληθῶς Θεοῦ Υἱὸς εἶ.» Ὅταν ἑστὼς πρὸς τῷ μνήματι Λαζάρου δακρύῃ, καὶ ὁπηνίκα πάσχειν ἔμελλε, λέγει· «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου [4]», καὶ ἀδημονεῖ, καὶ τὸ μὲν Πνεῦμα τῆς θεότητος πρόθυμον, εἰς πᾶσαν οἰκονομίαν λέγει, τὴν δὲ σάρκα ἀσθενῆ· τοῦ σώματος ἀσθένεια λυπεῖσθαι καὶ ἀδημονεῖν. Ὅταν κελευστικῶς λέγῃ· «Λάζαρε, δεῦρο ἔξω [5]», καὶ ἀναστῇ ζῶν ὁ νεκρὸς ὁ τεταρταῖος ἤδη λελυμένος, ὃ οὐκ ἐγένετο ἀπ' ἀρχῆς κτίσεως· τῆς θεότητος σημεῖον. Ὅταν ἀπὸ τῆς ὁδοιπορίας ὑπὲρ ἡμῶν κεκοπιακὼς ἐπὶ τῆς πηγῆς καθέζηται [6], τοῦ σώματος τὸ κοπιᾶν. Ὅταν λέγῃ· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· [7]» ἔργον τῆς θεότητος, τὸ καὶ ἀπὸ σωματικῶν νόσων καὶ κόπων, καὶ τῶν κατὰ ψυχὴν κινδύνων ἰᾶσθαι. Ὅταν βαπτίζηται ὑπὸ Ἰωάννου, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· [8] τοῦ σώματος ὑπὲρ ἡμῶν ἐξιλασμός. Ὅταν κελεύῃ τοὺς ἀποστόλους βαπτίζειν πάντα τὰ ἔθνη εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος [9], τῇ θείᾳ δυνάμει αὐτοῦ ἁρμόζει. Ὅταν κλίνῃ τὰ γόνατα καὶ ὡς ἄνθρωπος

---

1. Α' Τιμ. 1, 7. 2. Πρβλ. Ἰούδ. 3. 3. Μάρκ. 4, 39. 4. Ματθ. 26, 38. 5. Ἰω. 11, 43. 6. Πρβλ. Ἰω. 4, 6. 7. Ματθ. 11, 28. 8. Α' Πέτρ. 2, 22. 9. Ματθ. 28, 19.

προσεύχηται, τοῦ σώματος ὑπὲρ ἡμῶν ἐξομολόγησις. Ὅταν ἐν τῷ ὄρει, μεταμορφουμένου αὐτοῦ τὴν δόξαν μὴ δυνάμενοι φέρειν Πέτρος καὶ ᾿Ιάκωβος καὶ ᾿Ιωάννης, τὰ πρόσωπα καὶ τὰ γόνατα κλίνωσιν ἐπὶ τὴν γῆν ἐκ τῆς δόξης τῆς θεότητος·[1] τοῦ Λόγου ἰσχύς. Ὅταν στερεοποιῇ τοὺς ἀποστόλους λέγων· «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·[2]» τῆς θεότητος ἡ ἄδηλος καὶ ἰσχυρὰ παράκλησις. Ὅταν παραιτῆται τὸ ἀποθανεῖν, τοῦ σώματος ἡ δειλία. Πρὸ γὰρ τοῦ παραβῆναι τὸν ᾿Αδὰμ οὔτε λύπη, οὔτε δειλία, οὐ κόπος, οὐ λιμός, οὐ θάνατος ἦν.

25. ᾿Εγώ εἰμι, φησίν, ἡ τῶν σῳζομένων ὁδός, καὶ ἡ τῶν νεκρῶν ζωή, καὶ ἡ τῶν ἀποφευγόντων τὸ ψεῦδος ἀλήθεια·[3] λέγων τοῖς ἐν σκότει· «᾿Ανακαλύφθητε.[4] ᾿Εγώ εἰμι τὸ φῶς τοῦ κόσμου·[5]» τὸν γὰρ ᾿Αδὰμ ἐνδυσάμενος σὺν τοῖς παθήμασι χωρὶς ἁμαρτίας, τὸν κεκλημένον ᾿Ιησοῦν, δι᾿ αὐτοῦ τὸ ἀπολόμενον πρόβατον προσῆξε τῷ Πατρί, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθείς, ἢ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος.[6]» Περὶ οὗ ὁ Παῦλος γράφει· «Ἄνθρωπος Χριστὸς ᾿Ιησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν[7] καὶ τῶν ἁμαρτιῶν ἡμῶν·» καὶ ἐν ἑτέρῳ τόπῳ φησὶν ὁ ᾿Απόστολος· «Δι᾿ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾿ ἀνθρώπου ἡ ζωή. Ὥσπερ γὰρ ἐν τῷ ᾿Αδὰμ πάντες ἀποθνήσκομεν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθησόμεθα.[8]» Καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ γράφει· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ.[9]» Τὸν τοίνυν πρῶτον ᾿Αδὰμ τὸν πρωτόπλαστον τοῦ κόσμου δηλοῖ· τὸν δὲ δεύτερον ᾿Αδὰμ τὸν κατὰ τὸν Σωτῆρα νοούμενον ἄνθρωπον, ὃς καλεῖται υἱὸς ἀνθρώπου, πρόβατον, ἄμπελος, ἄρτος, δένδρον, κόκκος σίτου, καὶ τὰ τούτοις παραπλήσια. Καλεῖται δὲ καὶ ᾿Αδάμ, εἰ καὶ πολλὴ τοῦ δευτέρου διαφορὰ παρὰ τὸν πρῶτον. Ὁ μὲν γὰρ ἐκ γῆς γέγονεν, ὁ δέ, Λόγος ὢν τοῦ Πατρός, σὰρξ ἐγένετο· οὐ κενωθεὶς τὸ εἶναι Λόγος διὰ τὸ σάρκα φορέσαι, καθ᾿ ὃ οὐδὲ τὸ χρυσίον κενοῦται τῆς δόξης, ἔνδον ξένου γλωσσοκόμου τυγχάνον.

26. Ὅταν δὲ ὁ ἡμέτερος διδάσκαλος φάσκῃ ἐν ἑτέρῳ τόπῳ· «Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν ᾿Ιησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν·[10]» μὴ δόξῃς ποίημα εἶναι τὸν ἀπ᾿ ἀρχῆς πρὸς τὸν Πατέρα Θεὸν Λόγον. Οὐ γὰρ τὴν ἀόρατον θεότητα λέγει κατανοεῖν· ἀλλὰ τὸν Κυριακὸν ἄνθρωπον, ὃν εἶπεν ὁ Παῦλος μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπον Χριστὸν ᾿Ιησοῦν, τὸν δόντα ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν. Ὃν εἶπε κατανοεῖν ᾿Ιησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν· ὥς φησιν ὁ Κύριος· «Κατανοήσατε τοὺς κόρακας, πῶς οὐ σπείρουσι[11]», καὶ τὰ ἑξῆς· καὶ πάλιν· «Κατανοήσατε

1. Πρβλ. Ματθ. 17, 6. 2. Ματθ. 10, 28. 3. Πρβλ. ᾿Ιω. 14, 6. 4. ῾Ησ. 49, 9. 5. ᾿Ιω. 8, 12. 6. ῾Ησ. 53, 7. 7. Α΄ Τιμ. 2, 5. 8. Α΄ Κορ. 15, 22. 9. Α΄ Κορ. 15, 47. 10. ῾Εβρ. 3, 2. 11. Λουκ. 12, 24.

τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνουσι.[1]» Τὰ οὖν φαινόμενα λέγει κατανοεῖν καὶ οὐκ ἀγγέλους ἢ ἑτέρας κτίσεις ἀοράτους. Κἂν γὰρ λέγῃ Ἀμβακοὺμ ὁ προφήτης· «Κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην·[2]» ἔργα, λέγει, κατενόησα, καὶ οὐ τὸν τῶν ἔργων ποιητήν. Καὶ ὁ Ἀπόστολος τὸ φαινόμενον τοῦ Κυρίου σῶμα λέγει κατανοεῖν, οὐ τὴν ἀόρατον τοῦ Λόγου θεότητα· «Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε[3], οὔτε ἰδεῖν δύναται·» καίπερ Θεὸς ἦν ὁ Λόγος[4] καὶ ἔστιν, ὥς φησιν ὁ θεολόγος Ἰωάννης. Ὃν τοίνυν κατανοεῖν ἀκούομεν ἄνθρωπον Χριστὸν Ἰησοῦν, ὃς δέδωκεν ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν, ὃν λέγει ἀπόστολον καὶ ἀρχιερέα πιστὸν ὄντα, τὸ ποίημα νοεῖν λέγει. Πάντα οὖν ἐκτίσθησαν· κτίσμα δὲ οὐκ ἔστιν ὁ τοῦ Θεοῦ Λόγος, ὅς ἐστιν Υἱός, ἀλλὰ γέννημα κατὰ φύσιν· τὰ γὰρ πάντα ὁ Πατὴρ διὰ τοῦ Λόγου ἔκτισεν, ὥς φησιν ὁ Παῦλος· «Ἐν ᾧ τὰ πάντα ἐκτίσθησαν·[5]» καὶ ὡς ὁ Ἰωάννης λέγει· «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν.[6]» Αὐτὸν δὲ τὸν Λόγον οὐ κτίζει, ἀλλὰ γεννᾷ ὁ Θεός· δι' αὐτοῦ γὰρ τοῦ Λόγου πάντα ἐγένετο καὶ ἐκτίσθη· οὐκ αὐτὸς δὲ ἐγένετο, ἀλλ' ὅνπερ δι' ἡμᾶς ἐφόρεσεν ἄνθρωπον γεγονότα καὶ κτισθέντα δηλοῦσιν αἱ Γραφαί.

27. Φησὶ γὰρ ὁ Κύριος· «Πᾶν κλῆμα μένον ἐν ἐμοὶ καρπὸν φέρει·[7]» καὶ ἐν τῷ ἐφόρεσεν ἀνθρώπῳ ἐκ τοῦ γηγενοῦς Ἀδάμ, ζωοποιήσει τὸ ἐκ τοῦ Ἀδὰμ γένος, θανατωθεὶς σαρκί, ζωοποιηθεὶς δὲ Πνεύματι[8], ὡς ὁ Πέτρος γράφει· ὅτι σαρκὶ θανατωθέντα αὐτὸν ὑπὲρ ἡμῶν λέγει, καὶ οὐ τῇ ἀθανάτῳ ζωοποιῷ θεότητι. Φησὶ γὰρ ὁ Κύριος· «Ἐγώ εἰμι ἡ ζωή.[9]» Ἡ γοῦν ζωὴ οὐδὲ ἀποθνήσκει, τοὺς νεκροὺς δὲ μᾶλλον ζωοποιεῖ. Ὡς γὰρ τὸ φῶς, οὐ βλάπτεται ἐν σκοτεινῷ τόπῳ, οὔτε ἡ ζωὴ παθεῖν τι δύναται ἐπισκεψαμένη τὴν θνητὴν φύσιν· ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος ἡ τοῦ Λόγου θεότης.

28. «Τίς γάρ», φησίν, «ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο, ὃς συμβιβάσει αὐτόν;[10]» Μόνος ὁ Υἱὸς σύμβουλός ἐστι τοῦ Πατρός, καὶ τὸν νοῦν αὐτοῦ ἔγνω, ὁ λέγων· «Οὐδεὶς ἐπιγνώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱός, καὶ τὸν Υἱὸν οὐδεὶς ἐπιγινώσκει εἰ μὴ ὁ Πατήρ, καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ.[11]» Λέγει τοίνυν ὁ Ἰωάννης περὶ τοῦ Κυρίου· «Ὅταν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, καὶ ὀψόμεθα αὐτόν, καθώς ἐστιν.[12]» Ὅρα, ὅτι ἕως τοῦ νῦν οὐδεὶς εἶδεν τὸν Υἱὸν τοῦ Θεοῦ ὥς ἐστιν, ἄχρις οὗ φανερῶσαι αὐτὸν ἡμῖν· τὸν δὲ ἐφόρεσε δι' ἡμᾶς ἄνθρωπον εἴδομεν· ὃν εἶπεν ὁ Παῦλος· «Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν.[13]» Ὃν καὶ Στέφανος λέγει· «Θεωρῶ τὸν Υἱὸν τοῦ

---

1. Λουκ. 12, 27. 2. Ἀββ. 3, 2. 3. Α' Ἰω. 4, 12. 4. Ἰω. 1, 1. 5. Κολ. 1, 16. 6. Ἰω. 1, 3. 7. Ἰω. 15, 5. 8. Α' Πέτρ. 3, 18. 9. Ἰω. 14, 6. 10. Ἡσ. 40, 13. 11. Λουκ. 10, 22. 12. Α' Ἰω. 3, 2. 13. Ἑβρ. 3, 1-2.

ἀνθρώπου ἐπὶ δεξιῶν ἑστῶτα τῆς δυνάμεως τοῦ Θεοῦ.[1]» Οὐκ εἶπε τὸν Λόγον ἢ τὴν Σοφίαν τοῦ Πατρὸς ἑωρακέναι, ἀλλὰ τὸν Υἱὸν τοῦ ἀνθρώπου, τὸ ἐκ τῆς Μαρίας Κυριακὸν σῶμα· ὃ καὶ Παῦλος λέγει· «Ὃς ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.[2]» Περὶ οὗ σώματος ὁ Δαυὶδ φησιν ἐκ προσώπου τοῦ Πατρὸς προφητικῶς· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·[3]» οὓς προεγίνωσκεν ἐχθροὺς ἐσομένους, τὸν διάβολον καὶ τὰς συνεργούσας αὐτῷ ἀντικειμένας ἐνεργείας, αἵτινες ἤχθρευον τῷ Κυριακῷ ἀνθρώπῳ, γινώσκουσαι διὰ τοῦ θανάτου αὐτοῦ καταργουμένας ἑαυτάς, καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τὸν διάβολον, καὶ τοὺς ἐχθρεύσαντας αὐτῷ Ἰουδαίους, εἰς οὓς τὸ γεγραμμένον πληροῦται· «Ὅτι ἐμίσησάν με δωρεάν.[4]» Ἀνθ' ὧν τὰ πρὸς ὠφέλειαν διδασκόμενοι μαστίζειν καὶ σταυροῦν ἐτόλμων, Σαμαρείτην αὐτὸν καὶ δαιμονιζόμενον[5] καὶ ἄνθρωπον ἁμαρτωλὸν λέγοντες, καίτοι δι' αὐτοῦ τῆς ἁμαρτίας κατακριθείσης. Εἰς ὃν γέγραπται· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν.[6]» Ὅνπερ ἐν τῇ κρίσει ὁρῶντες κρίνοντα ζῶντας καὶ νεκρούς, ὥς φησιν Ἰωάννης περὶ τοῦ Υἱοῦ· «Καθὼς ἔδωκεν αὐτὸν κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστί·[7]» μεταμελόμενοι, φυλὴ κατὰ φυλῆς ἐροῦσιν· «Οὗτος ἦν ὃν ἔσχομέν ποτε εἰς γέλωτα[8]», λέγοντες αὐτῷ· «Ἄλλους ἔσωσας, ἑαυτὸν οὐ δύνασαι σῶσαι.[9]» Ἔστι τοίνυν εἰς τὸ τοῦ Κυρίου σῶμα τὸ γραφὲν διὰ τοῦ Δαυὶδ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[10]» Πρὸ γὰρ τῆσδε τῆς διὰ Δαυὶδ προφητείας, ἐν κόλποις τοῦ Πατρὸς ἦν ὁ Λόγος, καὶ οὐκ εἶχεν ἐχθροὺς ἐν οὐρανῷ. Οὐδεὶς γὰρ ἦν σὺν τῷ Πατρὶ πρὸ κτίσεως εἰ μὴ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ὁ Πατὴρ γὰρ διὰ τοῦ Υἱοῦ ἐποίησε τοὺς ἀπείρους αἰῶνας, ἀρχάς τε καὶ ἐξουσίας καὶ πᾶσαν κτίσιν. Ὁ τοίνυν πρὸς μηδένα ἔχων κοινὸν κτῆμα ἢ χρῆμα, ἀλλὰ πάντων Κύριος ὁ Θεὸς Λόγος, ᾧ οὐδεὶς δύναται ἀντιστῆναι, πῶς εἶχεν ἐχθρούς; Οἱ γὰρ τὴν θεότητα τοῦ λόγου ἐλαττοῦντες, ὡς μὴ δυναμένου τοῦ Κυρίου δι' ἑαυτοῦ τοὺς ἐχθροὺς ἀμύνασθαι, οἴονται εἰρηκέναι τὸν Πατέρα τῷ Υἱῷ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.» Τοῦτο δὲ κἂν νῦν γινωσκέτωσαν οἱ ἀπαίδευτοι εἰς τὸν κατὰ τὸν Σωτῆρα νοούμενον ἄνθρωπον γεγράφθαι. Ἐν γὰρ τῷ αὐτῷ Δαυὶδ γέγραπται περὶ τοῦ Κυριακοῦ ἀνθρώπου· «Ἐχθρὸς οὐκ ὠφελήσει ἐν σοί·[11]» καὶ πάλιν «Μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.[12]»

29. «Κύριος», φησίν, «ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ.[13]» Ἕτερόν ἐστιν· «Ὁ οὐρανός μοι θρόνος[14]», καὶ ἕτερόν ἐστιν ἑτοιμάζεσθαι θρόνον ἐν τῷ οὐρανῷ ὡς ἐπὶ τόπου τινός. Πολὺς μὲν ὁ περὶ τούτων

1. Πράξ. 7, 56. 2. Ἑβρ. 10, 12. 3. Ψαλμ. 109, 1. 4. Πρβλ. Ψαλμ. 24, 19. Ἰω. 15, 24. 5. Πρβλ. Ἰω. 8, 48. 6. Ἰω. 19, 37. 7. Ἰω. 5, 27. 8. Σοφ. Σολ. 5, 4. 9. Ματθ. 27, 42. 10. Ψαλμ. 109, 1. 11. Ψαλμ. 88, 23. 12. Ψαλμ. 90, 10. 13. Ψαλμ. 102, 19. 14. Ἡσ. 66, 1. Πράξ. 7, 49.

λόγος ἐπὶ τοῦ παρόντος εἰς διήγησιν· οἱ δὲ προδεδηλωμένοι θρόνοι δηλοῦσι τὴν ὑποταγὴν πάσης κτίσεως. Ταῦτα δὲ παρεθέμεθα περὶ τοῦ «Κάθου ἐκ δεξιῶν μου», ὅτι εἰς τὸ Κυριακὸν σῶμα λέλεκται. Εἰ γάρ, «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος[1]» ὥς φησιν Ἱερεμίας· πάντα δὲ χωρεῖ ὁ Θεός, ὑπ' οὐδενὸς δὲ οὐ χωρεῖται· εἰς ποῖον καθέζεται θρόνον; Τὸ σῶμα τοίνυν ἐστίν, ᾧ λέγει· «Κάθου ἐκ δεξιῶν μου, οὗ καὶ γέγονεν ἐχθρὸς ὁ διάβολος σὺν ταῖς πονηραῖς δυνάμεσι, καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, οἱ τοῖς Χριστοῦ κηρύγμασιν ἀντιπίπτοντες· δι' οὗ σώμστος ἀρχιερεὺς καὶ ἀπόστολος καὶ γέγονε καὶ ἐχρημάτιζε, δι' οὗ παρέδωκεν ἡμῖν μυστηρίου, λέγων· «Τοῦτο ἐστί μου τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν, καὶ τὸ αἷμα τῆς Καινῆς Διαθήκης, οὐ τῆς Παλαιᾶς, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.[2]» Θεότης δὲ οὔτε σῶμα οὔτε αἷμα ἔχει, ἀλλ' ὃν ἐφόρεσεν ἐκ τῆς Μαρίας ἄνθρωπον, αἴτιος τούτων γέγονε περὶ οὗ εἶπον οἱ ἀπόστολοι· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ἄνδρα ἀπὸ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς.[3]» Ναζαρὲτ πόλιν ἐπίγειον λέγει, καὶ οὐχὶ οὐράνιον. Ἄνδρα τε αὐτόν φασι, καὶ οὐ Θεόν, πρὸς τοὺς Ἰουδαίους καὶ τοὺς ὁμοίως αὐτοῖς κατὰ σάρκα φρονοῦντας ἔκτοτε καὶ νῦν. Καὶ οἱ ἀπόστολοι καὶ αὐτὸς ὁ Κύριος περὶ ἑαυτοῦ ἀνθρωπίνως ἀπεκρίνατο λέγων· «Τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;[4]» Οὐκ εἶπε, Ζητεῖτέ με ἀποκτεῖναι Θεὸν ὄντα· Θεὸς γὰρ ἀπαθὴς καὶ ἀθάνατος ὤν, τὸν μὲν θάνατον καταργεῖ, τοὺς δὲ νεκροὺς ζωοποιεῖ λέγων· «Ἐγώ εἰμι ἡ ζωή.[5]» Πρὸς δὲ Φίλιππον, ἅμα τῷ ἀκοῦσαι πιστεύοντα, διδάσκει σὺν τοῖς λοιποῖς ἀποστόλοις, καὶ τοῖς δυναμένοις ὁμοίως πνευματικῶς χωρῆσαι, λέγων· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα·[6] ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[7]», καί, «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί.[8]»

30. Ἔχεις τοίνυν ἐξ αὐτῆς τῆς τῶν Γραφῶν ἀποδείξεως τὸν ἄνθρωπον τοῦ Σωτῆρος, ὃν κατανοεῖν διδασκόμεθα αὐτὸν εἶναι ποίημα· οὐ γὰρ τὴν ἀόρατον θεότητα τοῦ Λόγου, τὴν ἐν κόλποις πατρῴοις ἀποκεκρυμμένην, ἣν οὐδεὶς ἕως τοῦ δεῦρο τεθέαται. Καὶ τοῦτο Παῦλος οἶδεν ἡμῶν μᾶλλον λέγων· «Περιήστραψέ με φῶς ἱκανόν, καὶ ἔπεσα εἰς τὸ ἔδαφος. Καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαούλ, Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Κἀγὼ εἶπον· Τίς εἶ, Κύριε; Καὶ ὁ Κύριός φησι πρός με· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις.[9]» Ὁμολογεῖ δὲ ἀπὸ τῆς δόξης τοῦ φωτὸς τοῦ Κυρίου τετυφλῶσθαι· καὶ μετὰ τρεῖς ἡμέρας ἐξ ἀποκαλύψεως καὶ προστάξεως αὐτοῦ ἠτενικέναι. Εἰ δὲ Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, τετύφλωται, μὴ δυνάμενος ὁρᾶν τὴν τοῦ Κυρίου δόξαν, πῶς ἡμᾶς διδάσκει τὴν θεότητα αὐτοῦ τοῦ Λόγου κατανοεῖν; Ἀλλ' ὃ πολλάκις εἶπον, καὶ νῦν ἐρῶ, Ἰησοῦν τὸν

1. Ἱερ. 23, 24. 2. Ματθ. 26, 26-28. 3. Πράξ. 2, 22. 4. Ἰω. 8, 40. 5. Ἰω. 14, 6. 6. Ἰω. 14, 9. 7. Ἰω. 10, 30. 8. Ἰω. 14, 10. 9. Πράξ. 22, 6-8.

ἄνθρωπον τοῦ Σωτῆρος, τὸν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, εἶπεν ἡμῖν κατανοεῖν.

31. «Μιμηταί μου γίνεσθε[1]», φησί, «καθὼς κἀγὼ Χριστοῦ· δηλονότι τοῦ ἀνθρώπου λέγει, τοῦ κειμένου θεμελίου. Τῆς γὰρ θεότητος τοῦ Λόγου οὔτε Παῦλος, οὔτε ἕτερός τις γενέσθαι δύναται μιμητής, εἰ μὴ ἐν τοῖς παθήμασι καὶ πραΰτητι τοῦ Χριστοῦ· περὶ ὧν ὁ Πέτρος λέγει ἐπακολουθήσειν ἡμᾶς τοῖς ἴχνεσιν αὐτοῦ·[2] καθὼς καὶ ὁ Παῦλος εἶπε, τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἀναπληροῦν ἐν τῇ ἰδίᾳ σαρκί.[3] Ἀναντιρρήτως οὖν ὁ πρὸ τοῦ αἰῶνος θεμελιωθεὶς εἰς τὰ ἀπόκρυφα τῆς πατρῴας διανοίας ἐν προγνώσει ἦν, ὃν ἔμελλεν ἐκ Μαρίας Κυριακὸν ἄνθρωπον κτίζειν. Περὶ δὲ τὸ Κυριακὸν σῶμα φανερῶς προεφητεύθη τῷ Ἰούδᾳ· «Ἐκ σοῦ ἐξελεύσεταί μοι ἡγούμενος· καὶ ἡ ἀρχὴ αὐτοῦ ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰῶνος·[4] καίπερ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐκ φυλῆς Ἰούδα ἀνείληφεν ὁ Θεὸς Λόγος τὸν ἄνθρωπον.

32. «Ὅταν», φησίν, «ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.[5]» Ζητήσωμεν τοίνυν τίς ἐστιν ὁ μὴ ὑποτασσόμενος τῷ Θεῷ, εἰ μὴ πρότερον τὰ πάντα αὐτῷ ὑποταγῇ. Τί γὰρ οὐκ εἶχεν ὑποτεταγμένον ὁ ἐκ Πατρὸς Λόγος, πρὶν τῆς δι' οὗ ἐφόρεσεν ἀνθρώπου δι' ἡμᾶς οἰκονομίας; πάντα γὰρ τὰ ποιήματα τῷ πεποιηκότι ὑποτάσσεται. Τῷ δὲ ἀναληφθέντι ἀνθρώπῳ ἕως νῦν οὐ τὰ πάντα ὑποτέτακται· φησὶ γὰρ ὁ Παῦλος· «Οὔπω βλέπομεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.[6]» Τοῖς γὰρ Ἰουδαίοις σκάνδαλόν ἐστιν, ἔθνεσι δὲ μωρία, ἡμῖν δὲ τοῖς εἰς αὐτὸν πιστεύουσι «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.[7]» Ὅταν τοίνυν πᾶσα ἡ κτίσις ἐν νεφέλαις ἀπαντήσῃ τῷ Υἱῷ, καὶ ὑποταγῇ αὐτῷ· τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ Πατρί, ὑπὲρ πάσης κτίσεως γενόμενος πιστὸς ἀπόστολος καὶ ἀρχιερεύς, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι· τουτέστι Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, ἡ μία κυριότης καὶ θεότης καὶ βασιλεία. Ἐὰν δέ τις λέγῃ, ὅτι Οὐ τὸν Ἰησοῦν εἶπεν ὑποτασσόμενον, ἀλλὰ τὸν Λόγον· ἀκουσάτω, ὅτι Ἰησοῦς ὁ Υἱὸς τοῦ Θεοῦ ἐχρημάτισε καὶ ἔστι διὰ τὸν ἐν αὐτῷ κρυβέντα Λόγον· ὡς ὁ Λουκᾶς γενεαλογῶν εἶπεν· «Ἦν δὲ Ἰησοῦς ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, τοῦ Ἰωσήφ.[8]» Καὶ διελθὼν τοὺς ἐφεξῆς γενεαλογουμένους μέχρις ἐπὶ τὸν Ἀδάμ, εἶπε· «τοῦ Ἀδάμ, τοῦ Θεοῦ·[9]» ἵνα δείξῃ καὶ τὸ ἐκ τοῦ Ἀδὰμ ἐφόρεσε σῶμα, καὶ τὴν ἐκ τοῦ Πατρὸς θεότητα.

33. Ἔστι δὲ ἓν τῶν πάντων, ὧν ἐν τῷ Υἱῷ ἐργάζεται καὶ δεικνύει ὁ Πατήρ, τὸ γινώσκειν τὴν ἡμέραν καὶ ὥραν τῆς κρίσεως· αὐτῷ τε καὶ πᾶσαν τὴν κρίσιν παραδέδωκεν· ἵνα, «καθὼς τιμῶσι τὸν Πατέρα, τιμῶσι καὶ τὸν Υἱόν.[10]» Εἰ δὲ τὴν κρίσιν αὐτῷ πᾶσαν παραδέδωκε

1. Α' Κορ. 4, 16. 2. Πρβλ. Α' Πέτρ. 2, 21. 3. Κολ. 1, 24. 4. Μιχ. 5, 1. 5. Α' Κορ. 15, 28. 6. Ἑβρ. 2, 8. 7. Α' Κορ. 1, 24. 8. Λουκ. 3, 23. 9. Λουκ. 3, 38. 10. Ἰω. 5, 23.

ποιεῖσθαι, δῆλον, ὅτι καὶ τὴν γνῶσιν αὐτῆς, πότε καὶ πῶς γίνεται. Ὁ γοῦν μὴ γινώσκων τὴν ἡμέραν τῆς κρίσεως, ὁ ἐκ τῆς Μαρίας γεννηθείς ἐστιν Ἰησοῦς· οὐδὲν γὰρ ἀγνοεῖ ὁ ἐκ καρδίας τοῦ Πατρὸς Θεὸς Λόγος, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν.

34. Εἰ τοίνυν λέγει ὁ Ἰησοῦς· «Ὁ Πατήρ μου μείζων μου ἐστί·[1]» λέγει δὲ καὶ ἴσον ἑαυτὸν τῷ Θεῷ· μάθωμεν διὰ τί καὶ μείζονα λέγει τὸν Πατέρα ἑαυτοῦ καὶ ἴσον· Μείζων ἐστὶ τοῦ Υἱοῦ διὰ τὸ σῶμα ὃ ἐφόρεσε παθητόν· ἴσος δέ, καθότι ὅλος ὅλον τέλειον ἐγέννησεν ὁ Πατὴρ ἀιδίως τὸν Υἱόν.

35. Ὡς καὶ ὁ Ἔσδρας προφητεύει ἐκ προσώπου τοῦ Ζωροβάβελ, λέγων περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· «Ζῇ ἡ ἀλήθεια, καὶ νικᾷ, καὶ κραταιοῦται, καὶ μένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων·[2]» τὸ ὑπὲρ ἡμῶν ἔμελλε φορεῖν σῶμα, ὑπὲρ ἡμῶν ἀποθνήσκειν αὐτό· καὶ οὐ τὴν ἐν αὐτῷ κρυπτομένην ἀλήθειαν, τουτέστι τὸν Λόγον τοῦ Πατρός. Συγκατέβαινε μὲν ἡ ἀλήθεια τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι Ἰησοῦ εἰς τὴν καρδίαν τῆς γῆς· ἵνα τοὺς ὑπὸ τοῦ ψεύδους ἀπατηθέντας, αὐτὸς ἀλήθεια ὤν, ἐλευθερώσῃ· ὃν τρόπον εἴ τις βασιλεὺς ἐν φυλακῇ ἐπισκέψασθαι τοὺς ἐκεῖσε κατεχομένους δεσμώτας εἰσελθών, βλάπτεται μὲν οὐδέν, ὠφελεῖ δὲ τοὺς ὑπὸ κατοχὴν τυγχάνοντας· οὕτως ὁ Θεὸς Λόγος, οὐδὲν βλαπτόμενος δι᾽ οὗ ἐφόρεσεν ὑπὲρ ἡμῶν θνητοῦ σώματος, ὠφέλησε τοὺς ἐν τῇ τοῦ ᾅδου φυλακῇ ἐν τῷ πνεύματι τῆς θεότητος.

36. Εὐλογῶν δὲ ὁ Ἰακὼβ τὸν Ἰούδαν, ἐξ οὗ ὁ Κύριος ἔμελλε τὸ ἀνθρώπινον ἀναδέχεσθαι σῶμα, λέγει· «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.[3]» Καὶ τοῦτο κατὰ τὴν ἱστορίαν οὐ πεποίηκεν· οὔτε γὰρ ἐν οἴνῳ ἔπλυνε τὴν ἑαυτοῦ στολήν. Τί δέ, μετὰ τὸ εἰπεῖν αὐτόν, οἴνῳ πλυνεῖν τὴν στολὴν αὐτοῦ, λέγει· «Καὶ ἐν αἵματι σταφυλῆς;» Μὴ ἕτερός ἐστιν ὁ οἶνος, καὶ ἕτερον αἷμα σταφυλῆς; μᾶλλον ἡμῶν οἶδεν Ἡσαΐας λέγων· «Τὸ ἔνδυμα αὐτοῦ ὡς ἀποπατήματος ληνοῦ. Πλήρης καταπεπατημένης.[4]» Τὸ τοίνυν ἔνδυμα τὸ ἐν οἴνῳ καὶ ἐν αἵματι σταφυλῆς προφητεύει πλυνόμενον. Ὁ χιτών ἐστιν ὁ χειροτέχνης· ἄλογον γὰρ καὶ ἄτακτον ἐν οἴνῳ τὸ ἱμάτιον πλύνειν αὐτόν, ὁ μηδὲ τῶν ἀφρόνων τις ἀνθρώπων δείκνυται πεποιηκώς. Ἐπειδὴ δὲ προεγίνωσκεν ἐκ τοῦ ἁγίου Πνεύματος μέλλοντα τὸν τοῦ Θεοῦ Υἱὸν φορεῖν σῶμα δι᾽ ἡμᾶς ἐκ τοῦ Ἰουδαϊκοῦ λαοῦ, τοῦ χρηματίζοντος ἀμπέλου καὶ ἀμπελῶνος· διὰ τοῦτο εἶπεν· «Ἐκ βλαστοῦ ἀνέβης, υἱέ μου Ἰούδα.[5]» Καὶ τὸ πλυνεῖν ἐν αἵματι τὴν στολὴν τὸ σῶμα τῆς περιβολῆς δηλοῖ· δι᾽ οὗ σώματος καὶ αἵματος ἀποπλύνας τὰς ἁμαρτίας τῶν ἀνθρώπων, πάντας αὐτοὺς ἐν τῷ ἰδίῳ σώματι ἐνεδύσατο.

37. Ἐντεῦθεν τοίνυν ἐντρεπέσθωσαν οἱ διορίζοντες τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός, ὥσπερ τὴν ἄμπελον ἀπὸ τοῦ γεωργοῦ, πληροφο-

1. Ἰω. 14, 28. 2. Α´ Ἔσδρ. 4, 38. 3. Γεν. 49, 11. 4. Ἡσ. 63, 2-3. 5. Γεν. 49, 9.

ρούμενοι ἐκ τῶν Γραφῶν εἰς τὸ σῶμα τοῦ Κυρίου τὴν παραβολὴν λελέχθαι, καὶ οὐκ εἰς τὴν θεότητα. Ἐπιτελῶν γὰρ τὸ ἅγιον μυστήριον, εὐλογήσας εἶπε· «Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστι τὸ αἷμα τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον·[1]» καίπερ οὐχ αἷμα τοῦ Κυρίου ἐστὶν ὁ οἶνος, ἀλλὰ τῆς ἀμπέλου. Διὸ εἶπεν ὁ Κύριος περὶ τοῦ ἰδίου σώματος· «Ἐγώ εἰμι ἡ ἄμπελος.[2]» Αἷμα δὲ οὐκ ἐκ τοῦ πνεύματος τῆς τοῦ Λόγου θεότητος ἐκπορεύεται, ἀλλ' ἐξ οὗ ἐφόρεσεν ἀνθρώπου.

38. Φησὶν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἰεζεκιήλ· «Ὦ ποιμένες, ποιμένες! Μὴ ἑαυτοὺς βόσκουσιν οἱ ποιμένες, οὐχὶ τὰ πρόβατα;[3]» «Ὑμεῖς δὲ τὸ πεπλανημένον οὐκ ἐπεστρέψατε, τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, τὸ ἀσθενὲς οὐκ ἐσωματοποιήσατε, τὸ χωλὸν οὐ κατεδήσατε· ἀλλὰ καὶ τὸ ἰσχύον κατειργάσασθε μόχθῳ.[4] Διὰ τοῦτο ἀναστήσω ἐμαυτῷ ποιμένα πιστὸν τὸν δοῦλόν μου τὸν Δαυίδ· καὶ ἔσται ποιμὴν καὶ ἄρχων εἰς τὸν αἰῶνα.[5]» Ἡνίκα δὲ Ἰεζεκιὴλ ταῦτα προεφήτευσεν ἐν Βαβυλῶνι, πρὸ δεκατεσσάρων γενεῶν ἦν Δαυὶδ κοιμηθείς. Τὸν δὲ Κυριακὸν ἄνθρωπον προεφήτευσεν ἐκ σπέρματος Δαυὶδ ἐγειρόμενον, περὶ οὗ Παῦλος Τιμοθέῳ γράφει· «Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυὶδ[6] κατὰ σάρκα.

39. Οὐ βουλόμενοι παιδεύεσθαι οἱ σαρκόφρονες παρὰ τῶν πνευματικῶν, πεπληροφορημένων τὴν τῶν Γραφῶν ἐπίγνωσιν· ἀλλὰ καὶ τοὺς ἀκεραιοτέρους δοκοῦντες διδάσκειν, εἰς βόθρον ἕλκουσιν· ἐφ' οἷς πληροῦται τὸ γεγραμμένον· «Τυφλὸς τυφλὸν ὁδηγῶν, ἀμφότεροι εἰς βόθρον ἐμπεσοῦνται·[7]» ὅ ἐστιν εἰς τὸν ᾅδην. Τυφλὸς δὲ κατὰ τὴν ἱστορίαν τυφλὸν ὁδηγῆσαι οὐ δύναται· ἀλλὰ τυφλώττων περὶ τὴν τῶν θείων μυστηρίων ἐπίγνωσιν· ἑκάστῳ λέγοντες τῶν ἀμαθῶν· Οὐκ αὐτὸς εἶπε διὰ τοῦ Σολομών· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ·[8]» καὶ δι' αὐτοῦ λέγει ὁ Υἱός· «Ὁ Πατὴρ ὁ πέμψας με μείζων μού ἐστι·[9]» καὶ πάλιν εἶπεν· «Ἀπ' ἐμαυτοῦ οὐδὲν λαλῶ· ὁ Πατήρ μοι ἐνετείλατο τί εἴπω καὶ τί λαλήσω·[10]» καὶ τό, «Οὐκ ἦλθον ἵνα ποιήσω τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός;[11]» Ἕτερον ἔχει θέλημα ὁ Πατήρ, καὶ ἕτερον ὁ Υἱός, ὡς αὐτοὶ φρονοῦσιν, Εἰ γὰρ μεμερισμένον ἔχουσι τὸ θέλημα, πῶς λέγει· «Ποιήσωμεν ἄνθρωπον[12]», καὶ τὰ ἑξῆς· οὐ διακρίνουσι δὲ ποῖα ῥητὰ τῇ θεότητι ἁρμόττει, καὶ ποῖα ᾧ ἐφόρεσεν ἀνθρώπῳ.

Τοῦ μακαρίου Ἀθανασίου, ἐκ τοῦ Περὶ πίστεως λόγου.

Συνάξεις δὲ ἐπιτελούμεναι ταχθεῖσαί εἰσιν ἀπὸ τῶν ἁγίων ἀποστόλων. Τετράδα καὶ προσαββάτῳ ἐν νηστείᾳ ἕως ὥρα ἐνάτης·

1. Ματθ. 26, 27-28. 2. Ἰω. 15, 1. 3. Ἰεζ. 34, 2. 4. Ἰεζ. 34, 4. 5. Ἰεζ. 34, 23. 6. Β' Τιμ. 2, 8. 7. Ματθ. 15, 14. 8. Παρμ. 8, 22. 9. Ἰω. 14, 28. 10. Ἰω. 12, 49. 11. Ἰω. 6, 38. 12. Γεν. 1, 26.

ἐπειδήπερ ἐπιφωσκούσῃ τετράδι συνελήφθη ὁ Κύριος, καὶ τὸ προσάββατον ἐσταυρώθη· καὶ παρέδωκαν οἱ ἀπόστολοι ἐν ταύταις νηστείαν ἐπιτελεῖσθαι, πληρουμένου τοῦ ῥητοῦ· «Ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις·[1]» καὶ καὶ οὐχ ἵνα χάριν ποιήσωμεν τῷ ὑπὲρ ἡμῶν πεπονθότι (ἡ νηστεία ἡμῖν προστέτακται), ἀλλ' ὅπως ὁμολογήσωμεν εἰς ἡμῶν σωτηρίαν τὸ τοῦ Κυρίου πάθος, ὃ ὑπὲρ ἡμῶν αὐτὸς ἀνεδέξατο, καὶ ὅπως ὑπὲρ τῶν ἑαυτῶν ἁμαρτιῶν αἱ νηστεῖαι ἡμῶν εὐλόγιστοι Θεῷ γίνωνται. Καὶ δι' ὅλου μὲν τοῦ ἔτους ἡ νηστεία φυλάττεται ἐν τῇ αὐτῇ ἁγίᾳ καὶ καθολικῇ Ἐκκλησίᾳ, φημὶ τετράδι καὶ προσαββάτῳ ἕως ὥρας ἐνάτης, δίχα μόνης τῆς Πεντηκοστῆς ὅλης τῶν πεντήκοντα ἡμερῶν, ἐν αἷς οὔτε γυνυκλισίαι γίνονται, οὔτε νηστεία προστέτακται· ἀντὶ δὲ τῶν πρὸς τὴν ἐνάτην συνάξεων τετράδων καὶ προσαββάτων ὡς ἐν ἡμέρᾳ Κυριακῇ κατὰ τὰς πρωινὰς αἱ συνάξεις ἐπιτελοῦνται. Ἔτι δὲ καὶ ἐν ταῖς πεντήκοντα ἡμέραις, αἷς προεῖπον τῆς Πεντηκοστῆς, οὐκ εἰσὶν οὔτε νηστεῖαι οὔτε γονυκλισίαι. Καὶ μετὰ τὴν διάταξιν τῆς ἁγίας Τεσσαρακοστῆς πάλιν λέγει, ὅτι τὰς ἓξ ἡμέρας τὰς πρὸ τοῦ Πάσχα ἐν ξηροφαγίᾳ διατελοῦσι πάντες οἱ λαοί, φημὶ ἄρτῳ καὶ ἁλὶ καὶ ὕδατι τότε χρώμενοι πρὸς ἑσπέραν. Ἀλλά καί τινες σπουδαῖοι διπλᾶς καὶ τριπλᾶς καὶ τετραπλᾶς νηστεύουσι· καὶ ὅλην τὴν ἑβδομάδα ἔνιοι ἄχρις ἀλεκτρυόνων κραυγῆς τῆς Κυριακῆς ἐπιφωσκούσης ἐν ἀγρυπνίαις διατελοῦσι τὰς ἕξ.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ Περὶ πίστεως μείζονος λόγου.

Οὕτω μὲν οὖν Ἄρειος κατασκευάσας τὸν τοῦ Θεοῦ Λόγον κτιστόν, οὐκ ἔγνω ποποιηκὼς ἄλογον τὸν Πατέρα· πᾶν γὰρ ᾧ φυσικῶς μὴ πρόσεστι λόγος, ἄλογος φύσει πάντως ἐστίν. Ἔπειτα ψυχῆς νοερᾶς ἐστερημένην αὐτῷ σάρκα διδούς, φύσει παθητὸν αὐτὸν δείκνυσι, καὶ θνητόν, καὶ τὸ πάθος ἀκούσιον, ὡς τῆς μηδὲν ἐχούσης ἑκούσιον ἀψύχου σαρκὸς κινητικόν· ἡ γὰρ ἀνόητος σὰρξ πάσης ἠλλωτρίωται κατὰ φύσιν θελήσεως, εἴπερ οὐδέν ἐστι θέλησις ἢ νοῦς περί τι κινούμενος, ἢ ψυχῆς νοερᾶς αὐτεξούσιος κίνησις· ἧς γυμνῶν τοῦ Κυρίου τὴν σάρκα, πτηνοῦ τινος ἢ χερσαίου ἢ νηκτοῦ ζῴου ταύτην πεποίηται· καὶ σαφέστερον εἰπεῖν, οὐδὲ τούτων τινός, εἴπερ οὐδενὸς ζῴου ψυχῆς ἐστέρηται σάρξ.

1. Ματθ. 9, 15.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΘΑΝΑΣΙΟΥ

ΣΥΝΟΨΙΣ ΕΠΙΤΟΜΟΣ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ, ΠΑΛΑΙΑΣ ΚΑΙ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ.*

1. Πᾶσα Γραφὴ ἡμῶν Χριστιανῶν, θεόπνευστός ἐστιν. Οὐκ ἀόριστα δέ, ἀλλὰ μᾶλλον ὡρισμένα καὶ κεκανονισμένα ἔχει τὰ βιβλία. Καὶ ἔστι τῆς μὲν Παλαιᾶς Διαθήκης ταῦτα·

Γένεσις, οὗ ἡ ἀρχή· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.»

Ἔξοδος, οὗ ἡ ἀρχή· «Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσπορευομένων εἰς Αἴγυπτον.»

Λευϊτικόν, οὗ ἡ ἀρχή· «Καὶ ἐκάλεσε Μωϋσῆν, καὶ ἐλάλησε Κύριος αὐτῷ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.»

Ἀριθμοί, οὗ ἡ ἀρχή· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρήμῳ τῇ Σινᾶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.»

Δευτερονόμιον, οὗ ἡ ἀρχή· «Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Μωϋσῆς παντὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου, ἐν τῇ ἐρήμῳ, πρὸς δυσμαῖς, πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης.»

Ἰησοῦς ὁ τοῦ Ναυῆ, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν δούλου Κυρίου, εἶπε Κύριος τῷ Ἰησοῦ, υἱῷ Ναυῆ, λειτουργῷ Μωϋσῆ, λέγων.»

Κριταί, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰησοῦ, καὶ ἐπηρώτησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Κυρίῳ λέγοντες· Τίς ἀναβήσεται πρὸς τοὺς Χαναναίους ἀφηγούμενος;»

Ῥούθ, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο ἐν τῷ κρίνειν τοὺς κριτάς, ἐγένετο λιμὸς ἐν τῇ γῇ.»

Βασιλειῶν πρώτη καὶ δευτέρα, εἰς ἓν ἀριθμούμεναι βιβλίον. Καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Καὶ ἄνθρωπος ἐξ Ἀρμαθαῒμ Σιφᾶ, ἐξ ὄρους Ἐφραΐμ, καὶ ὄνομα αὐτῷ Ἐλκανᾶ, υἱὸς Ἱερεμεήλ, υἱοῦ Ἡλεί.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Ἐγένετο μετὰ τὸ ἀποθανεῖν Σαούλ, καὶ Δαυὶδ ἀνέστρεψε τύπτων τὸν Ἀμαλήκ.»

Βασιλειῶν τρίτη καὶ τετάρτη, εἰς ἓν πάλιν ἀριθμούμεναι βιβλίον. Καὶ τῆς μὲν τρίτης ἡ ἀρχή· «Καὶ ὁ βασιλεὺς Δαυὶδ πρεσβύτερος,

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 28, σ. 284-433.

προβεβηκὼς ἡμέραις· καὶ περιέβαλλον αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο.»

Τῆς δὲ τετάρτης ἡ ἀρχή· «Καὶ ἠθέτησε Μωὰβ ἐν Ἰσραήλ, μετὰ τὸ ἀποθανεῖν Ἀχαάβ.»

Παραλειπομένων πρῶτον καὶ δεύτερον, εἰς ἓν ἀριθμούμενα βιβλίον. Καὶ ἔτσι τοῦ μὲν πρώτου ἡ ἀρχή· «Ἀδάμ, Σήθ. Ἐνώς, Καϊνᾶν, Μαλελεήλ, Ἰαρέδ, Ἐνώχ, Μαθουσάλα, Λάμεχ, Νῶε.»

Τοῦ δὲ δευτέρου ἡ ἀρχή· «Καὶ ἐνίσχυσε Σαλομὼν υἱὸς Δαυὶδ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ Κύριος ὁ Θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἐμεγάλυνεν αὐτὸν εἰς ὕψος.»

Ἔσδρας πρῶτος καὶ δεύτερος, εἰς ἓν ἀριθμούμενοι βιβλίον. Καὶ τοῦ μὲν πρώτου ἀρχή· «Καὶ ἤγαγεν Ἰωσίας τὸ Πάσχα ἐν Ἱερουσαλὴμ τῷ Κυρίῳ ἑαυτοῦ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου.»

Τοῦ δὲ δευτέρου ἡ ἀρχή. «Καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου τοῦ βασιλέως Περσῶν, τοῦ τελεσθῆναι λόγον ἀπὸ στόματος Ἱερεμίου, ἐξήγειρε Κύριος τὸ πνεῦμα Κύρου τοῦ βασιλέως Περσῶν.»

Ψαλτήριον Δαβιτικόν, ἔχον ψαλμοὺς ρνα'· οὗ ἡ ἀρχή, ἤγουν ὁ πρῶτος ψαλμός· «Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν.»

Παροιμίαι Σολομῶντος, οὗ ἡ ἀρχή· «Παροιμίαι Σολομῶντος υἱοῦ Δαυίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ, γνῶναι σοφίαν καὶ παιδείαν.»

Ἐκκλησιαστὴς τοῦ αὐτοῦ, οὗ ἡ ἀρχή· «Ῥήματα Ἐκκλησιαστοῦ, υἱοῦ Δαυίδ, βασιλέως Ἰσραὴλ ἐν Ἱερουσαλήμ. Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.»

Ἆσμα ᾀσμάτων τοῦ αὐτοῦ, οὗ ἡ ἀρχή· «Ἆσμα ᾀσμάτων, ὅ ἐστι τῷ Σολομών. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ, ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον.»

Ἰώβ, οὗ ἡ ἀρχή· «Ἄνθρωπός τις ἦν ἐν χώρᾳ Αὐσέτιδι, ᾧ ὄνομα Ἰώβ, καὶ ἦν ἄνθρωπος ἐκεῖνος ἄμεμπτος καὶ θεοσεβής.»

Προφῆται δώδεκα, εἰς ἓν ἀριθμούμενοι βιβλίον. Εἰσὶ δὲ οὗτοι, Ὠσηὲ πρῶτος, οὗ ἡ ἀρχή· «Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ὠσηέ, τὸν τοῦ Βεηρί, ἐν ἡμέραις Ὀζίου, καὶ Ἰωαθάμ, καὶ Ἀχάζ, καὶ Ἐζεκίου βασιλέων Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωᾶς, βασιλέως Ἰσραήλ. Ἀρχὴ λόγου Κυρίου ἐν Ὠσηέ.»

Εἶτα Ἀμώς, οὗ ἡ ἀρχή· «Λόγοι Ἀμώς, οἳ ἐγένοντο ἐν Ἀκκαρείμ, ἐκ Θεκουέ, οὓς εἶδεν ὑπὲρ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωᾶς, βασιλέως Ἰσραήλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.»

Μιχαίας, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Μιχαίαν τὸν τοῦ Μωραθὶ ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἀχάζ, καὶ Ἐζεκίου βασιλέων Ἰούδα, ὑπὲρ ὧν εἶδε περὶ Σαμαρείας καὶ Ἱερουσαλήμ.»

Ἰωήλ, οὗ ἡ ἀρχή· «Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. Ἀκούσατε δὴ ταῦτα πάντα οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν γῆν.»

'Αβδιοῦ, οὗ ἡ ἀρχή· «Ὅρασις 'Αβδιοῦ· Τάδε λέγει Κύριος ὁ Θεὸς τῇ 'Ιδουμαίᾳ.»

'Ιωνᾶς, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο λόγος Κυρίου πρὸς 'Ιωνᾶν τὸν τοῦ 'Αμαθί, λέγων· 'Ανάστηθι καὶ πορεύθητι εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην.»

Ναούμ, οὗ ἡ ἀρχή· «Λῆμμα Νινευί. Βίβλος ὁράσεως Ναοὺμ τοῦ ἐν 'Ελκεσαί.»

'Αμβακούμ, οὗ ἡ ἀρχή· «Τὸ λῆμμα ὃ εἶδεν 'Αμβακοὺμ ὁ προφήτης.»

Σοφωνίας, οὗ ἡ ἀρχή· «Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Σοφωνίαν τὸν τοῦ Χούς, υἱὸν Γοδολίου τοῦ 'Αμορίου τοῦ 'Εζεκίου, ἐν ἡμέραις 'Ιωσίου υἱοῦ 'Αμὼς βασιλέως 'Ιούδα.»

'Αγγαῖος, οὗ ἡ ἀρχή· «'Εν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνός, ἐγένετο λόγος Κυρίου ἐν χειρὶ 'Αγγαίου προφήτου λέγων.»

Ζαχαρίας, οὗ ἡ ἀρχή· «'Εν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος Κυρίου ἐπὶ Ζαχαρίαν, τὸν τοῦ Βαραχίου, υἱὸν 'Αδδὼ τὸν προφήτην, λέγων.»

Μαλαχίας, οὗ ἡ ἀρχή· «Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν 'Ισραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ.»

Οὗτοι μὲν οὖν οἱ δώδεκα εἰς ἓν βιβλίον. 'Εξῆς δὲ ἕτεροι τέσσαρες, πρὸς ἓν ἕκαστος βιβλίον, οὗτοι·

'Ησαΐας, οὗ ἡ ἀρχή· «Ὅρασις, ἣν εἶδεν 'Ησαΐας υἱὸς 'Αμώς, ἣν εἶδε κατὰ τῆς 'Ιουδαίας καὶ κατὰ τῆς 'Ιερουσαλὴμ ἐν βασιλείᾳ 'Οζίου, καὶ 'Ιωάθαμ, καὶ 'Αχάζ, καὶ 'Εζεκίου, οἳ ἐβασίλευσαν τῆς 'Ιουδαίας. Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν.

'Ιερεμίας, οὗ ἡ ἀρχή· «Τὸ ῥῆμα τοῦ Θεοῦ, ὃ ἐγένετο ἐπὶ 'Ιερεμίαν τὸν τοῦ Χελκίου, ὃς ἦν ἐκ τῶν ἱερέων.»

'Εζεκιήλ, οὗ ἡ ἀρχή· «Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τετάρτῳ μηνί, καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ Χοβάρ, καὶ ἠνοίχθησαν οἱ οὐρανοί, καὶ εἶδον ὁράσεις Θεοῦ.»

Δανιήλ, οὗ ἡ ἀρχή· «Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ 'Ιωακείμ, καὶ ἔλαβε γυναῖκα ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ φοβουμένη τὸν Κύριον.»

2. 'Ομοῦ τὰ κανονιζόμενα τῆς Παλαιᾶς Διαθήκης βιβλία εἴκοσι δύο, ἰσάριθμα τοῖς γράμμασι τῶν 'Εβραίων. Τοσαῦτα γάρ εἰσι παρ' αὐτοῖς τὰ στοιχεῖα.

'Εκτὸς δὲ τούτων εἰσὶ πάλιν ἕτερα βιβλία τῆς αὐτῆς Παλαιᾶς Διαθήκης, οὐ κανονιζόμενα μέν, ἀναγινωσκόμενα δὲ μόνον τοῖς κατηχουμένοις ταῦτα.

Σοφία Σολομῶνος, οὗ ἡ ἀρχή· «'Αγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν.»

Σοφία 'Ιησοῦ υἱοῦ Σιράχ, οὗ ἡ ἀρχή· «Πᾶσα σοφία παρὰ Κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα.»

Ἐσθήρ, οὗ ἡ ἀρχή· «Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου, τῇ μιᾷ τοῦ Νεισὰν ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰαείρου τοῦ Σεμεεὶ τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμίν.»

Ἰουδήθ, οὗ ἀρχή· «Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ, ὃς ἐβασίλευσεν Ἀσσυρίων ἐν Νινευί, τῇ πόλει τῇ μεγάλῃ, ταῖς ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασίλευσε Μήδων ἐν Ἐκβατάνοις.»

Τωβίτ, οὗ ἡ ἀρχή· «Βίβλος λόγων Τωβίτ, τοῦ Τωβιήλ, τοῦ Ἀνανιήλ, τοῦ Ἀδουήλ, τοῦ Γαβαήλ, ἐκ τοῦ σπέρματος Ἀσεήλ, ἐκ τῆς φυλῆς Νεφθαλείμ, ὃς ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐννεμεσάρου τοῦ βασιλέως Ἀσσυρίων.»

Τοσαῦτα καὶ τὰ μὴ κανονιζόμενα. Τινὲς μέντοι τῶν παλαιῶν εἰρήκασι κανονίζεσθαι παρ' Ἑβραίοις καὶ τὴν Ἐσθήρ· καὶ τὴν μὲν Ῥούθ, μετὰ τῶν Κριτῶν ἑνουμένην, εἰς ἓν βιβλίον ἀριθμεῖσθαι· τὴν δὲ Ἐσθὴρ εἰς ἕτερον ἕν· καὶ οὕτω πάλιν εἰς εἴκοσι δύο συμπληροῦσθαι τὸν ἀριθμὸν τῶν κανονιζομένων παρ' αὐτοῖς βιβλίων.

3. Καὶ τὰ μὲν τῆς Παλαιᾶς Διαθήκης βιβλία τά τε κανονιζόμενα καὶ τὰ μὴ κανονιζόμενα, τοιαῦτα καὶ τοσαῦτα.

Τὰ δὲ τῆς Καινῆς Διαθήκης, πάλιν ὡρισμένα τε καὶ κεκανονισμένα βιβλία, ταῦτα·

Κατὰ Ματθαῖον, οὗ ἡ ἀρχή· «Βίβλοι γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Ἀβραάμ.»

Κατὰ Μάρκον, οὗ ἡ ἀρχή· «Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ· καθὼς γέγραπται ἐν τῷ Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου.»

Κατὰ Λουκᾶν, οὗ ἡ ἀρχή· «Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων.»

Κατὰ Ἰωάννην, οὗ ἡ ἀρχή· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν, ὃ γέγονεν.

Πράξεις τῶν ἀποστόλων, οὗ ἡ ἀρχή· «Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν.»

Καθολικαὶ Ἐπιστολαὶ διαφόρων ἀποστόλων, αἱ πᾶσαι ἑπτά, εἰς ἓν ἀριθμούμεναι βιβλίον.

Ἰακώβου μία, ἧς ἡ ἀρχή· «Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν.»

Πέτρου δύο· καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βιθυνίας, κατὰ πρόγνωσιν Θεοῦ Πατρός, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ, χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Συμεὼν Πέτρος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.»

Ἰωάννου τρεῖς· καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.»

Τῆς δὲ τρίτης ἡ ἀρχή· «Ὁ πρεσβύτερὲς Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.»

Ἰούδα μία, ἧς ἡ ἀρχή· «Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἠγαπημένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς.»

Παύλου ἀποστόλου ἐπιστολαὶ ιδ' εἰς ἓν ἀριθμούμεναι βιβλίον.

Ἐν πρώτῃ, ἡ πρὸς Ῥωμαίους, ἧς ἡ ἀρχή· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς Ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ.

Πρὸς Κορινθίους δύο· καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Παῦλος κλητὸς Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ.»

Τετάρτη πρὸς Γαλάτας, ἧς ἡ ἀρχή· «Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ καὶ Πατρός.»

Πέμπτη πρὸς Ἐφεσίους, ἧς ἡ ἀρχή· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.»

Ἕκτη πρὸς Φιλιππησίους, ἧς ἡ ἀρχή· «Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις.»

Ἑβδόμη πρὸς Κολασσαεῖς, ἧς ἡ ἀρχή· «Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τοῖς ἐν Κολασσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ.»

Πρὸς Θεσσαλονικεῖς δύο· καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ Πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.»

Δεκάτη ἡ πρὸς Ἑβραίους, ἧς ἡ ἀρχή· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ.»

Πρὸς Τιμόθεον δύο· καὶ τῆς μὲν πρώτης ἡ ἀρχή· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν Θεοῦ Σωτῆρος ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.»

Τῆς δὲ δευτέρας ἡ ἀρχή· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, Τιμοθέῳ ἀγαπητῷ τέκνῳ.»

Τρισκαιδεκάτη, ἡ πρὸς Τίτον, ἧς ἀρχή· «Παῦλος δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας, τῆς κατ' εὐσέβειαν ἐν ἐλπίδι ζωῆς αἰωνίου.»

Τεσσαρεσκαιδεκάτη, ἡ πρὸς Φιλήμονα, ἧς ἡ ἀρχή· «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ καὶ Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν.»

Ἐπὶ τούτοις ἐστὶ καὶ ἡ Ἀποκάλυψις Ἰωάννου τοῦ θεολόγου, δεχθεῖσα ὡς ἐκείνου καὶ ἐγκριθεῖσα ὑπὸ πάλαι ἁγίων καὶ πνευματοφόρων, οὗ ἡ ἀρχή· «Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμαινεν, ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ.»

4. Τοσαῦτα καὶ τὰ τῆς Καινῆς Διαθήκης βιβλία τά γε κανονιζόμενα, καὶ τῆς πίστεως ἡμῶν οἱονεὶ ἀκροθίνια ἢ ἄγκυραι καὶ ἐρείσματα· ὡς παρ' αὐτῶν τῶν ἀποστόλων τοῦ Χριστοῦ, τῶν καὶ συγγενομένων ἐκείνῳ καὶ ὑπ' αὐτοῦ μαθητευθέντων, γραφέντα καὶ ἐκτεθέντα. Ἐπεί τοί γε ὕστερον κατὰ τὴν ἐκείνων ἀκολουθίαν καὶ συμφωνίαν ἄλλα μυρία καὶ ἀναρίθμητα βιβλία ἐξεπονήθησαν ὑπὸ τῶν κατὰ καιροὺς μεγάλων καὶ σοφωτάτων θεοφόρων Πατέρων εἰς μαρτυρίαν τῶν προλαβόντων καὶ διαφώτισιν· περὶ ὧν οὐ νῦν λόγος, ὡς παμπόλλων καὶ ἀορίστων, καὶ ἅμα πάντων τῆς αὐτῆς ἀκολουθίας τοῖς παλαιοῖς τούτοις ἐχομένων, καὶ τὰ αὐτὰ ἐξηγουμένων καὶ αὐτῶν καὶ διασαφούντων.

Ὡς οὖν εἴρηται ἐν τούτοις πάντα, τά τε τῆς Παλαιᾶς καὶ τῆς Νέας Διαθήκης βιβλία. Πλὴν ὅσον πρὸς ἀριθμὸν μόνον οὑτωσὶ τέως στενῶς προαπήγγελται. Τὸ δὲ ἐντεῦθεν διαληπτέον πάλιν περὶ τῶν αὐτῶν βιβλίων πλατύτερον, παρὰ τίνος τε συνεγράφη ἕκαστον τούτων, καὶ πόθεν, ἣν ἔλαχεν, ὀνομασίαν ἔχει, καὶ τί περιέχει, κεφαλαιωδῶς καὶ συνοπτικῶς, κατὰ τὴν προεκτεθεῖσαν τάξιν τοῦ καθ' ἓν βιβλίου διαγραφομένου μετὰ τῆς οἰκείας ὀνομασίας.

Βιβλίον α', Γένεσις.

5. Τὸ μὲν βιβλίον τοῦτο τῆς Γενέσεως Μωϋσῆς ἐστιν ὁ λαλήσας καὶ γράψας ἐκ προστάγματος Κυρίου. Καλεῖται δὲ οὕτως, ἐπειδὴ καὶ τὴν γένεσιν πάντων περιέχει, οὐρανοῦ τε καὶ γῆς, καὶ τῶν ἀνθρώπων καὶ τῶν φαινομένων τούτων ὅλων, καὶ αὐτὴν τὴν τοῦ παραδείσου φυτείαν. Ἐξηγεῖται δέ, ὅτι τῇ μὲν πρώτῃ ἡμέρᾳ γέγονε τὸ φῶς·

τῇ δὲ δευτέρᾳ τὸ στερέωμα, ὅπερ ἐκάλεσεν οὐρανὸν ὁ Θεός· τῇ τρίτῃ συνήχθη τὰ ὕδατα, καὶ ὤφθη ἡ ξηρά· καὶ τὰ μὲν συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας, τὴν δὲ ξηρὰν ἐκάλεσε γῆν· καὶ ἐβλάστησεν ἡ γῆ βοτάνην χόρτου, καὶ πᾶν ξύλον· τῇ τετάρτῃ προῆλθεν ἥλιος καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἀστέρων χορός· τῇ πέμπτῃ πετεινῶν καὶ ἰχθύων καὶ κητῶν τῶν ἐν τοῖς ὕδασι γένεσις· τῇ ἕκτῃ τετραπόδων καὶ θηρίων καὶ ἑρπετῶν καὶ κτηνῶν, καὶ πλάσις ἀνθρώπου κατ' εἰκόνα καὶ ὁμοίωσιν· τῇ δὲ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ τῶν ἔργων, καὶ ηὐλόγησεν αὐτήν. Ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ τοῦ Ἀδὰμ παράβασις, καὶ ἀπὸ τοῦ παραδείσου ἐξώθησις, ἥ τε τοῦ Ἄβελ παρὰ τοῦ ἀδελφοῦ Κάϊν ἀναίρεσις, καὶ ἡ τοῦ Ἐνὼχ μετάθεσις, καὶ ἡ κατασκευὴ τῆς κιβωτοῦ, καὶ ὁ ἐπὶ Νῶε γενόμενος κατακλυσμός, ἥ τε πυργοποιία, καὶ ἡ διαίρεσις τῶν γλωσσῶν, καὶ ἡ διασπορὰ τῶν ἐθνῶν, καὶ ἡ ἀπὸ Χαλδαίων ἔξοδος τοῦ Ἀβραάμ. Περιέχει δὲ καὶ τὴν καταστροφὴν τῶν Σοδόμων, καὶ τὴν περὶ τῆς περιτομῆς νομοθεσίαν, καὶ τὸν ὅρκον τῆς ἐπαγγελίας τοῦ Θεοῦ πρὸς τὸν Ἀβραάμ, τήν τε γέννησιν τοῦ Ἰσαάκ, καὶ τοῦ Ἰακώβ, καὶ τῶν ἐξ αὐτοῦ πατριαρχῶν· καὶ ὅτι ὁ μὲν Ἀβραὰμ ἔζησεν ἔτη ρη', ὁ δὲ Ἰσμαήλ, ὁ ἐκ τῆς Ἄγαρ γεννηθείς, ἀπέθανεν ρλζ' ἐτῶν· πῶς τε Ἰωσὴφ ἐπράθη παρὰ τῶν ἀδελφῶν εἰς Αἴγυπτον, καὶ συκοφαντηθεὶς παρὰ τῆς κυρίας αὐτοῦ, ἐβλήθη εἰς τὸ δεσμωτήριον, καὶ ὕστερον ἄρχων πάσης Αἰγύπτου κατεστάθη· καὶ ἑξῆς τὴν εἰς Αἴγυπτον κάθοδον τοῦ Ἰακὼβ καὶ τῶν υἱῶν αὐτοῦ ἐν ἀριθμῷ οε'· καὶ ὅτι ἐκεῖ γενόμενος ὁ Ἰακώβ, καὶ εὐλογήσας τοὺς πατριάρχας τοὺς υἱοὺς ἑαυτοῦ, ἐτελεύτησεν ἐτῶν ρμζ', καὶ μετηνέχθη τὸ σῶμα αὐτοῦ, καὶ ἐτάφη εἰς τὴν Χαναάν. Καὶ Ἰωσὴφ δὲ μετὰ τὸν γενόμενον λιμὸν ἐν Αἰγύπτῳ, ἐπιζήσας ἔτη ξς', ἐτελεύτησεν ἐτῶν ρι', ἐντειλάμενος πρότερον περὶ τῶν ὀστέων ἑαυτοῦ, ἵνα καὶ αὐτὰ μετενεχθῇ εἰς τὸ μνῆμα τῶν πατέρων.

Βιβλίον β', Ἔξοδος.

6. Καὶ τοῦτο τὸ βιβλίον τῆς Ἐξόδου ὁ προρρηθεὶς Μωϋσῆς συνεγράψατο. Καλεῖται δὲ οὕτως, ἐπειδὴ καὶ τὴν ἔξοδον τῶν υἱῶν Ἰσραὴλ περιέχει τὴν ἀπ' Αἰγύπτου, τὴν γενομένην μετὰ μὲν ἔτη υλ' τῆς ἐπαγγελίας τῆς εἰρημένης τῷ Ἀβραάμ, μετὰ δὲ ἔτη σιε' τῆς ἐν Αἰγύπτῳ παροικίας (τοσαῦτα γὰρ παρῴκησαν ἐκεῖ), καὶ μετὰ τὴν δεκάπληγον τὴν κατὰ τοῦ Φαραὼ τοῦ τυράννου τῆς Αἰγύπτου. Δέκα γὰρ πληγὰς ἐπήγαγεν ὁ Θεὸς κατ' αὐτοῦ ταύτας· πρώτην, ποταμὸν εἰς αἷμα μετέβαλε· δευτέραν, βατράχους ἐν πάσῃ Αἰγύπτῳ ἐπήγαγε· τρίτην, σκνῖφας· τετάρτην, κυνόμυιαν· πέμπτην, θάνατον κτηνῶν· ἕκτην, ἕλκη, φλυκτίδας ἀναζεούσας ἐπὶ τοὺς ἀνθρώπους καὶ τὰ κτήνη· ἑβδόμην, χάλαζαν καὶ πῦρ φλογίζον· ὀγδόην, ἀκρίδα· ἐνάτην, σκότος ἐν πάσῃ τῇ Αἰγύπτῳ ἐπὶ διάστημα τριῶν ἡμερῶν χωρὶς τῆς γῆς υἱῶν

'Ισραήλ· δεκάτην, θάνατον πάντων τῶν πρωτοτόκων Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. Καὶ ἐπεὶ ἐξελθόντα τὸν λαὸν κατεδίωξεν ὁ Φαραώ, οὕτω λοιπὸν ὁ μὲν 'Ισραὴλ ξηρῷ τῷ ποδὶ διέβη τὴν ἐρυθρὰν θάλασσαν διαιρεθεῖσαν ἔνθεν καὶ ἔνθεν· οἱ δὲ Αἰγύπτιοι οἱ διώκοντες τὸν λαὸν σὺν αὐτῷ τῷ Φαραὼ κατεποντίσθησαν ἐν αὐτῇ τῇ θαλάσσῃ. 'Εν τούτῳ τῷ βιβλίῳ περιέχεται καὶ πῶς οἱ μάγοι τῶν Αἰγυπτίων 'Ιαννῆς καὶ Μαμβρῆς, κατὰ μὲν τὴν ἀρχὴν ἀντέστησαν τῷ Μωϋσῇ, ὕστερον δέ, αἰσχυνθέντες, ἀνεχώρησαν· καὶ ἡ περὶ τοῦ Πάσχα νομοθεσία ἥ τε τοῦ πικροῦ ὕδατος εἰς γλυκὺ μεταβολή, καὶ τῆς ὀρτυγομήτρας δόσις, καὶ ἡ ἐξ οὐρανοῦ χορηγία τοῦ μάννα, καὶ τὸ ἐκ πέτρας ἀναδοθὲν αὐτοῖς ὕδωρ, ἣν καὶ ἐπωνόμασε Μωϋσῆς πειρασμὸν καὶ λοιδόρησιν· ὅτε καὶ ἀρχὴν ἔσχεν ἡ τοῦ σαββάτου παρατήρησις, ἥ τε ἐν τῷ ὅρει τῷ Σινᾶ θεόθεν νομοθεσία γενομένη διὰ Μωϋσέως ἐν δύο πλαξὶ λιθίναις, καὶ ἡ τῆς σκηνῆς καὶ τοῦ ἐνδύματος, τοῦ τε ἀρχιερέως καὶ τῶν ἱερέων κατασκευή, ἐνταῦθα σημαίνεται. Οἱ μὲν οὖν ἐργασάμενοι πάντα εἰσὶ Βεσελεὴλ ἐκ φυλῆς 'Ιούδα, καὶ Διὰβ ἐκ φυλῆς Δάν. Τὸ δὲ ἀναλωθὲν εἰς τὰ ἔργα ἐστὶ χρυσίου μὲν τάλαντα κθ', καὶ σίκλοι ψ'· ἀργύρου δὲ τάλαντα ρ' καὶ σίκλοι ͵αψοε'· χαλκοῦ τάλαντα ο', καὶ σίκλοι βφ'. Περιέχει δὲ τοῦτο τὸ βιβλίον τήν τε παράβασιν τοῦ λαοῦ, ὅτε ἐμοσχοποίησε κάτω τοῦ ὄρους, καὶ πῶς ἐτρώθη ὁ 'Αμαλὴκ τῇ ἐκτάσει τῶν χειρῶν Μωϋσέως, καὶ λοιπὸν νόμιμα καὶ δικαιώματα, καὶ πρὸ αὐτῶν τὰς ἐν πλαξὶ δέκα ἐντολὰς ταύτας· πρώτην, 'Εγώ εἰμι Κύριος ὁ Θεός σου· δευτέραν, Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα· τρίτην, Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· τετάρτην, Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων· πέμπτην, Τίμα τὸν Πατέρα σου καὶ τὴν μητέρα σου· ἕκτην, Οὐ φονεύσεις· ἑβδόμην, Οὐ μοιχεύσεις· ὀγδόην, Οὐ κλέψεις· ἐνάτην, Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ· δεκάτην, Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὔθ' ὅσα τῷ πλησίον σοῦ ἐστίν. 'Η δὲ σκηνή, τελειωθεῖσα, ἐστάθη τῷ δευτέρῳ ἔτει τῆς ἐξόδου αὐτῶν νεομηνίᾳ τοῦ πρώτου μηνός. Καὶ ἐν τούτοις συμπεραίνεται τὸ τῆς 'Εξόδου βιβλίον.

Βιβλίον γ', Λευϊτικόν.

7. Καὶ τοῦτο τὸ Λευϊτικὸν βιβλίον παρὰ τοῦ προδηλωθέντος Μωϋσέως συνεγράφη. 'Ονομάζεται δὲ οὕτως, ἐπειδὴ καὶ εἰδικῶς πᾶσαν τῆς Λευϊτικῆς λειτουργίας τὴν διατύπωσιν περιέχει, καὶ πῶς ὁ 'Ααρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐκλέγονται ἐκ τῆς φυλῆς Λευΐ, καὶ χρίονται εἰς ἱερέας· πᾶσάν τε τὴν διαφορὰν τῶν θυσιῶν καὶ τῶν προσφορῶν, καὶ τὴν ποιότητα πάσης τῆς ἐν τῷ ἱερῷ λατρείας, καὶ τῆς Λευϊτικῆς καὶ ἱερατικῆς λειτουργίας· καὶ τὸν νόμον δὲ ἑκάστης θυσίας· περί τε τοῦ σωτηρίου καὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου πλημμελήματος, καὶ

πῶς ἕκαστον τῶν προσφερομένων διαιρεῖσθαι καὶ ἀναφέρεσθαι ὀφείλει, ἐξηγεῖται. Διείληπται δ' ἐν τῷ βιβλίῳ καὶ ἡ χρίσις ἀρχιερέως καὶ τῶν ἱερέων, καὶ ἡ διάκρισις καὶ γνῶσις σημείων περὶ λέπρας ἀνθρώπων καὶ ἱματίων, καὶ τοίχων οἰκίας, καὶ ὁ νόμος ὁ περὶ τοῦ καθαρισμοῦ αὐτῶν· νόμος τε καὶ διαστολὴ περὶ νομίμων γάμων, καὶ τίνες εἰσὶ παράνομοι· καὶ πάλιν διαστολὴ καθαρῶν καὶ ἀκαθάρτων κτηνῶν τε καὶ πετεινῶν καὶ ἰχθύων· δηλονότι τίνων μὲν ἐκ τούτων ἀπαγορεύεσθαι ὤφειλον οἱ Ἑβραῖοι, τίνων δὲ ἀπέχεσθαι. Καὶ τὴν μὲν ἡμέραν τῶν σαλπίγγων τῇ νεομηνίᾳ τοῦ ἑβδόμου μηνὸς δηλοῖ, τὸ δὲ παράγγελμα τῆς μεγάλης νηστείας αὐτῷ ἑβδόμῳ μηνί, δεκάτῃ τοῦ μηνὸς ποιῶσι ταύτην, ἥντινα σάββατα σαββάτων, καὶ ἔφεσιν ἁμαρτίας καλεῖ. Περιέχει τὴν δὲ Σκηνοπηγίαν τῇ ιε' τοῦ αὐτοῦ μηνός. Καὶ περὶ ἑορτῶν δέ, καὶ τῶν ἐν αὐταῖς ὀφειλόντων προσφέρεσθαι· καὶ περὶ ἀφέσεως τῶν πιπρασκομένων Ἑβραίων, καὶ χρεῶν ἀποκοπῆς, καὶ ἀναπαύσεως τῆς γῆς, κατὰ ἑπτὰ ἔτη ὀφειλούσης γενέσθαι, ἐξηγεῖται. Πάλιν τε ὑπόμνησιν νομίμων καὶ προσταγμάτων καὶ μαρτυρίων, περιέχει καὶ ἐπαγγελίας μὲν τοῖς φυλάσσουσιν αὐτά, ἀπειλὰς δὲ τοῖς παραβαίνουσι δεινοτάτας. Τὴν δὲ διαστολὴν καὶ τὴν αἰτίαν τῶν καθαρῶν καὶ ἀκαθάρτων βρωμάτων οὕτω ποιεῖται. Τὰ μὲν ἀπὸ τῶν κτηνῶν καθαρὰ τοιαῦτα λέγει· τὰ διχηλοῦντα ὁπλήν, καὶ ὀνυχιστῆρας, ὀνυχίζοντα δύο χηλῶν, καὶ ἀνάγοντα μηρυκισμόν· οἷά ἐστι, μόσχος, πρόβατον, αἴξ, ἔλαφος, δορκάς, ὄρυξ, βούβαλος, πύγαργος, τραγέλαφος, καμηλοπάρδαλις, καὶ τὰ τοιαῦτα. Εἰ δέ τινι ἀπὸ τούτων τι ἐνέλειπε, τοῦτο ἀκάθαρτον ἦν· οἷά εἰσι, κάμηλος, καὶ δασύπους, καὶ χοιρογρύλλιος· ταῦτα γὰρ μηρυκᾶται μέν, οὐ διχηλεῖ δὲ ὁπλήν· καὶ ὁ ὗς · καὶ οὗτος γὰρ διχηλεῖ μὲν καὶ ὀνυχίζει, οὐ μηρυκᾶται δέ. Ἀπὸ δὲ τῶν πετεινῶν πάλιν, ἃ κελεύει μὴ ἐσθίειν, ταῦτά ἐστιν· ὁ ἀετός, ὁ γρύψ, ὁ ἁλιάετος, ὁ γύψ, ὁ ἰκτῖνος, καὶ τὰ τούτοις ὅμοια· καὶ κόραξ, καὶ τὰ ὅμοια τούτῳ, καὶ στρουθός, καὶ γλαύξ, καὶ λάρος, καὶ τὰ ὅμοια αὐτοῖς, καὶ ἱέραξ, καὶ τὰ τούτῳ ὅμοια, καὶ νυκτικόραξ, καὶ καταράκτης, καὶ ἶβις, καὶ πορφυρίων, καὶ πελεκάν, καὶ κύκνος, καὶ ἐρωδιός, καὶ χαραδριός, καὶ τὰ ὅμοια αὐτοῖς, καὶ ἔποψ, καὶ νυκτερίς. Τῶν δὲ ἑρπετῶν πετεινῶν ἀκάθαρτα πάντα λέγει εἶναι τὰ πορευόμενα ἐπὶ τεσσάρων, ἐχόντων δὲ ἀνώτερον τῶν ποδῶν σκέλη, ὥστε ἐν αὐτοῖς πηδᾶν ἀπὸ τῆς γῆς· οἷά ἐστιν, ὁ βροῦχος, ὁ ἀτταγᾶς, ἡ ἀκρίς, καὶ τὰ ὅμοια αὐτοῖς, καὶ ὁ ὀφιομάχος. Τὰ δὲ ἐν τοῖς ὕδασιν, ἔν τε τῇ θαλάσσῃ, καὶ τοῖς ποταμοῖς, καὶ χειμάρροις γεννώμενα, ταῦτα λέγει εἶναι καθαρά, ὅσα ἔχει πτερύγια καὶ λεπίδας· οἷά ἐστι τρίγλα, σκάρος, γλαῦκος, κεστρεύς, καὶ τὰ ὅμοια αὐτοῖς. Τὰ δὲ λειπόμενα ἕν τι τούτων ἀκάθαρτα, ἢ καὶ οὐ βρωτέα· οἷά ἐστι σηπίαι· πτερύγια μὲν γὰρ ἔχει, οὐκ ἔχει δὲ λεπίδας. Τῶν δὲ ἑρπετῶν, τῶν ἐπὶ τῆς γῆς, ἀκάθαρτα ταῦτα λέγει· τὴν γαλῆν, τὸν χερσαῖον κροκόδειλον, τὴν μυγαλῆν, τὸν χαμαιλέοντα, τὸν ἀσκαλαβώτην, τὴν σαύραν καὶ τὸν ἀσπάλακα. Περὶ γὰρ τοῦ ὄφεως καὶ τῶν

ὁμοίων αὐτῷ, περιττὸν ἦν μνημονεῦσαι· φανερῶς μὲν γάρ φησι ταῦτα βδελυκτὰ εἶναι καὶ μισητά· ὅμως δὲ καὶ ἐμνημόνευσεν ἐν τῷ Δευτερονομίῳ περὶ αὐτῶν.

Βιβλίον δ', Ἀριθμοί.

8. Τοῦ αὐτοῦ Μωϋσέως καὶ τοῦτο τὸ βιβλίον, τῶν Ἀριθμῶν συγγραφή. Λέγεται δὲ οὕτω τὸ βιβλίον, ἐπειδὴ καὶ τοῦ λαοῦ παντὸς ὁ ἀριθμὸς ἐν τούτῳ περιέχεται, ἑκάστης φυλῆς τῶν Ἰουδαίων ἐκ προστάγματος Κυρίου μετρηθείσης. Ἠριθμήθη δὲ ὁ λαὸς ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ἀνὴρ ἐκπορευόμενος εἰς πόλεμον, χωρὶς τῆς φυλῆς τοῦ Λευΐ· αὕτη γὰρ καθ' ἑαυτὴν ἐμετρήθη· καὶ εὑρέθη ὁ ἀριθμὸς τῶν μετρηθέντων χιλιάδες ἑξακόσιαι καὶ τρισχίλιοι πεντακόσιοι πεντήκοντα. Οἱ δὲ ἀριθμοῦντες ἦσαν τὸν μὲν λαὸν Μωϋσῆς καὶ Ἀαρών, καὶ σὺν αὐτοῖς ἑκάστης φυλῆς ἄρχων. Καὶ ἔτσι τῶν τε ἀρχόντων τὰ ὀνόματα ταῦτα, καὶ ὁ ἀριθμὸς οὗτος·

Τῶν Ῥουβὶμ Ἐλισούρ, υἱὸς Σεδιούρ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες μϛ' καὶ πεντακόσιοι.

Τῶν Συμεὼν Σαλαμιήλ, υἱὸς Σουρισαδαί· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες οδ' καὶ ἑξακόσιοι.

Τῶν Ἰσάχαρ Ναθαναήλ, υἱὸς Σωγάρ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες νδ' καὶ τετρακόσιοι.

Τῶν Ζαβουλὼν Ἐλιάβ, υἱὸς Χελών· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες νζ' τετρακόσιοι.

Τῶν υἱῶν Ἰωσήφ, τῶν Ἐφραίμ, Ἐλισαμὰ υἱὸς Ἐμιούδ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες μβ' καὶ πεντακόσιοι.

Τῶν Μανασσῆ Γαμαλιήλ, υἱὸς Φαδασσούρ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες λβ' καὶ τριακόσιοι.

Τῶν Βενιαμὶν Ἀβιδά, υἱὸς Γεδεών· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες λε' καὶ τετρακόσιοι.

Τῶν Δὰν Ἀχιέζερ, υἱὸς Ἀμισαδαΐ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες ξβ' καὶ ἑπτακόσιοι.

Τῶν Ἀσὴρ Φαγεήλ, υἱὸς Ἐχράν· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες μα' καὶ πεντακόσιοι.

Τῶν Γὰδ Ἐλισάφ, υἱὸς Ῥαγουήλ· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες με' καὶ ἑξακόσιοι πεντήκοντα.

Τῶν Νεφθαλεὶμ Ἀχειρέ, υἱὸς Αἰνάν· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες νγ' καὶ τετρακόσιοι.

Οὗτος ὁ ἀριθμὸς τοῦ πολεμιστοῦ λαοῦ, χιλιάδες ἑξακόσιαι καὶ τρισχίλιοι πεντακόσιοι πεντήκοντα.

Τὴν δὲ φυλὴν Λευΐ καθ' ἑαυτοὺς ἠρίθμησαν διὰ φωνῆς Κυρίου μόνοι Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ μηνιαίου καὶ ἐπάνω· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν χιλιάδες εἴκοσι καὶ δύο.

Ἠρίθμησε δὲ καὶ τὰ ἀρσενικὰ πρωτότοκα πασῶν τῶν ἄλλων φυλῶν Μωϋσῆς μόνος, καὶ εὑρέθη ὁ ἀριθμὸς αὐτῶν χιλιάδες κβʹ καὶ διακόσιοι ἑβδομήκοντα τρεῖς. Καὶ ἀντὶ τῶν πρωτοτόκων τούτων ἐλογίσθησαν οἱ Λευῖται τῷ Θεῷ· τοσοῦτοι γὰρ ἦσαν καὶ οἱ Λευῖται. Καὶ κελεύονται καὶ αὐτοὶ ἀφαγνισθῆναι διὰ Μωϋσέως, καὶ ἀφορίζονται λοιπὸν διὰ Ἀαρὼν ἐργάζεσθαι τὰ ἔργα Κυρίου ἀντὶ τοῦ λαοῦ, καὶ αἴρειν τὰ σκεύη τῆς σκηνῆς, καὶ λειτουργεῖν Ἀαρών, καὶ τοῖς υἱοῖς αὐτοῦ. Ἔστι δὲ ἐν αὐτῷ τῷ βιβλίῳ καὶ ἡ διατύπωσις τῆς ὁδοιπορίας τοῦ λαοῦ, καὶ ἡ ἀνάστασις τῆς σκηνῆς, καὶ ἡ πρόσταξις ἡ περὶ σαλπίγγων, εἰς τὸ ἐν αὐταῖς ἀνακαλεῖσθαι τὸν λαόν. Ὧδε σημαίνεται καὶ ὁ ἐγκαινισμὸς τοῦ θυσιαστηρίου, καὶ πῶς ἔχρισε τὴν σκηνήν, καὶ ἡγίασεν αὐτήν τε καὶ πάντα τὰ ἐν αὐτῇ· ἥ τε διάταξις τῶν προσφορῶν τῶν εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου, καὶ ὅρος τῶν χρόνων τῆς λειτουργίας τῶν Λευϊτῶν· ὥστε ἀπὸ μὲν εἴκοσι καὶ πέντε ἐτῶν ἄρχεσθαι αὐτοὺς λειτουργεῖν· πεντήκοντα δὲ ἐτῶν γενομένους, ἀφίστασθαι μὲν τῆς λειτουργίας, φυλάττειν δὲ μόνον τὴν σκηνήν.

Γέγραπται δὲ καὶ περὶ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ, τοῦ ἐπικαταρωμένου· καὶ ὁ νόμος ὁ περὶ τῶν εὐχομένων ἀπέχεσθαι οἴνου, καὶ μὴ κείρεσθαι τὴν κεφαλήν· καὶ ὅτι γογγύσαντι πάλαι διὰ κρέας τῷ λαῷ δέδωκεν ὀρτυγομήτραν ὁ Θεός, καὶ διψῶντι δὲ καὶ πάλιν γογγύσαντι τῷ λαῷ δέδωκεν ἐκ πέτρας ὕδωρ, ἣν ἐκάλεσε Μωϋσῆς ὕδωρ ἀντιλογίας. Ἀπέστειλέ τε κατασκόπους ἕνα κατὰ φυλήν, ἐν οἷς καὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ, καὶ Χάλεβ τὸν τοῦ Ἰεφονῆ. Ὧδε καὶ ἡ συναγωγὴ Κορὲ ἐπανέστη κατὰ Μωϋσέως καὶ ζῶντες κατεπόθησαν εἰς τὴν γῆν μετὰ Δαθὰν καὶ Ἀβειρών· ὅτε καὶ Μαρία ἡ ἀδελφὴ Ἀαρὼν ἐλεπρώθη· καὶ ἡ ῥάβδος Ἀαρὼν ἐβλάστησε κάρυον. Καὶ μετὰ ταῦτα ἀποθνήσκει Ἀαρὼν ἐν τῷ ὄρει Ὢρ, καὶ διαδέχεται καὶ ἡ λαλήσασα αὐτοῦ ὄνος ἀνθρωπίνῃ φωνῇ ἱστορεῖται· καὶ ὅτι ὁ μὲν Βαλὰκ βασιλεὺς Μωὰβ κατῃσχύνθη τοῦ δὲ λαοῦ βεβηλωθέντος ἐξ ὑποβολῆς τοῦ Βαλαάμ, ὁ Φινεῆς ἀνέτρωσε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλίτην Ζαμβρῆ ἐκ φυλῆς Συμεὼν διὰ τὰς πορνείας, καὶ οὕτω πέπαυται ἡ ὀργή. Καταλαλήσας δὲ ὁ λαὸς πρὸς τὸν Θεὸν κατὰ Μωϋσέως, ἐδάκνοντο ὑπὸ ὄφεων, καὶ ὕστερον ἀξιωσάντων αὐτῶν, προσέταξεν ὁ Θεὸς γενέσθαι ὄφιν χαλκοῦν, καὶ κρεμασθῆναι αὐτόν· ἵνα ὁ δηχθεὶς βλέπων αὐτὸν ζήσῃ. Ὧδε κελεύει ὁ Θεὸς τῷ Μωϋσῇ καὶ Ἐλεάζαρ τῷ ἱερεῖ μετρῆσαι πάλιν τὸν λαὸν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, καὶ εὑρέθη ὁ ἀριθμὸς αὐτῶν χιλιάδες ἑξακόσιαι καὶ χίλιοι ἑπτακόσιοι τριάκοντα. Καὶ οἱ Λευῖται δὲ πάλιν καθ' ἑαυτοὺς ἠριθμήθησαν, καὶ εὑρέθησαν χιλιάδες κγʹ. Ἡ μὲν οὖν ἐπίσκεψις αὕτη γέγονε ἐν Μωάβ, ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ. Ἐν τούτοις δὲ οὐδεὶς ἦν τῶν πρότερον ἐπεσκεμμένων· ὅτι ἀπέθανον, πλὴν Χαλὲβ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ.

Ἐν τούτῳ τῷ βιβλίῳ ἔγραψε Μωϋσῆς διὰ ῥήματων Κυρίου ἀπάρσεις αὐτῶν καὶ τοὺς σταθμοὺς αὐτῶν, ἐν οἷς ὁδεύοντες ἀπὸ τῆς

Αἰγύπτου κατέλυον ἀναπαυόμενοι. Καὶ εἰσὶν οὗτοι· Ἀπὸ Ῥαμεσσῆ τῆς Αἰγύπτου ἐξῆλθον τῷ πρώτῳ μηνὶ ἐπαύριον τοῦ Πάσχα, καὶ ἦλθον εἰς Σοχώθ, ἀπὸ Σοχὼθ εἰς Βουθάν, ἀπὸ Βουθὰν εἰς Βεελσεπφών, ἀπέναντι Μαγδώλου· ἀπὸ Βεελσεπφὼν διέβησαν μέσον τῆς θαλάσσης· ἀπὸ θαλάσσης εἰς Πικρίας, καὶ ἀπὸ Πικριῶν εἰς Ἐλείμ, ὅπου οἱ Φοίνικες· καὶ ἀπὸ Ἐλεὶμ εἰς Σεὶρ τὴν ἔρημον· ἀπὸ τῆς ἐρήμου Σεὶρ εἰς Ῥάφακα· ἀπὸ Ῥάφακα εἰς Ἐλείμ, καὶ ἀπὸ Ἐλεὶμ εἰς Ῥαφιδείμ· ἀπὸ Ῥαφιδεὶμ εἰς Σινᾶ τὴν ἔρημον· ἀπὸ ἐρήμου Σινᾶ εἰς Μνήματα τῆς ἐπιθυμίας· ἀπὸ Μνημάτων τῆς ἐπιθυμίας εἰς Ἀσιρώθ· ἀπὸ Ἀσιρὼθ εἰς Ῥαθαμά· ἀπὸ Ῥαθαμά, εἰς Ῥεμμὼν Φαρές· καὶ ἀπὸ Ῥεμμὼν Φαρὲς εἰς Λειμῶνα· ἀπὸ Λειμῶνα εἰς Δεσσάν· ἀπὸ Δεσσὰν εἰς Μακελλάθ· ἀπὸ Μακελλὰθ εἰς Σαφάρ· ἀπὸ Σαφὰρ εἰς Χαραδάθ· ἀπὸ Χαραδὰθ εἰς Μακηλώθ· ἀπὸ Μακηλὼθ εἰς Καταάθ· ἀπὸ Καταὰθ εἰς Ταράθ· ἀπὸ Ταρὰθ εἰς Ματτεκᾶ· ἀπὸ Ματτεκᾶ εἰς Σελμῶνα· ἀπὸ Σελμῶνος εἰς Μασουρώθ· ἀπὸ Μασουρὼθ εἰς Βάναια· καὶ ἀπὸ Βάναια εἰς τὸ ὄρος Γαδγάδ· καὶ ἀπὸ ὄρους Γαδγὰδ εἰς Ἐταβαθᾶ· καὶ ἀπὸ Ἐταβαθᾶ εἰς Σεβρῶνα· καὶ ἀπὸ Σεβρῶνα εἰς Γεσιωνγαβέρ· καὶ ἀπὸ Γεσιωνγαβὲρ εἰς τὴν ἔρημον Σεῖν· καὶ ἀπὸ ἐρήμου Σεῖν εἰς τὴν ἔρημον Φαράν· αὕτη ἐστὶ Κάδες· ἐκεῖ ἀπέθανεν Μαριὰμ ἐν Κάδῃ· ἀπὸ Κάδης εἰς Ὢρ τὸ ὄρος πλησίον γῆς Ἐδώμ, εἰς ὃ ἀναβὰς Ἀαρὼν ὁ ἀρχιερεὺς ἀπέθανε διὰ προσταγμάτων Κυρίου ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραήλ, ἐν τῷ μηνὶ τῷ πέμπτῳ, μιᾷ τοῦ μηνός, ἐτῶν ρκγ΄· ἀπὸ Ὢρ τοῦ ὄρους εἰς Σελμῶνα· καὶ ἀπὸ Σελμῶνος εἰς Φεινώ· καὶ ἀπὸ Φεινὼ εἰς Σωβώθ· καὶ ἀπὸ Σωβὼθ ἐν Γαί, ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων Μοάβ· ἀπὸ Γαὶ εἰς Δαιβωνγάδ· ἀπὸ Δαιβωνγὰδ εἰς Γελμωνδαιβλαθέμ· καὶ ἀπὸ Γελμωνδαιβλαθὲμ ἐπὶ τὰ ὄρη τὰ Ἀβαρεὶμ ἀπέναντι Ἀβαῦ· ἀπὸ ὀρέων Ἀβαρεὶμ εἰς δυσμὰς Μωάβ, παρὰ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ, καὶ παρενέβαλον παρὰ Ἰορδάνην. Οἱ μὲν σταθμοὶ μγ΄.

Ὧδε δὲ τροπώσας καὶ κρατήσας ἐθνῶν, ἐν τῷ πέραν τοῦ Ἰορδάνου Μωϋσῆς, καὶ ἀναιρεθέντος τοῦ Σηὼν βασιλέως τῶν Ἀμορραίων, καὶ τοῦ Ὢγ βασιλέως τῆς Σασάν, ὃς ἦν ἐκ τῶν γιγάντων, κελεύεται διαδοῦναι τὰς χώρας τῷ Ῥουβίμ, καὶ τῷ Γάδ, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ, καὶ συντάξαι τοῖς υἱοῖς Ἰσραὴλ δοῦναι τοῖς Λευίταις ἀπὸ τῶν κλήρων τῆς κατασχέσεως αὐτῶν πόλεις κατοικεῖν καὶ τὰ προάστεια τῶν πόλεων· καὶ πάλιν δοῦναι πόλεις φυγαδευτηρίων, τρεῖς μὲν πέραν τοῦ Ἰορδάνου, τρεῖς δὲ ἐν γῇ Χαναάν, καὶ εἶναι ταύτας ἐπὶ τῷ καταφυγεῖν ἐκεῖ τὸν ἀκουσίως φονεύσαντα, καὶ μὴ προπετῶς ἀναιρεῖσθαι ὑπὸ τοῦ συγγενοῦς τοῦ φονευθέντος, ἕως στῇ ἔναντι τῆς συναγωγῆς εἰς κρίσιν. Ἐν τούτῳ τῷ βιβλίῳ κελεύεται ὁ λαὸς ποιῆσαι, κράσπεδα ἐν τοῖς ἱματίοις ἑαυτῶν, καὶ ἐπὶ τῶν κρασπέδων κλῶσμα ὑακίνθινον, ἵνα βλέποντες αὐτὰ μὴ ἐπιλανθάνωνται τῶν ἐντολῶν τοῦ Θεοῦ. Ὧδε λαμβάνουσι κλῆρον αἱ θυγατέρες Σαλπαάδ, τὸν τοῦ πατρὸς ἑαυτῶν· καὶ ἐκ τῆς προφάσεως αὐτῶν γίνεται πρόσταγμα Κυ-

ρίου καὶ νόμος, νόμιμον εἶναι γάμον τὴν πρὸς ἀνεψιοὺς συζυγίαν. Καὶ Μωϋσῆς ὧδε εἶδεν ἀπὸ τοῦ ὄρους τοῦ Ἀβαρείμ, τουτέστιν Ἀβαῦ, τὴν γῆν τῆς ἐπαγγελίας· καὶ ἤκουσεν· Οὐ μὴ εἰσέλθῃς ἐκεῖ διὰ τὸν παροξυσμὸν τὸν ἐν τῷ ὕδατι τῆς ἀντιλογίας. Ἀπέθανε δὲ Ἀαρὼν ἐτῶν ρκγ' τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου, τῷ μηνὶ τῷ πέμπτῳ. Οἱ δὲ ἀποσταλέντες κατασκέψασθαι τὴν γῆν, ἐκ μὲν προστάγματος Κυρίου ἀπεστάλη ἀνὴρ ἕκαστος κατὰ φυλήν· τὰ δὲ ὀνόματα αὐτῶν ἐστι ταῦτα· τῆς φυλῆς τοῦ Ῥουβὶμ Σαλαμιὴλ υἱὸς Ζακχούρ· τῆς φυλῆς Συμεὼν Σαφὰτ υἱὸς Σουρεί· τῆς φυλῆς Ἰούδα Χαλὲβ υἱὸς Ἰεφονῆ· τῆς φυλῆς Ἰσαχὰρ Ἰλαὰλ υἱὸς Ἰωσήφ· τῆς φυλῆς Ἐφραῒμ Ναυσῆς υἱὸς Ναυῆ· τῆς φυλῆς Βενιαμὶν Φαλτεὶν υἱὸς Ῥαφοῦ· τῆς φυλῆς Ζαβουλὼν Γουδιὴλ υἱὸς Σουδί· τῆς φυλῆς Ἰωσήφ, τῶν υἱῶν Μανασσῆ, Γαδδὶ υἱὸς Σουσσί· τῆς φυλῆς Δὰν Ἀμίης υἱὸς Γαμαί· τῆς φυλῆς Ἀσὴρ Σαθοὺρ υἱὸς Μιχαήλ· τῆς φυλῆς Νεφθαλεὶμ Ναβὶ υἱὸς Ναβί· τῆς φυλῆς Γὰδ Γαδδιδουδιὴλ υἱὸς Μαχέ. Ὁ δὲ τύπος, ἀφ' οὗ ἀπεστάλησάν ἐστι Φαρὰν καὶ Κάδης Βάρνη. Τότε ἐπωνόμασε Μωϋσῆς τὸν Ναυσῆ τὸν υἱὸν Ναυῆ Ἰησοῦν. Ὁ δὲ καιρός, ἐν ᾧ ἐπέμφθησαν, τὸ μέσον τοῦ ἔαρος ἦν, ἐν ᾧ πρόδρομοι σταφυλῆς εἰσιν· ὁ δὲ χρόνος, ὃν ἐποίησαν κατασκοποῦντες, ἐν τεσσαράκοντα ἡμέραις γέγονεν.

Βιβλίου ε', Δευτερονόμιον.

9. Καὶ τοῦτο βιβλίον Μωυσῆς ἐλάλησε καὶ ἔγραψε. Καλεῖται δὲ οὕτως, ἐπειδὴ μετὰ τὰ γεγραμμένα ἐν ταῖς πλαξί, δεύτερον ὥσπερ νόμον τοὺς λόγους τοῦ βιβλίου τούτου ἐλάλησε Μωϋσῆς τῷ Ἰσραὴλ ἐκ προστάγματος Κυρίου. Μετὰ γὰρ τὸ λαλῆσαι Μωϋσῆν τὰ ἐν τῷ βιβλίῳ τούτῳ, γέγραπται οὕτως ἐν αὐτῷ τούτῳ τῷ Δευτερονομίῳ· «Οὗτοι οἱ λόγοι τῆς διαθήκης, ὅσα ἐνετείλατο Κύριος Μωϋσῆ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ Μωάβ, πλὴν τῆς διαθήκης, ἧς διέθετο αὐτοῖς ἐν Χωρήβ.» Διὰ τοῦτο γὰρ αἱ μὲν πλάκες ἐν Χωρὴβ εἴρηνται, καὶ ἐν μέσῳ τῆς κιβωτοῦ ἐτέθησαν· τὸ δὲ βιβλίον τοῦτο ἐνετείλατο Μωϋσῆς τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν θεῖναι ἐκ πλαγίων τῆς κιβωτοῦ εἰς μαρτύριον· ὅπερ καὶ κατὰ ἑπτὰ ἔτη ἐνετείλατο ἀναγινώσκεσθαι ἐν τῇ ἡμέρᾳ τῆς ἀφέσεως, ὅτε καὶ ἡ Σκηνοποιΐα ἐγένετο. Αὕτη μὲν πρώτη αἰτία τῆς ὀνομασίας τοῦ βιβλίου· δευτέρα δὲ πάλιν ἑτέρα, ἐπειδὴ ἐν αὐτῷ δευτεροῖ, καὶ διεσάφησε πάντα τὰ προειρημένα ἔν τε τῇ Ἐξόδῳ καὶ τῷ Λευϊτικῷ, καὶ τοῖς Ἀριθμοῖς, νόμιμά τε καὶ δικαιώματα καὶ προστάγματα· καὶ ὑπομιμνήσκει πάλιν τὸν λαόν, ἵνα φυλάξῃ αὐτά. Καὶ ἐπαναλαμβάνει δὲ ἐν αὐτῷ τήν τε ἀπ' Αἰγύπτου ἔξοδον, καὶ πάσας τὰς γεγενημένας αὐτοῖς εὐεργεσίας, καὶ τὰ σημεῖα, καὶ τὰ τέρατα· ἵνα μὴ ἐπιλάθωνται τοῦ ποιήσαντος αὐτὰ Θεοῦ. Ὁρίζει δὲ ἐν αὐτῷ περί τε τῆς εὐλογίας τοῖς φυλάσσουσι τὸν νόμον, καὶ τῆς κατάρας τοῖς παραβαίνουσιν· ἵνα ἡ μὲν εὐλογία λέγηται ἐν τῷ

ὄρει τῷ Γαριζεὶν διὰ τούτων· διὰ Συμεών, Λευΐ, Ἰούδα, Ἰσαχάρ, Ἰωσήφ, καὶ Βενιαμίν· ἡ δὲ κατάρα ἐν τῷ ὄρει Γαιβὰλ ἀπὸ Ῥουβίμ, Γάδ, Ἀσήρ, Ζαβουλών, Δάν, καὶ Νεφθαλείμ. Πρὸς ὑπόμνησιν δὲ καὶ τὴν διὰ παντὸς μελέτην, ἔγραψεν ἐκ προστάγματος Κυρίου τὴν μεγάλην Ὠδήν· ἵνα, ταύτην ἐκμαθόντες ἀεί τε μελετῶντες αὐτήν, μὴ ἐπιλάθωνται τοῦ Θεοῦ. Εὐλογήσας τε ἑκάστην φυλὴν καὶ γράψας τὴν εὐλογίαν, καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ, εἰς τὸ δέξασθαι αὐτὸν κατὰ πρόσταγμα Θεοῦ, ἀνέβη λοιπὸν εἰς τὸ ὄρος τὸ Ἀβαρείμ, τουτέστιν Ἀβαῦ, καὶ ἐτελεύτησεν ἐκεῖ διὰ ῥήματος Κυρίου ἐτῶν ρκ', μὴ ἀμαυρωθέντων αὐτοῦ τῶν ὀφθαλμῶν, ἢ τοῦ προσώπου αὐτοῦ φθαρέντος· καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

Βιβλίον ϛ', Ἰησοῦς ὁ τοῦ Ναυῆ.

10. Τὰ δὲ ἐντεῦθεν βιβλία μέχρι τοῦ Ἔσδρα, οὐ πάντα ἐκείνων εἰσὶ συγγραφαί, ὧν καὶ τὰς ἐπιγραφὰς φέρουσι, καὶ περὶ ὧν διαλαμβάνουσι. Λόγος δὲ φέρεται, παρὰ τῶν κατὰ τοὺς ἑκάστους καιροὺς προφητῶν συγγεγράφθαι αὐτά, Περὶ γοῦν τῶν ἐπιγραφῶν αὐτῶν τέως διαληπτέον. Τὸ παρὸν τοίνυν βιβλίον ἐπιγέγραπται Ἰησοῦς ὁ τοῦ Ναυῆ· ἐπειδὴ αὐτὸς Ἰησοῦς ὁ τοῦ Ναυῆ, διαδεξάμενος Μωϋσῆν, ἐστρατήγησε τοῦ λαοῦ καὶ τὴν κατ' αὐτὸν ἱστορίαν καὶ τὰς πράξεις αὐτοῦ περιέχει. Ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ, πῶς τοῦ Ἰορδάνου ποταμοῦ τὸ μὲν ἄνωθεν ἐκ τῆς πηγῆς ἔστη ῥεῦμα, τὸ δὲ φθάσαν ἐξεκενώθη, καὶ ξηρῷ τῷ ποδὶ διέβησαν αὐτόν· καὶ ὅτι ἐν Γαλγάλοις περιέτεμε τοὺς ἐν τῇ ἐρήμῳ γεννηθέντας πάντας ἐν πετρίναις μαχαίραις, καὶ ἐκάλεσε τὸν τόπον Γαλγάλ· καὶ ὅτι, περάσαντος τοῦ λαοῦ, καὶ φαγόντος ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἐξέλιπε λοιπὸν τὸ μάννα· καὶ τῆς μὲν Ἱεριχοῦς αὐτόματα τὰ τείχη πέπτωκεν· ἡ δὲ Ῥαὰβ ἡ πόρνη ἐσώθη, φυλάξασα τοὺς κατασκόπους· καὶ ὅτι ἥλιος ἐν τῷ μεσουρανήματι ὤν, εὐξαμένου Ἰησοῦ τοῦ υἱοῦ τοῦ Ναυῆ, ἔστη κατὰ Γαβαὼν ἡμέρας ὁλοκλήρου διάστημα, ἕως τροπώσηται τοὺς ἐχθρούς. Καταπολεμήσας δὲ τοὺς Ἀμορραίους καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν, καὶ μερίσας ταῖς ἐννέα φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ τὴν γῆν πᾶσαν, ἦρξε μὲν τοῦ λαοῦ, ἔτη κϛ', ἐτελεύτησε δὲ ἐτῶν ρι'. Οἱ δὲ διελόντες τὴν γῆν τῷ λαῷ ἦσαν Ἐλεαζὰρ ὁ ἱερεύς, καὶ αὐτὸς Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ κατὰ φυλὴν εἷς· φυλῆς Ἰούδα Χαλέβ· τῆς Συμεὼν Σαλαμιήλ· τῆς Βενιαμὶν Ἐλδάδ· τῆς Δὰν Βακχείρ· τῆς Μανασσῆ Ἀνιήλ· τῆς Ἐφραῒμ Καμουήλ· τῆς Ζαβουλὼν Ἐλισάφαν· τῆς Ἰσάχαρ Φειτιήλ· τῆς Ἀσὴρ Ἀχιώρ· τῆς Νεφθαλεὶμ Φαθαήλ. Καὶ τοὺς μὲν βασιλεῖς τῆς γῆς, οὓς ἐπάταξαν Μωϋσῆς καὶ υἱοὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου ἀφ' ἡλίου ἀνατολῶν, ἀπὸ φάραγγος Ἀρνὼν ἕως τοῦ ὄρους Ἀερμών, καὶ πᾶσαν τὴν γῆν Ἄρραβα ἀπὸ ἀνατολῶν, τούτους

εἶναι λέγει· Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὃς κατῴκει ἐν Ἐσεβὼν κυριεύων· καὶ Ὢγ βασιλέα τῆς Βάσαν, ὃς ὑπελείφθη ἐκ τῶν γιγάντων, ὃς κατῴκει ἐν Ἀσταρώθ, καὶ ἐν Ἐδραείμ, ἄρχων ἀπὸ ὄρους Ἀερμὼν ἕως ὁρίων Γέργεσι καὶ τὸ ἥμισυ Γαλαάδ. Τούτων ἀναιρεθέντων, δέδωκε Μωϋσῆς τὴν γῆν αὐτῶν τῷ Ῥουβίμ, καὶ τῷ Γάδ, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. Τοὺς δὲ βασιλεῖς πάλιν τῶν Ἀμορραίων, οὓς ἀνεῖλεν Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ υἱοὶ Ἰσραὴλ μετὰ τὸ περάσαι τὸν Ἰορδάνην παρὰ θάλασσαν ἐν τῷ πεδίῳ τοῦ Λιβάνου ἕως τοῦ ὄρους Χελκᾶ, ἀναβαινόντων εἰς Σκείρ, τούτους εἶναι λέγει, ὧν καὶ τὴν γῆν δέδωκεν Ἰησοῦς ταῖς ὑπολοίποις φυλαῖς εἰς κληρονομίαν κατὰ κλῆρον αὐτῶν· τὸν Χεταῖον, καὶ τὸν Ἀμορραῖον, καὶ τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἰεβουσαῖον, καὶ τὸν βασιλέα Ἱεριχώ, καὶ τὸν βασιλέα τῆς Γαί, ἥ ἐστι πλησίον Βαιθήλ, βασιλέα Ἱερουσαλήμ, βασιλέα Χεβρών, βασιλέα Ἱεριμούθ, βασιλέα Λαχείς, βασιλέα Ἐλάμ, βασιλέα Γαζέρ, βασιλέα Δαβείρ, βασιλέα Γισέ, βασιλέα Ἀερμάθ, βασιλέα Αἰράθ, βασιλέα Ἀράθ, βασιλέα Λοβνᾶ, βασιλέα Ὀδολλάμ, βασιλέα Ἠλάτ, βασιλέα Ἀθαφούθ, βασιλέα Ὀφέρ, βασιλέα Ὀφὲκ τῆς Ἀρώθ, βασιλέα Ἀσώμ, βασιλέα Σομοών, βασιλέα Μαμβρόθ, βασιλέα Ζείφ, βασιλέα Κάδης, βασιλέα Ζαάκ, βασιλέα Μανεδώθ, βασιλέα Ἰωκὼμ τοῦ Χαρμέλ. βασιλέα Ἐδδὼρ τοῦ Φενεδαώρ, βασιλέα Γεὶδ τῆς Γαλιλαίας, βασιλέα Θερσᾶ.

Βιβλίον ζ', Κριταί.

11. Καλεῖται τὸ βιβλίον Κριταί, ἐπειδὴ μετὰ τὸν θάνατον Ἰησοῦ υἱοῦ τοῦ Ναυῆ, διὰ τῶν κριτῶν ἔσῳζεν ὁ Θεὸς τὸν λαὸν θλιβόμενον ὑπὸ τῶν ἀλλοφύλων, τῶν περιλειφθέντων Χαναναίων· καὶ τούτων τῶν κριτῶν ἑκάστου καὶ τὰς πράξεις καὶ τὸν χρόνον τῆς ζωῆς ἡ βίβλος αὕτη περιέχει. Γεγόνασι δὲ κριταὶ οὗτοι· πρῶτος Γοθονιήλ· οὗτος ἀνεῖλε τὸν Χουσαρσαθαΐμ, βασιλέα Συρίας ποταμῶν, θλίψαντα τὸν λαὸν ἔτη μ'· μετὰ τοῦτον Αὐώδ, ἀμφοτεροδέξιος· οὗτος ἀνεῖλε τὸν Αἰγλὼμ βασιλέα Μωάβ, ἐν μαχαίρᾳ διστόμῳ, δρακὸς ἐχούσῃ τὸ μῆκος, θλίψαντα τὸν λαὸν ἔτη ιη'· καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ ἔτη π'· μετὰ τοῦτον Ταμεγάρ, υἱὸς Δινάχ· οὗτος ἐπάταξεν ἑξακοσίους τῶν ἀλλοφύλων ἐν τῷ ἀροτρόποδι τῶν βοῶν· καὶ αὐτὸς ἔκρινε τὸν λαὸν ἔτος α'. Μετ' αὐτὸν Βαράχ, υἱὸς Ἀβινέχ. Οὗτος ἐπολέμησεν Ἰαβὶν καὶ τὸν Σισάρα, θλίψαντας τὸν Ἰσραὴλ ἔτη κ'. Τὸν μὲν οὖν Σισάρα ἀπέκτεινεν Ἰαήλ, γυνὴ Χαθὲρ τοῦ Κιναίου ἐν πασσάλῳ· αὐτὸς δὲ ἔκρινεν τὸν Ἰσραὴλ ἔτη μ'. Μετ' αὐτὸν Γεδεών· αὐτός ἐστιν Ἱεροβαάλ. Αὐτὸς ἐπάταξε Μαδιάν, καὶ τὸν Ὠρήβ, καὶ Ζεβεέ, καὶ Σαλμανὰ τοὺς ἄρχοντας αὐτῶν, τόν τε πύργον Φανουὴλ κατέστρεψε, καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ'. Αὐτὸς δὲ ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ'. Μετὰ τοῦτον Ἀβιμελέχ,

υἱὸς Γεδεὼν ἐκ παλλακῆς· οὗτος ἀπέκτεινε τοὺς ἀδελφοὺς ἑαυτοῦ, τοὺς ἐκ τῶν ἐλευθέρων, ο΄ ἄνδρας ἐπὶ λίθον ἕνα. Ἔφυγε δὲ εἷς ἐξ αὐτῶν Ἰωάθαμ. Ἀλλὰ καὶ Ἀβιμελὲχ γέγονε μετὰ τῶν αὐτῷ συνελθόντων ὡς πῦρ ἀπὸ ῥάμνου· πολλούς τε ἀποκτείνας, ἀπέθανε καὶ αὐτὸς ῥιψάσης γυναικὸς ἀπὸ τοῦ τείχους ἐπ᾽ αὐτὸν κλάσμα μύλου. Καὶ αὐτὸς δὲ ἦρξεν ἔτη τρία. Μετ᾽ αὐτὸν Θωλὰ υἱὸς Φούα, υἱὸς πατραδέλφου Ἀβιμελέχ. Καὶ αὐτὸς ἦρξεν ἔτη κγ΄. Μετ᾽ αὐτὸν Ἰαεὶρ ὁ Γαλααδίτης ἔτη κβ΄. Μετ᾽ αὐτὸν Ἰεφθάε ὁ Γαλααδίτης· οὗτος ἀπέκτεινε τοὺς Ἀμανίτας καὶ τοὺς Φιλιστιείμ, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ιη΄. Εὐξάμενος δὲ ἐν τῷ πολέμῳ τὸν ἀπαντῶντα πρῶτον μετὰ τὴν νίκην ἀναφέρειν εἰς θυσίαν, ἀπαντήσασαν τὴν θυγατέρα, ἠξίωσεν πρότερον συγχωρηθῆναι αὐτῇ δίμηνον κλαῦσαι τὰ παρθένια αὐτῆς· οὕτως αὐτὴν ἀνενεγκὼν ὁ πατὴρ εἰς θυσίαν, ἔκρινε τὸν λαὸν ἔτη ἕξ. Μετ᾽ αὐτὸν Ἀβαισὰν ἀπὸ Βηθλεὲμ ἔτη ἑπτά. Μετ᾽ αὐτὸν Ἀϊλὼν ὁ Ζαβουλωνίτης ἔτη ι΄. Μετ᾽ αὐτὸν Λαβδών, ὁ Φαραθωνίτης ἔτη η΄. Μετ᾽ αὐτὸν Σαμψὼν ἀπὸ Δάν· οὗτος ἐπάταξε τοὺς Φιλιστιεὶμ ἐν σιαγόνι ὄνου, καὶ ἄλλοτε ῥάβδῳ, καὶ αὖθις ἀλώπεξι, καὶ ὕστερον συμπτώματι τοῦ οἴκου, θλίψαντας τὸν Ἰσραὴλ ἔτη μ΄. Καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ΄. Ποσοῦνται οὖν οἱ πάντες κριταὶ εἰς ιγ΄· τὰ δὲ ἔτη αὐτῶν υια΄.

Βιβλίον η΄, Ῥούθ.

12. Οὕτω λέγεται τὸ βιβλίον, ἐπειδὴ καὶ τὴν περὶ τῆς Ῥοὺθ ἱστορίαν μόνην περιέχει. Ἔστι δὲ αὕτη ἡ Ῥοὺθ τὸ μὲν γένος Μωαβῖτις, καὶ ἐν σωφροσύνῃ διαπρέψασα. Ἀποταξαμένη δὲ τῇ συγγενείᾳ καὶ τῇ πατρικῇ δεισιδαιμονίᾳ, μετέβαλεν εἰς θεοσέβειαν, καὶ μετῆλθεν εὐθὺς εἰς Βηθλεὲμ τῆς Ἰουδαίας, ἐκεῖ τε ἐζεύχθη τῷ Βοὸζ ἐκ φυλῆς Ἰούδα τυγχάνοντι, καὶ λοιπὸν ἐξ αὐτῆς γενεαλογεῖται ὁ Δαυὶδ οὕτω· Βοὸζ ἐκ τῆς Ῥοὺθ γεννᾷ τὸν Ὠβήδ· Ὠβὴδ δὲ τὸν Ἰεσσαί, Ἰεσσαὶ δὲ τὸν Δαυίδ.

Βιβλίον θ΄, Βασιλεῖαι πρώτη καὶ δευτέρα.

13. Βασιλεῖαι ὀνομάζεται τὰ βιβλία, ἐπειδὴ καὶ τὰς πράξεις τῶν γενομένων βασιλέων ἔν τε τῷ Ἰούδᾳ καὶ τῷ Ἰσραήλ, καὶ τὰ ἔτη αὐτῶν περιέχει. Διείληπται δὲ ἐν μὲν τῇ πρώτῃ βίβλῳ τῶν βασιλειῶν ταῦτα· θάνατος μὲν Ἠλεὶ τοῦ ἱερέως καὶ τῶν υἱῶν αὐτοῦ· γένεσις δὲ τοῦ Σαμουήλ· πῶς τε ὁ λαός, τὸ πρότερον ἀρχόμενος ὑπὸ τοῦ Θεοῦ, ἐγείροντος αὐτοῖς κατὰ καιρὸν τὸν βοηθόν, ὅμως ᾔτησε παρὰ τοῦ Σαμουήλ, κατὰ τὸ ἔθος τῶν ἐθνῶν, βασιλέα, καὶ ἔδωκεν αὐτοῖς τὸν Σαούλ, ἐκ φυλῆς Βενιαμίν· καὶ γέγονε λοιπὸν ἐξ ἐκείνου καὶ ἐν τῷ Ἰσραὴλ ἀρχὴ βασιλείας. Περιέχεται δὲ ἐνταῦθα, πῶς ὁ μὲν Σαοὺλ παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ ἀφηρέθη ἀπὸ τοῦ γένους αὐτοῦ ἡ

βασιλεία· ὁ δὲ Δαυὶδ ἀντ'αὐτοῦ ἐχρίσθη, καὶ μετηνέχθη εἰς τὸ γένος αὐτοῦ ἡ βασιλεία. Καὶ τὸν μὲν Γαλιάθ ἀνεῖλεν ὁ Δαυὶδ λιθαρίῳ μικροτάτῳ· ἐπειδὴ δὲ αἱ χορεύουσαι, τὰς μυριάδας δέδωκαν τῷ Δαβίδ, τὰς δὲ χιλιάδας τῷ Σαούλ, φθονήσας ὁ Σαούλ, ἐδίωκε τὸν Δαυίδ· καὶ ὁ μὲν Δαυὶδ διεσώθη , ὁ δὲ Σαοὺλ πολεμούμενος ἐζήτησεν ἐγγαστριμύθους, καὶ τῇ ἐπαύριον ἀναιρεθεὶς ἀπέθανε. Καὶ ἐν τούτῳ συμπληροῦται ἡ πρώτη βίβλος τῶν Βασιλειῶν.

14. Ἐν δὲ τῇ δευτέρᾳ πάλιν Δαυὶδ διεδέξατο τὴν βασιλείαν· Καὶ κατ' ἀρχὰς μὲν ὁ υἱὸς Σαοὺλ Μεμφιβοσὲθ ἐφιλονείκει, θέλων βασιλεύειν· ὕστερον δὲ πάντες προσετέθησαν τῷ Δαυίδ. Πάντας δὲ τοὺς πολέμους περιεγένετο Δαυίδ. Τὴν μὲν τοῦ Οὐρίου γυναῖκα τὴν Βηρσαβεὲ ἔλαβεν· ὁ δὲ υἱὸς αὐτοῦ Ἀβεσαλὼμ ἐδίωξεν αὐτόν, καὶ μετ' οὐ πολὺ συστάντος πολέμου, ἀνῃρέθη ὁ Ἀβεσαλώμ. Εἶτα τὸν λαὸν ἀριθμήσας, κεκίνηκεν ὀργὴν θείαν καθ' ἑαυτοῦ. Ἀλλὰ μετὰ ταῦτα, παρακληθέντος τοῦ Θεοῦ, ἡ ὀργὴ ἐπαύθη. Καὶ εἰς τοῦτο λήγει, καὶ τὸ δεύτερον βιβλίον τῶν Βασιλειῶν, γηράσαντος τοῦ Δαυίδ. Δυνατοὺς δὲ ὑφ' ἑαυτὸν ἔσχεν ὁ Δαυίδ, μεγάλους μὲν καὶ πολλούς, ὥστε τὸν μὲν μικρότερον αὐτῶν πρὸς ἑκατὸν ποιεῖν, τὸν δὲ μέγαν αὐτῶν πρὸς χιλίους. Ἔστι δέ τινων αὐτῶν τὰ ὀνόματα καὶ ἡ πρᾶξις. Σεβοχαὶ ὁ Ἀστωρί· οὗτος ἐπάταξεν τὸν Σέρ, τὸν τοῦ Ῥαφᾶ, τοῦ ἀπογόνου τῶν γιγάντων. Ἐλεανᾶν, υἱὸς Ἀριωργὶ ὁ Βηθλεεμίτης· οὗτος ἐπάταξε Γολιὰθ τὸν Χεταῖον, οὗ ἦν τὸν ξύλον τοῦ δόρατος, ὡς ἀντίον ὑφαινόντων. Ἦν δὲ καὶ οὗτος υἱὸς τοῦ Ῥαφᾶ. Ἰωνάθαν υἱὸς Σεμεσεί, ἀδελφοῦ Δαυίδ· οὗτος ἐπάταξεν ὀνειδίσαντα τῷ Ἰσραὴλ ἄνδρα ἐκ Ῥαμεδῶν, ἔχοντα ἐν ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀνὰ δακτύλους ἕξ, υἱὸν ὄντα καὶ αὐτὸν τοῦ Ῥαφᾶ, τοῦ ἀπογόνου τῶν γιγάντων. Ἀδίνων ὁ Ἀσωναῖος· οὗτος ἐσπᾶτο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους στρατιώτας εἰσάπαξ. Ἰεσσαιβαδὰ υἱὸς Ἀχαμανῆ· καὶ οὗτος ἐσπᾶτο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί. Ἐλεανᾶν υἱὸς Σωσῆ· οὗτος, συναχθέντων τῶν ἀλλοφύλων, μόνος ἥλατο ἐπ' αὐτούς, καὶ αὐτοὺς μὲν ἀνῄρει, ὥστε τὸ δόρυ, ἐμπαγῆναι τῇ χειρὶ αὐτοῦ· ὁ δὲ λαὸς ὀπίσω αὐτοῦ ἐσκύλευε. Μαρᾶ υἱὸς Ἀσᾶ, ὁ Σαρουχαῖος· οὗτος ἐπελθόντων τῶν ἀλλοφύλων, καὶ βουλομένων ἁρπάσαι τὴν μερίδα τοῦ ἀγροῦ, πλήρη οὖσαν φακῆς, τοῦ τε λαοῦ φυγόντος, μόνος ἔστη· καὶ τοὺς μὲν ἀλλοφύλους ἐδίωξε, τὸν δὲ μερίδα τοῦ ἀγροῦ ἐφύλαξεν, Ἐλεάζαρ, υἱὸς Δωδεθαρχωνί· καὶ οὗτος, μερίδος οὔσης κριθῶν, καὶ ἐπελθόντων τῶν ἀλλοφύλων, τοῦ τε λαοῦ φυγόντος, μόνος ἐστηλώθη· καὶ τοὺς μὲν ἀλλοφύλους ἐδίωξε, τὴν δὲ κριθὴν ἔσωσε. Τρεῖς δὲ δυνατοὶ ἀπὸ τῶν τριάκοντα ἦσαν μετὰ τοῦ Δαυίδ, καὶ τῶν ἀλλοφύλων κυκλωσάντων τὴν Βηθλεέμ, τοῦ δὲ Δαυὶδ ἐπιθυμήσαντος πιεῖν ἐκ τοῦ λάκκου τοῦ ἐν Βηθλεέμ, διέβησαν οἱ τρεῖς, καὶ διαρρήξαντες τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, ὑδρεύσαντο ἐκ τοῦ λάκκου, καὶ ἤνεγκαν ὕδωρ τῷ Δαυίδ. Θαυμάσας δὲ ὁ Δαυὶδ

τὴν δύναμιν αὐτῶν, τὸ μὲν ὕδωρ ἐδέξατο, πιεῖν δὲ οὐκ ἠθέλησεν· ἀλλ' ἔσπεισεν αὐτὸ τῷ Κυρίῳ λέγων· «Ἵλεώς μοι, Κύριε, τοῦτο ποιῆσαι· εἰ αἷμα τῶν ἀνθρώπων τῶν πορευθέντων ταῖς ψυχαῖς αὐτῶν πίομαι;[1]» Βανέας, υἱὸς Ἰωδαέ, πολλὰ μὲν ἐποίησεν ἔργα δυνατά· ἐπάταξε δὲ καὶ τοὺς υἱοὺς Ἀριὴλ τοῦ Μωάβ, καὶ καταβὰς ἐν ἡμέρᾳ χιόνος εἰς λάκκον, ἐπάταξε τὸν λέοντα. Οὗτος ἐπάταξε καὶ ἄνδρα δυνατὸν Αἰγύπτιον πεντάπηχυν ὄντα, καὶ ἔχοντα δόρυ ὡς ξύλον διαβάθρας· ἁρπάσας γὰρ ἀπ' αὐτοῦ τὸ δόρυ μετ' αὐτοῦ τοῦτον ἀπέκτεινεν. Ἀβισᾶ ἀδελφὸς Ἰωάβ, υἱὸς Σαρουίας τῆς ἀδελφῆς Δαυίδ. Ἄρχων μὲν ἦν καὶ οὗτος ἐν τοῖς προειρημένοις τρισίν· αὐτὸς δὲ ἐπάταξε τραυματίας τριάκοντα δόρατι ἐν καιρῷ τινι, καὶ ἔτρεχεν ὡς δορκὰς ἐν τοῖς ὄρεσι. Καὶ πάλιν αὐτὸς ἐπάταξε καὶ ἐθανάτωσε τὸν Ἐσβιέν, θέλοντα ἀναιρῆσαι τὸν Δαυίδ. Ἦν δὲ ὁ Ἐσβιὲν ἔκγονος τοῦ Ῥαφᾶ· δόρυ δὲ εἶχε σταθμοῦ ὁλκῆς χαλκοῦ τριάκοντα σίκλων, καὶ περιεζωσμένος ἦν κορύνην. Οὗτοι μὲν οὖν μεγάλοι καὶ δυνατοὶ ἦσαν· τοὺς δὲ πολεμιστὰς πάντας εἶχε Δαυὶδ μυριάδας τριάκοντα τέσσαρας καὶ διακοσίους.

Βιβλίον ι', Βασιλεία τρίτη καὶ τετάρτη.

15. Ἐν μὲν οὖν τῇ τρίτῃ πάλιν περιέχεται, ὅτι, γηράσαντος τοῦ Δαυίδ, ἐπαίρει ἑαυτὸν Ἀδωνίας ὁ υἱὸς αὐτοῦ, καὶ χωρὶς τοῦ πατρὸς ἀναγορεύει ἑαυτὸν βασιλέα. Καὶ τοῦτο μαθὼν ὁ Δαυίδ, ἀποστέλλει Ναθὰν τὸν προφήτην, καὶ Σαδὼκ τὸν ἱερέα, καὶ Βανέαν υἱὸν Ἰωδαέ, καὶ ἐντέλλεται αὐτοῖς, καὶ χρίουσι τὸν Σαλομῶνα εἰς βασιλέα ἔτι ζῶντος τοῦ Δαυίδ. Ὁ μὲν οὖν Ἀδωνίας εὐθὺς καταλύεται· ὁ δὲ Σαλομών, διαδεξάμενος, οἰκοδομεῖ τὸν οἶκον τοῦ Κυρίου καὶ τὸ τεῖχος Ἱερουσαλὴμ ἐν ἑπτὰ ἔτεσιν. Ἦσαν δὲ αὐτῷ ἀπὸ τῶν προσηλύτων αἴροντες μὲν ἄρσιν ἑβδομήκοντα χιλιάδες· λατόμοι δὲ πάλιν ἀπὸ τῶν προσηλύτων μυριάδες ὀκτώ. Ἐπιστατοῦντας δὲ τοῖς ἔργοις εἶχε τρισχιλίους εἴκοσι. Καὶ εἰς μὲν τὴν τροφὴν αὐτῶν καὶ τὰ δέοντα δώδεκα ἦσαν οἱ χορηγοῦντες ἕκαστον μῆνα. Καὶ ἦν τὸ καθ' ἡμέραν αὐτῶν τοῦτο λ' κόροι σεμιδάλεως, ξ' κόροι ἀλεύρου κεκουπανισμένου, μόσχοι ἐκλεκτοὶ δέκα, βόες δὲ νομάδες εἴκοσι, πρόβατα ρ', ἐκτὸς ἐλάφων καὶ δορκάδων, καὶ ὀρνίθων ἐκλεκτῶν σιτευτῶν. Ἀγέλην δὲ εἶχε θηλειῶν μὲν ἵππων τοκάδων μυριάδας τέσσαρας, ἵππων δὲ εἰς ἅρματα χιλιάδας ιβ'. Πλοῦτον δὲ εἶχε πολύν· ἐν γὰρ τῷ ἑνὶ ἐνιαυτῷ τοῦ κομισθέντος αὐτῷ χρυσίου ἦν ὁ σταθμός, τάλαντα χξς', χωρὶς τῶν φόρων τῶν ὑποτεταγμένων. Καὶ ἡ βασιλίλισσα δὲ Σαβὰ ἐλθοῦσα πρὸς αὐτόν, δέδωκεν αὐτῷ χρυσίου τάλαντα ρκ', καὶ λίθον τίμιον, καὶ ἡδύσματα ἀμύθητα. Μετὰ δὲ θάνατον Σολομῶνος, διεδέ-

1. Β' Βασ. 23, 17.

ξατο ὁ υἱὸς αὐτοῦ 'Ροβοὰμ τὴν βασιλείαν· καὶ ἐπ' αὐτοῦ ἐσχίσθη ἡ ἀρχή· καὶ δέκα μὲν φυλαὶ ἀπῆλθον εἰς Σαμάρειαν· δύο δὲ ἔμειναν ἐν 'Ιερουσαλὴμ ἡ 'Ιούδα καὶ ἡ Βενιαμίν. Εἰσὶν οὖν τὰ ἐμπεριεχόμενα τούτῳ τῷ τρίτῳ βιβλίῳ πράξεις καὶ ἔτη βασιλειῶν τούτων· Σολομῶνος βασιλέως πάντων ὁμοῦ. Μετὰ δὲ τὴν διαίρεσιν τῆς βασιλείας, ὡς εἴρηται, τῶν μὲν ἐν 'Ιουδαίᾳ βασιλέων τῶν δύο φυλῶν, 'Ροβοάμ, 'Αβιοῦ, 'Ασᾶ, καὶ 'Ιωσαφάθ· τῶν δὲ ἐν Σαμαρείᾳ βασιλέων τῶν δέκα φυλῶν, 'Ιεροβοάμ, Ναβάθ, Βαασᾶ, 'Ηλάν, Ζαμβρῆ, καὶ 'Αχαάβ. Καὶ περὶ προφητῶν δὲ διαλαμβάνει τούτων. Ναθάν, καὶ Γάδ, καὶ 'Αχιᾶ τοῦ Σηλωνίτου, καὶ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσιαστήριον τῆς Σαμαρείας· καὶ περὶ 'Ηλίου καὶ 'Ελισσαίου, καὶ τοῦ προφητεύσαντος τῷ 'Αχαὰβ περὶ τοῦ υἱοῦ 'Αδέρ, καὶ τοῦ πατάξαντος αὐτόν, καὶ ἐλέγξαντος τὸν 'Αχαάβ· καὶ ὅτι ἦσαν υἱοὶ τῶν προφητῶν καθ' ἑαυτοὺς ἀναχωροῦντες. Ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ, πῶς 'Ηλίας προεφήτευσε, καὶ οὐκ ἔβρεξεν ἐπὶ ἔτη τρία, καὶ ὅτι οἱ κόρακες ἔφερον αὐτῷ διὰ ῥήματα Κυρίου πρωΐας μὲν ἄρτους, δείλης δὲ κρέα. Ἔν τε τῇ Σαρεφθὰ τῆς Σιδωνίας πεποίηκε διὰ ῥήματα Κυρίου μὴ ἐκλεῖψαι τῆς χήρας τὴν ὑδρίαν τοῦ ἀλεύρου, καὶ τὸν καμψάκην τοῦ ἐλαίου μὴ ἐλαττονηθῆναι. Καὶ τὸν μὲν υἱὸν αὐτῆς ἀποθανόντα ἤγειρεν εὐξάμενος· τοὺς δὲ προφήτας τοῦ Βάαλ ἐποίησεν ἀναιρεθῆναι, ὄντας τὸν ἀριθμὸν υν'. Καὶ τῇ μηλωτῇ δὲ ἐπάταξε τὸν 'Ιορδάνην, καὶ διῃρέθη ἔνθα καὶ ἔνθα τὸ ὕδωρ, καὶ διέβη τῷ ποδὶ τὸν ποταμόν. Λήγει δὲ ἡ βίβλος αὐτὴ εἰς τὸν θάνατον τοῦ 'Αχαὰβ βασιλέως 'Ισραήλ, καὶ εἰς τὸν θάνατον 'Ιωσαφὰτ βασιλέως 'Ιούδα, καὶ εἰς τὴν ἀρχὴν βασιλείας 'Οχοζίου υἱοῦ 'Αχαάβ, καὶ εἰς τὴν ἀρχὴν 'Ιωρὰμ υἱοῦ 'Ιωσαφὰτ βασιλέως 'Ιούδα.

Βίβλος δ', Βασιλειῶν.

16. 'Εν δὲ τῇ τετάρτῃ βίβλῳ ἐστί, πῶς οἱ δύο πεντηκόνταρχοι τοῦ 'Οχοζίου πυρὶ ἀνηλώθησαν διὰ ῥήματα 'Ηλίου τοῦ προφήτου, καὶ ὅτι ἀνελήφθη 'Ηλίας, καὶ ἐπανεπαύσατο ἐπὶ 'Ελισσαιὲ τὸ πνεῦμα 'Ηλίου, καὶ γέγονεν αὐτῷ διπλᾶ ἐν πνεύματι· καὶ πῶς ὁ 'Ελισσαῖος τὸν μὲν υἱὸν τῆς Σουναμίτιδος ἀποθανόντα ἤγειρεν εὐξάμενος, τὸν δὲ Νεαιμὰν τὸν Σύρον ἐκαθάρισεν ἀπὸ τῆς λέπρας, τῆς τε γυναικὸς τοῦ προφήτου πεπλήρωκε τὰ ἀγγεῖα ἐλαίου ἐν λόγῳ Κυρίου, καὶ ἐπὶ τὰ ὀστᾶ δὲ αὐτοῦ μετὰ θάνατον ἐρρίφθη νεκρὸς μονόζωνος, καὶ ὡς ἥψατο τῶν ὀστέων τοῦ προφήτου, ἀνέζησε· καὶ τῇ μηλωτῇ 'Ηλίου ἐπάταξε τὸν 'Ιορδάνην, καὶ διῃρέθη ἔνθεν καὶ ἔνθεν τὸ ὕδωρ, καὶ διέβη πεζῇ καὶ αὐτός. Ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ καὶ πῶς ὁ μὲν Σεναχηρεὶμ καὶ 'Ραψάκης, πολλὰ βλασφημήσαντες, ἐδιώχθησαν καὶ χιλιάδες ἀνδρῶν αὐτῶν ρπε' ἐν μιᾷ νυκτί. 'Ο δὲ βασιλεὺς 'Ιωσίας καθεῖλε πάντα τὰ εἴδωλα, καὶ τὰ ἄλση ἐξέκοψε, καὶ πεποίηκε τὸ Πάσχα, ὡς γέγρα-

πται νομίμως. Περιέχει δὲ ἡ βίβλος καὶ πράξεις βασιλέων καὶ ἔτη· τῶν μὲν ἐν Ἰουδαίᾳ Ἰωράμ, καὶ Ὀχοζίου καὶ Ἰωᾶς καὶ Ἀμεσσία, καὶ Ὀζίου, καὶ Ἰωάθαν, καὶ Ἀχάζ, καὶ Ἐζεκίου, καὶ Μανασσῆ, καὶ Ἀμώς, καὶ Ἰωσία, καὶ Ἰωάχαζ, καὶ Ἐλιακείμ, καὶ Ἰωακείμ, καὶ Ματθανάν, τοῦ καὶ Σεδεκία· τῶν δὲ ἐν Σαμαρείᾳ Ὀχοζίου, καὶ Ἰωράμ, καὶ Ἰοῦ, καὶ Ἰωάχαζ, καὶ Ἰωᾶς, καὶ Ἱεροβοάμ, καὶ Ζαχαρίου, καὶ Σελλούμ, καὶ Μαναήμ, καὶ Φακεσσίου, καὶ Φακές, καὶ Ὡσηέ· καὶ περὶ προφητῶν, Ἠλία, καὶ Ἐλισσαιέ, καὶ Ἡσαΐου, καὶ Ἱερεμίου, καὶ ὅτι ἡ μὲν βασιλεία Σαμαρείας πέπαυται ἐπὶ Ὡσηέ, υἱῷ Ἠλᾶ τῷ καὶ σφάξαντι τὸν Φακεὲ υἱὸν Ῥομελίου· ἡ δὲ τῆς Ἱερουσαλὴμ βασιλεία πέπαυται ἐπὶ Σεδεκίᾳ. Καὶ αὐτὸς γὰρ ἀπήχθη εἰς Βαβυλῶνα, καὶ ἀφαιρεθέντων αὐτοῦ τῶν ὀφθαλμῶν, εἰς μύλωνα ἐβλήθη ἔτη κς΄. Μετὰ ταῦτα, ὕψωσεν αὐτὸν τὸν Ἰωακεὶμ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδωκε αὐτῷ τὸν θρόνον ἐπάνω τῶν ἐκεῖ βασιλέων, καὶ συνήσθιε καὶ συνέπινε μετ' αὐτοῦ ἕως ἡμέρας ζωῆς αὐτοῦ. Καὶ ἐπὶ τούτοις λήγει τὸ βιβλίον, αἰχμαλωτισθέντος τοῦ λαοῦ, καὶ τῆς πόλεως πάσης ἁλούσης.

Ἐπιτομὴ πράξεων τῶν βασιλέων τῆς Ἰουδαίας καὶ Ἰσραήλ.

17. Ἀρχῆθεν οὖν πάλιν ἀναληπτέον τὸν λόγον, καὶ κατ' ἐπιτομὴν ἐκθετέον τῶν πάντων βασιλέων, καὶ τῶν Ἰουδαίων, καὶ τῶν τῆς Σαμαρείας, τὰ ὀνόματα καὶ τὰς πράξεις, καὶ τὰ τῆς ἑκάστου βασιλείας ἔτη· καὶ πρῶτον περὶ τῶν βασιλέων Ἱερουσαλήμ. Μετὰ δὲ τὸ ἀπολέσθαι τὸν Σαούλ, βασιλεύσαντος ἔτη μ΄, Δαυὶδ βασιλεύει ἐπὶ πάντα τὸν Ἰσραήλ, καὶ αὐτὸς ἔτη μ΄· οὕτως ἐν μὲν Χεβρὼν ἔτη ζ΄, ἐν δὲ παντὶ Ἰσραήλ, καὶ Ἰούδα ἔτη λγ΄· καὶ ἐποίησε τὸ εὐθὲς ἐν τελείᾳ καρδίᾳ. Ἐπὶ τούτου ἦσαν προφῆται Σαμουήλ, Ναθάν, Γάδ. Σολομῶν ὁ υἱὸς Δαυὶδ ἐβασίλευσεν ἐπὶ πάντα τὸν λαὸν ἔτη μ΄ καὶ αὐτός· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ αὐτοῦ ἦσαν προφῆται Ναθὰν καὶ Γάδ. Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιζ΄· καὶ ἐποίησε τὸ πονηρόν. Ἐπὶ τούτου ἐσχίσθη ἡ βασιλεία, καὶ ἔμειναν μετ' αὐτοῦ μὲν ἐν Ἱερουσαλὴμ φυλαὶ δύο, ἡ Ἰούδα καὶ ἡ Βενιαμίν· ἐν δὲ τῇ Σαμαρείᾳ φυλαὶ δέκα. Ἐπὶ τούτου ἦσαν προφῆται Ἀχιὰς ὁ Σηλωνίτης, καὶ Σαμαίας, καὶ Ἀδδώ. Ἀβιοῦ υἱὸς αὐτοῦ ἔτη τρία. Καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία, ὡς Δαυίδ, ἀλλὰ ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ. Καὶ ἐπὶ τούτου ἦν Ἀδδὼ ὁ προφήτης. Ἀσσᾶ υἱὸς αὐτοῦ ἔτη μα΄· καὶ ἐποίησε τὸ εὐθές· ἀλλ' ἔτι ἦν τὰ ὑψηλά. Ἐπὶ τούτου ἦσαν προφῆται Ἀζαρίας υἱὸς Ὠδήδ, καὶ Ἀναμῆ. Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἔτη κε΄, καὶ ἐποίησε τὸ εὐθές· ἀλλὰ τὰ ὑψηλὰ ἔτι ὑπῆρχε. Καὶ μετὰ ταῦτα μέμψιν ἔσχεν ἀνομίας, ὅτι ἐφιλίασε τῷ Ὀχοζίᾳ βασιλεῖ Ἰσραήλ, καὶ ἐκοινώνησεν αὐτῷ εἰς πλοίων πραγματείαν. Ἐπὶ τούτου ἦσαν προφῆται Ἠλίας, Ἐλισσαιέ, Μιχαίας, καὶ Ἰοῦ ὁ τοῦ Ἀναμῆ, καὶ Ὀζιὴλ ὁ τοῦ Ζαχαρίου, καὶ Ἐλιαδᾶ ὁ τοῦ Ὠδιᾶ ἀπὸ Μαρίσης. Ἰωρὰμ υἱὸς αὐτοῦ ἔτη η΄· καὶ ἐποίη-

σε τὸ πονηρόν. Εἶχε γὰρ γυναῖκα θυγατέρα Ἀχαάβ. Καὶ ἐπὶ τούτου ἦσαν Ἠλίας καὶ Ἐλισσαῖος. Ὀχοζίας υἱὸς αὐτοῦ ἔτος α'· καὶ ἐποίησε τὸ πονηρόν. Μετ' αὐτὸν Γοθολία ἡ μήτηρ αὐτοῦ ἔτη ἑπτά. Ἰωᾶς υἱὸς Ὀχοζίου ἔτη μ'. Οὗτος ἐφόνευσε Ζαχαρίαν, καὶ ἐποίησε τὸ εὐθὲς ἕως Ἰωδαὲ ὁ συνετὸς ἔζη, καὶ ἐφώτισεν αὐτόν. Τοῦτον ἀπέκτειναν οἱ δοῦλοι αὐτοῦ ἐν οἴκῳ Μαελώθ. Ἐπὶ τούτου ἐπροφήτευεν Ἀζαρίας [Ζαχαρίας] υἱὸς Ἰωδαέ. Ἀμεσίας υἱὸς αὐτοῦ ἔτη κθ'· καὶ ἐποίησεν ἐν ἀρχῇ τὸ εὐθές, ἀλλ' οὐχ ὡς Δαυίδ· ἔτι γὰρ ὁ λαὸς ἐθυσίαζεν ἐν τοῖς ὑψηλοῖς, καὶ τὰ ἄλση οὐκ ἐξῆρε. Καὶ ἐπὶ τούτου ἐπροφήτευσαν προφῆται· ἀλλ' οὐκ ἐγράφησαν τὰ ὀνόματα αὐτῶν. Μετὰ ταῦτα μέντοι, Ἀμεσίας, πατάξας τοὺς ἐν Σηείρ, ἐπήρθη, καὶ ἐλάτρευσε τοῖς εἰδώλοις τῶν Σηείρ, καὶ ἐπατάχθη παραδοθεὶς τοῖς ἐχθροῖς. Ἀζαρίας, αὐτός ἐστιν Ὀζίας, ἔτη νβ'· καὶ ἐποίησε κατὰ τὴν ἀρχὴν τὸ εὐθές, ὡς ὁ Πατὴρ αὐτοῦ· πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν. Εὐοδούμενος δὲ ἐπήρθη, καὶ ἠθέλησεν ἑαυτῷ θυμιάσαι ἐν τῷ ναῷ, ὅπερ μόνοις τοῖς ἱερεῦσιν ἔξεστι. Διὸ καὶ ἐλεπρώθη, ἀκούσας· «Οὐ σοί, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ, ἀλλὰ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις.[1]» Ἐπὶ τούτου προεφήτευσεν Ἡσαΐας. Ἰωάθαμ υἱὸς αὐτοῦ ἔτη ις'· καὶ ἐποίησε τὸ εὐθές, ὡς ὁ πατὴρ αὐτοῦ· πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρε. Καὶ ἐπὶ τούτου ἦν Ἡσαΐας. Ἀχάζ, υἱὸς αὐτοῦ, ἔτη ις'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ τούτου ἦν Ἡσαΐας καὶ Ὠδὴδ προφῆται. Ἐζεκίας υἱὸς αὐτοῦ ἔτη κθ'· καὶ ἐποίησε τὸ εὐθές, ὡς Δαυὶδ τελείως. Οὗτος καθεῖλε τὸν ὄφιν τὸν χαλκοῦν, ὃν ἐκρέμασε Μωϋσῆς. Καὶ ἐπὶ τούτου ἦν Ἡσαΐας. Ἐπὶ τούτου Σεναχηρεὶμ καὶ Ῥαψάκης, οἱ Ἀσσύριοι, βλασφημοῦντες, ἐπατάχθησαν μὲν αὐτοὶ μετὰ ταῦτα, ἐν μιᾷ δὲ νυκτὶ χιλιάδες ρπε'. Ἐξελθὼν ἄγγελος ἀνεῖλε. Νοσήσας δὲ Ἐζεκίας, καὶ μέλλων ἀποθνήσκειν, ἔλαβε προσθήκην ἔτη ιε'. Μανασσῆς υἱὸς αὐτοῦ ἔτη νε'· καὶ ἐποίησε τὸ πονηρόν. Οἷα γὰρ κατέσκαψεν Ἐζεκίας, ταῦτα οὗτος ἀνήγειρε· καὶ γέγονεν ἄλλος Ἱεροβοὰμ τῷ Ἰούδα, ὥστε καὶ δι' αὐτὸν παθεῖν τὴν Ἱερουσαλὴμ ὡς τὴν Σαμάρειαν. Καὶ γὰρ ἐπ' αὐτοῦ ἐλέχθη.· «Ὃς ἐξήμαρτε τὸν Ἰούδαν·[2]» διὸ καὶ αἰχμάλωτος ἀπήχθη εἰς Βαβυλῶνα. Ἀλλ' ἐν τῇ αἰχμαλωσίᾳ, ὡς ἐν ταῖς Παραλειπομέναις γέγραπται, μετανοήσαντα αὐτὸν ἐπέστρεψεν ὁ Θεὸς εἰς τὴν Ἱερουσαλήμ, καὶ πάλιν ἀντελάβετο τῆς βασιλείας· μετανοῶν τε καὶ διδάσκων τὸν λαὸν δουλεύειν τῷ Θεῷ ἐτελεύτησεν. Οὐκ ἐτάφη δὲ ἐν πόλει Δαυίδ· ἀλλ' ἐν τῷ κήπῳ αὐτοῦ, ἐν κήπῳ Ὀζᾶ. Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἐβασσίλευσεν ἔτη β'· καὶ ἐποίησε τὸ πονηρόν, ὡς ὁ πατὴρ αὐτοῦ Μανασσῆς· καὶ ἀνεῖλον αὐτὸν οἱ παῖδες αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ κήπῳ Ὀζᾶ, ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ. Ἰωσίας υἱὸς αὐτοῦ ἔτη λα'. Τοῦτον ὁ λαὸς ἤγειρε βασιλέα, ἐτῶν ὄντα ὀκτώ· καὶ ἐποίησε τὸ εὐθὲς ἐν πάσῃ ὁδῷ Δαυίδ, καὶ οὐκ ἀπέστη δεξιᾷ, οὐδὲ ἀριστερᾷ. Καὶ γὰρ

1. Β' Παρλ. 26, 18. 2. Δ' Βασ. 21, 11.

καὶ τὰ ἄλση ἐξέκοψε, καὶ τὰ εἴδωλα πάντα καθεῖλε, γενόμενος ἐτῶν ιϛ', τόν τε νόμον ζητήσας, καὶ εὑρὼν ἀμεληθέντα, ἀναγνωσθῆναι πεποίηκε. Καὶ τὸ Πάσχα ἐκήρυξε, καὶ ἐποίησεν αὐτό, ὡς γέγραπται. Τοῦτον δὲ ἀνεῖλε Φαραὼ Νεχαὼ ἐπὶ τοῦ Εὐφράτου, φιλονεικήσαντα πρὸς αὐτόν. Ἐπὶ τούτου Ἱερεμίας καὶ Σοφονίας ἦσαν οἱ προφῆται καὶ Ὠλδὰ ἡ προφῆτις, γυνὴ Σελλῆ. Ἰωάχαζ υἱὸς αὐτοῦ μῆνας τρεῖς· καὶ ἐποίησε τὸ πονηρόν, καὶ μετέστησεν αὐτὸν Φαραὼ Νεχαώ· Καὶ ἐπὶ τούτου ἦν Ἱερεμίας. Ἐλιακεὶμ ἕτερος υἱὸς Ἰωσίου, ὃς καὶ μετωνομάσθη Ἰωακείμ, ἔτη ια'· καὶ ἐποίησε τὸ πονηρόν. Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας υἱὸς αὐτοῦ μῆνας γ'· καὶ ἐποίησε τὸ πονηρὸν καὶ ἀπήχθη εἰς Βαβυλῶνα. Μανθανὰν υἱὸς αὐτοῦ. Τοῦτον Ναβουχοδονόσωρ ἐποίησε βασιλέα, καὶ μετωνόμασε αὐτὸν Σεδεκίαν. Καὶ ἐβασίλευσεν ἔτη ια'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ τούτου ἦν Ἱερεμίας. Ἕως τούτου ἡ βασιλεία τοῦ Ἰούδα ἐκράτει, καὶ κατελύθη, ὥσπερ καὶ τῆς Σαμαρείας, καὶ γὰρ καὶ ἡ πόλις ἑάλω, καὶ πάντες ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ τῶν σκευῶν.

Ὁμοῦ οἱ γεγονότες βασιλεῖς Ἱερουσαλὴμ ἀπὸ τοῦ Δαυὶδ καὶ μέχρι τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας εἴκοσι καὶ εἷς, ἄνευ δηλονότι τῆς Γοθολίας, βασιλευσάσης καί αὐτῆς, ὡς εἴρηται, μετὰ τελευτὴν τοῦ υἱοῦ αὐτῆς Ὀχοζίου ἔτη ἑπτά.

Βασιλεῖς Ἰσραήλ.

18. Ἑξῆς δὲ ῥητέον καὶ περὶ τῶν ἐν Σαμαρείᾳ γενομένων βασιλέων τοῦ Ἰσραήλ· πῶς τε ἐκαλεῖτο ἕκαστος τούτων, καὶ πόσα ἐβασίλευσεν ἔτη, καὶ ὅπως ἐβίωσεν.

Πρῶτος Ἱεροβοὰμ υἱὸς Ναβὰθ ἐβασίλευσεν ἐν Σαμαρείᾳ, σχισθείσης τῆς βασιλείας, ἀνελθὼν ἀπ' Αἰγύπτου. Καὶ ἐποίησε τὸ πονηρὸν ὡς οὐδεὶς ἕτερος. Φοβούμενος γὰρ μὴ καταλυθῇ, ἐποίησε δαμάλεις χρυσᾶς δύο, καὶ ἠπάτησε τὸν λαὸν λέγων· «Οὗτοι οἱ θεοί εἰσιν οἱ ἀναγαγόντες ἡμᾶς ἐξ Αἰγύπτου.[1]» Ἐπλάσατο δὲ καὶ ἱερέας αὐταῖς, καὶ οὕτως αὐτὸς ἐξήμαρτε τὸν Ἰσραήλ. Αὐτῷ γὰρ πάντες οἱ μετ' αὐτὸν κατηκολούθησαν. Ἐβασίλευσε δὲ ἔτη κδ'. Ἐπὶ τοῦτον ἦν προφήτης Ἀχιᾶ ὁ Σηλωνίτης, καὶ ὁ ἐπικαλεσάμενος ἐπὶ τὸ θυσιαστήριον κατ' αὐτοῦ.

Ναβὰθ υἱὸς αὐτοῦ ἔτη β'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ οὐκ ἔτι γένους αὐτοῦ ἐβασίλευσε. Βαασᾶ ἄλλου γένους ἔτη κδ'· καὶ ἐποίησε τὸ πονηρόν. Ἠλὰ υἱὸς αὐτοῦ ἔτη β'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ οὐκ ἔτι τοῦ γένους αὐτοῦ ἐβασίλευσε. Ζαμβρῆ ἑτέρου γένους ἔτη ιβ'· καὶ ἐποίησε τὸ πονηρόν. Ἀχαὰβ υἱὸς αὐτοῦ ἔτη κβ'· καὶ ἐποίησε τὸ πονηρὸν πλέον τῶν ἄλλων. Ἐπὶ τούτου προφῆται ἦσαν Ἠλίας καὶ Ἐλισσαῖος καὶ Μιχαίας, καὶ ὁ προφητεύσας τῷ Ἀχαὰβ περὶ τῆς

1. Γ' Βασ. 12, 28.

Συρίας καὶ τοῦ υἱοῦ Ἀδέρ, καὶ ὁ πατάξας αὐτὸν τραύματι, καὶ ἐλέγξας τὸν Ἀχαάβ, καὶ πολλοὶ καθ' ἑαυτοὺς υἱοὶ τῶν προφητῶν, Ὀχοζίας υἱὸς αὐτοῦ ἔτη β'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ τούτου ἦσαν Ἠλίας καὶ Ἐλισσαῖος. Αὐτοῦ γὰρ τοὺς πεντηκοντάρχους ἐπάταξεν ἐν πυρὶ Ἠλίας ἐν ῥήματι Κυρίου. Ἰωαράμ, υἱὸς ἕτερος Ἀχαάβ, ἔτη ιβ'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ οὐκ ἔτι τοῦ γένους αὐτοῦ ἐβασίλευσε. Καὶ ὁ μὲν Ἠλίας ἐπὶ τούτου ἀνελήφθη· ὁ δὲ Ἐλισσαῖος διέμεινεν ἕως Ἱεροβοάμ, υἱοῦ Ἰωᾶς, βασιλέως Ἰσραήλ. Ἦσαν δὲ ἐπὶ τούτοις καὶ υἱοὶ τῶν προφητῶν. Ἰοῦ ἑτέρου γένους. υἱὸς Ναμεσσῆ, ἔτη κη'. Οὗτος ἀνεῖλε τὸ γένος Ἀχαάβ, καὶ τοὺς προφήτας τοῦ Βάαλ ἐν πτερνισμῷ, καὶ τὴν στήλην αὐτοῦ συνέτριψε. Καὶ ἐν τούτῳ ποιήσας τὸ εὐθές, ἔσχεν ἐπαγγελίαν, ὅτι Υἱοὶ τέταρτοι καθίσονταί σοι ἐπὶ θρόνου Ἰσραήλ. Πλὴν οὐκ ἐφύλαξεν ἐν ὅλῃ καρδίᾳ τὸν νόμον· οὐκ ἀπέστη γὰρ τῶν ἁμαρτιῶν Ἱεροβοὰμ διὰ τὰς δαμάλεις.

Ἰοάχαζ υἱὸς αὐτοῦ ἔτη ιζ'· καὶ ἐποίησε τὸ πονηρόν. Ἰωᾶς υἱὸς αὐτοῦ ἔτη ις'· καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπολέμει τὴν Ἱερουσαλήμ, καὶ ἔλαβε τὸ χρυσίον, καὶ τὰ σκεύη. Ἱεροβοὰμ υἱὸς αὐτοῦ ἔτη μα'· καὶ ἐποίησε τὸ πονηρόν. Ζαχαρίας υἱὸς αὐτοῦ μῆνας ἕξ, καὶ ἐποίησε τὸ πονηρόν. Ἕως τούτου τὸ γένος Ἰοῦ γεγόνασιν υἱοὶ τέταρτοι. Σελλοὺμ ἑτέρου γένους υἱὸς Ἰαβὶς ἡμέρας λ'· καὶ ἐποίησε τὸ πονηρόν. Μαναὴλ ἄλλου γένους υἱὸς Γαδδή, ἔτη κ'· καὶ ἐποίησε τὸ πονηρόν. Φακείας υἱὸς αὐτοῦ, ἔτη ι'· καὶ ἐποίησε τὸ πονηρόν. Ἐπὶ τούτου Ἡσαΐας καὶ Ὠσηὲ ἦσαν προφητεύοντες. Φακεὲ ἄλλου γένους, υἱὸς Ῥομελίου, ἔτη κ'. Οὗτος ἔσφαξε τὸν Φακείαν, καὶ ἐποίησε τὸ πονηρόν, καὶ ἐπὶ τούτου ἦσαν Ἡσαΐας καὶ Ὠσηὲ οἱ προφῆται. Ὠσηὲ ἑτέρου γένους, υἱὸς Ἠλᾶ, ἔτη θ'. Οὗτος ἔσφαξε τὸν Φακκεέ, καὶ ἐποίησε τὸ πονηρόν, πλὴν οὐχ ὡς οἱ πρὸ αὐτοῦ.

Ἕως τούτου τοῦ Ὠσηὲ κατέληξε καὶ ἡ βασιλεία Σαμαρείας. Ἔκτοτε γὰρ πέπαυται, καὶ ἀπώλετο Σαμάρεια, καὶ λοιπὸν Ἀσσύριοι κατῴκησαν ἐν αὐτῇ, ἐξ ὧν οἱ αἱρετικοὶ Σαμαρεῖται γεγόνασι, καλούμενοι καὶ Σαδδουκαῖοι [.. Χουθαῖοι].

Συνάγονται οὖν οἱ χρόνοι τῶν μὲν Ἱερουσαλὴμ βασιλευσάντων ἀπὸ τοῦ Δαυὶδ καὶ μέχρι τοῦ Σεδεκία, καὶ αὐτοῦ, τὰ πάντα ἔτη υ', βασιλεῖς τε οἱ πάντες κα' δίχα τῆς Γοθολίας, καὶ γένους ἅπαντες ἑνὸς τοῦ Δαυίδ, παῖς παρὰ πατρὸς κατὰ διαδοχήν, ἐξ ἀρχῆς ἄχρι τέλους τὴν βασιλείαν κληρούμενοι. Ἐκ τούτων δὲ πάλιν οἱ μὲν ποιήσαντες τὸ εὐθὲς εἰσὶν θ', οἱ δὲ ποιήσαντες τὸ πονηρὸν ιβ' χωρὶς τῆς Γοθολίας.

Τῶν δὲ ἐν Σαμαρείᾳ πάλιν βασιλευσάντων ἀπὸ Ἱεροβοὰμ καὶ μέχρι Ὠσηὲ τὰ πάντα ἔτη σξ'· καὶ βασιλεῖς μὲν οἱ πάντες ιη', ἐκ διαφόρων δὲ γενῶν. Καὶ τούτων ὀκτὼ ἐπὶ τὸ ἄρχειν ἀναβεβηκότες· καὶ πάντες ἐποίησαν τὸ πονηρόν, κατὰ τὴν ἁμαρτίαν Ἱεροβοάμ.

Βιβλίον ια΄, Παραλειπόμεναι α΄ καὶ β΄.

19. Οὕτω καλεῖται τὰ βιβλία ταῦτα, ἐπειδὴ παραλειφθέντα πολλὰ ἐν ταῖς Βασιλείαις περιέχεται ἐν τούτοις. Ἔστι δὲ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ γενεαλογία πασῶν τῶν φυλῶν ἀπὸ Ἀδὰμ ἕως τῶν βασιλέων κατὰ φυλάς, καὶ κατὰ δήμους, καὶ κατὰ πατριάς, καὶ κατ' οἶκον· ἐν δὲ τῷ δευτέρῳ διαλαμβάνονται πράξεις τῶν βασιλέων.

Εἴρηται μὲν οὖν ἐν τοῖς ἔμπροσθεν, ὅτι οἱ συγγραψάμενοι τάς τε πράξεις καὶ τοὺς χρόνους τῶν βασιλέων εἰσὶν οἱ κατὰ καιροὺς ὄντες προφῆται· ὑπὲρ δὲ τοῦ γιγνώσκειν ἐν μέρει αὐτούς, ἐσημειωσάμεθα ταῦτα ἐκ τῶν Παραλειπομένων· τὰ περὶ τοῦ Δαυὶδ ἔγραψε Σαμουήλ, καὶ Ναθάν, καὶ Γάν, οἱ προφῆται· τὰ περὶ Σολομῶντος, Ναθὰν καὶ Ἀχιᾶ, οἱ προφῆται· τὰ περὶ Ἱεροβοάμ, Σαμαίας καὶ Ἀδδώ, οἱ προφῆται· τὰ περὶ Ἀβιᾶ, Ἀδδὼ ὁ προφήτης· τὰ περὶ Ἀσᾶ ἐν τῷ βιβλίῳ Λόγων περὶ τῶν Βασιλέων Ἰούδα· τὰ περὶ Ἰωσαφάτ, Ἰηοῦ ὁ προφήτης, ὁ τοῦ Ἀναμῆ, ὃς κατέγραψε βιβλίον Λόγων Βασιλέων Ἰούδα· τὰ περὶ Ἰωᾶς ἐπὶ τὴν γραφὴν τῶν Βασιλειῶν· τὰ περὶ Ἀμεσία ἐπὶ βιβλίον Βασιλέων Ἰούδα καὶ Ἰσραήλ· τὰ περὶ Ὀζίου, Ἰεσσίας ὁ προφήτης· τὰ περὶ Ἰωάθαμ ἐπὶ βιβλίον τῶν Βασιλέων Ἰούδα καὶ Ἰσραήλ· τὰ περὶ Ἀχὰζ ἐπὶ βιβλίον Βασιλέων Ἰούδα καὶ Ἰσραήλ· τὰ περὶ Ἐζεκίου, Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης· τὰ περὶ Μανασσῆ ἐπὶ Λόγον τῶν ὁρώντων· τὰ περὶ Ἰωσίου ἐπὶ βιβλίον Βασιλέων Ἰούδα· τὰ περὶ Ἰωακεὶμ ἐπὶ βιβλίον Βασιλέων Ἰούδα καὶ Ἰσραήλ.

Βιβλίον ιβ΄, Ἔσδρας α΄ καὶ β΄.

20. Ταῦτα τὰ δύο βιβλία παρ' αὐτοῦ ἐκείνου συνεγράφησαν, οὗ καὶ τὴν ἐπιγραφὴν ἐπιφέρονται. Οὗτος γὰρ Ἔσδρας, ἱερεὺς ὢν καὶ ἀναγνώστης, ἐξηγεῖται τὴν ἐπάνοδον τῶν υἱῶν Ἰσραήλ, τὴν ἀπὸ Περσίδος εἰς τὴν Ἱερουσαλὴμ γενομένην. Καὶ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ διαλαμβάνει, ὅπως γέγονε τὰ τῆς ἐπανόδου ἐν χειρὶ Ἰησοῦ τοῦ Ἰωσεδέκ, καὶ Ἔσδρα, καὶ Ζοροβάβελ, καὶ Νεεμία εὐνούχου Ἰουδαίου. Ἡ δὲ πρόφασις τῆς ἐπανόδου αὕτη· Τρεῖς στρατιῶται φυλάσσοντες τὸν βασιλέα, ὧν εἷς ἦν ὁ Ζοροβάβελ, ἤρισαν ἐν προβλήματι, τεθείσης ἐπαγγελίας αἰτῆσαι τὸν νικῶντα, ὅπερ ἂν ἐθελήσῃ παρὰ τοῦ βασιλέως. Τοῦ τοίνυν ἑνὸς εἰπόντος νικᾶν τὸν οἶνον, τοῦ δὲ ἑτέρου εἰρηκότος νικᾶν τὸν βασιλέα, ὁ Ζοροβάβελ διετείνατο νικᾶν τὰς γυναῖκας, καὶ ὑπὲρ πάντα τὴν ἀλήθειαν. Καὶ ἐπειδὴ ταῦτα εἰρηκὼς νενίκηκε, καὶ ἤκουσεν αἰτήσασθαι ὃ βούλεται, ἠξίωσεν αὐτὸς ἀφεθῆναι τὴν αἰχμαλωσίαν, καὶ οἰκοδομηθῆναι τὴν Ἱερουσαλήμ. Καὶ γέγονεν ὡς ἠξίωσε· καὶ ἀφείθη ἡ αἰχμαλωσία. Τότε γὰρ ἐπληρώθη καὶ τὰ ἑξήκοντα ἔτη τῆς ὀργῆς. Εἰσὶ δὲ οἱ ἀναβάντες ἀπὸ τῆς αἰχμαλωσίας, ἀπὸ Ἰούδα καὶ Βενιαμίν, καὶ οἱ Λευῖται πάντες ὁμοῦ τὸν ἀριθμὸν μυριάδες τέσ-

σαρες καὶ δισχίλιοι καὶ τριακόσιοι καὶ ἑξήκοντα· παῖδες δὲ αὐτῶν καὶ παιδίσκαι, ζτλδ'· οἱ ᾄδοντες σμε'· κάμηλοι υλε'· ὄνοι ςψκ'. Καὶ οἱ μὲν οἰκοδομοῦντες ἦσαν Ζοροβάβελ, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, καὶ Νεεμίας· ὁ δὲ Ἔσδρας, εὐφυὴς ὢν ἐν τῷ νόμῳ, αὐτὸς προεκόμισε τὸν νόμον καὶ ἀνέγνω, καὶ διετύπωσε πάντα τὰ κατὰ τὸ ἱερόν, καὶ τοὺς Λευΐτας αὐτὸς ἔδειξεν ἐκ τοῦ νόμου, καὶ ἐποίησεν ἐκβληθῆναι τὰς ἀλλογενεῖς γυναῖκας ἀπὸ τῶν λαβόντων αὐτὰς ἐν καιρῷ τῆς αἰχμαλωσίας. Ἐξέβαλον γὰρ πάντες καὶ ἐκαθαρίσθησαν, καὶ ἐποίησαν τὸ Πάσχα νομίμως, ὡς γέγραπται, καὶ τὴν νηστείαν.

Ἐν δὲ τῷ δευτέρῳ λόγῳ τὰ αὐτὰ μὲν πάλιν λέγει περὶ τῆς ἐπανόδου, χωρὶς τῶν προβλημάτων· τὰ πλείω δὲ ἐξηγεῖται περὶ Νεεμίου τοῦ εὐνούχου, ὅτι καὶ αὐτὸς ἠξίωσε περὶ τῆς οἰκοδομῆς τοῦ ἱεροῦ, καὶ ὅτι ὁ μὲν Ἔσδρας ἀνεγίνωσκεν· Ἰησοῦς δὲ καὶ Βαναίας καὶ Ἀβίας ἦσαν συνετίζοντες τὸν λαόν. Καὶ ὁ μὲν Ἔσδρας ἀναγινώσκων διέστελλεν ἐπιστήμῃ Κυρίου· ὁ δὲ λαὸς συνῆκεν ἐν τῇ ἀναγνώσει, καὶ ἐποίησε τὸ Πάσχα. Καὶ τῷ ἑβδόμῳ μηνὶ ἐποίησαν τὴν νηστείαν, καὶ τὴν Σκηνοπηγίαν, ὡς γέγραπται· «Ὅτι», φησίν, «οὐκ ἐποίησαν οὕτως ἀπὸ τῶν ἡμερῶν Ἰησοῦ υἱοῦ Ναυῆ.» Ἔσδρας δέ, ἑωρακὼς ἐπιμιγείσας γυναῖκας Ἀσωτίους τοῖς Ἑβραίοις, πενθήσας καὶ κλαύσας, ἐποίησε πάντας ἐπαγγείλασθαι φυλάττειν τὸν νόμον τοῦ Θεοῦ· καὶ ἐξέβαλε τὰς γυναῖκας ὡς παράνομον γάμον· καὶ ὤμοσαν πάντες φυλάξαι τὸν νόμον. Καὶ οὕτως ἁγιασθέντες καὶ καθαρισθέντες, ηὐφράνθησαν, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον ἑαυτοῦ. Ἱστορεῖται δὲ καὶ τοῦτο περὶ τοῦ Ἔσδρα, ὅτι, ἀπολομένων τῶν βιβλίων ἐξ ἀμελείας τῶν λαῶν, καὶ διὰ τὴν πολυχρόνιον αἰχμαλωσίαν, αὐτὸς Ἔσδρας, φιλόκαλος ὢν καὶ εὐφυής, καὶ ἀναγνώστης, ἐφύλαξε πάντα καθ' ἑαυτὸν καὶ λοιπὸν προήνεγκε, καὶ πᾶσιν ἐκδέδωκε, καὶ οὕτως διασῴζεται τὰ βιβλία.

Βιβλίον ιγ', Ψαλτήριον Δαβίδ.

21. Εἰ καὶ τοῦ Δαυὶδ ἐπιγραφὴν ἔχει μόνου τοῦτο τὸ βιβλίον τῶν Ψαλμῶν, ἀλλὰ πολλῶν καὶ ἄλλων εἰσὶν ἐν τούτῳ ψαλμοί, τοῦ τε Ἀσὰφ δηλονότι, καὶ τῶν Ἰδιθούμ, καὶ τῶν υἱῶν Κορέ, καὶ Ἀγγαίου, καὶ Ζαχαρίου, καὶ Αἰμὰν τοῦ Ἰσραηλίτου. Εἰσὶ δὲ καὶ κοινῶς παρὰ πάντων ὁμοῦ εἰρημένοι τινές, ὅσοι δηλαδὴ ἔχουσι τὸ «Ἀλληλούϊα.» Ὁ γοῦν Ἔσδρας, συναγαγὼν τούτους πάντας τοὺς παρ' ἑκάστου εἰρημένους ψαλμούς, εἰς μίαν συνέθηκε βίβλον· καὶ ὡς μὲν κοινῶν ὄντων πάντων τῶν ἐν αὐτῇ περιεχομένων, βίβλος καλεῖται Ψαλμῶν· ἐπιγράφεται δὲ μόνον τὸν Δαυίδ, ἐπειδὴ αὐτὸς πρῶτος λαβὼν τὸ πνεῦμα τοῦ ψάλλειν παρὰ τοῦ Θεοῦ, πρῶτός τε συνέθηκε καὶ ἔγραψε ψαλμούς· τούς τε προλεχθέντας λοιποὺς ψαλμῳδούς, αὐτὸς ἀπὸ τῶν ἱερέων ἐκλεξάμενος διετύπωσε, καὶ τήν τε στάσιν αὐτοῖς τῶν τόπων, καὶ τὴν τάξιν τῆς μελῳδίας, καὶ τὸν καιρὸν τὸν πρωϊνόν, καὶ τὸν ἑσπε-

ρινὸν ὥρισε καὶ διέταξεν· ὥστε τοὺς μὲν ἀνοιγομένου τοῦ ἱεροῦ, τοὺς δὲ κλειομένου, καὶ τοὺς μὲν ἐκ δεξιῶν, τοὺς δὲ ἐξ ἀριστερῶν ἱστάναι· καὶ οὕτως, τοὺς μὲν ψάλλειν καὶ αἰνεῖν, καὶ ᾄδειν, καὶ ὑμνεῖν τὸν Θεόν· τοὺς δὲ ἀνακρούειν ἐξομολόγησιν καὶ αἶνον· καὶ τοὺς μὲν ἀποφθέγγεσθαι ἐν κινύραις καὶ νάβλαις, καὶ ἐν κυμβάλοις· τοὺς δὲ εἰς τὸ ὑψῶσαι ἐν σάλπιγξιν. Οἱ μὲν οὖν ἱερεῖς, οἱ ἀναφέροντες τὴν κιβωτὸν ἐπὶ τοῦ Δαυίδ, ἦσαν χίλιοι καὶ δύο, οὕτως· υἱῶν Καὰθ Οὐριὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ρι'· υἱῶν Μεραρεῖ Ἀσὲ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, σν'· υἱῶν Γεδεὼν Ἰωὴλ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ρν'· τῶν υἱῶν Ἐλισαφὰτ Σαμαίας ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, σ'· τῶν υἱῶν Χεβρὼν Ἐνὴρ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ π'· τῶν υἱῶν Ἐζιήλ, Ἀμιναδὰμ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ριβ'· οἱ δὲ ψαλμῳδοὶ ἐξ αὐτῶν ἦσαν ἐκλεχθέντες οἱ προειρημένοι, καὶ ἦσαν οὕτω τυπωθέντες· ὁ μὲν Ἀσὰρ καὶ Αἰθὰμ υἱοὶ Κορὲ ἐν κυμβάλοις χαλκοῖς ἀναφωνοῦντες εἰς τὸ ἀκουσθῆναι πᾶσι· Ζαχαρίας δὲ καὶ Ὀζιὴλ Σαμειραμωθίθ, Ἠλωνί, Ἐλιάβ, Μασαίας, Βαναίας, οἱ τοῦ Ἰδιθούμ, ἐν νάβλαις καὶ ψαλτηρίῳ· ὁ δὲ Ματθαίας, καὶ Ἐμφαναίας, καὶ Μακαία, καὶ Ἀβδεδώμ, καὶ Ἡείλ, καὶ Ὀζίας ὁ τοῦ Αἱμάν, ἐν κινύραις καὶ κιθάραις· καὶ Μασσὲ δέ, καὶ Ἀγγαῖος, καὶ Ζαχαρίας, καὶ Βανέ, καὶ Ἐλιέζερ, οἱ ἱερεῖς, σαλπίζοντες ταῖς σάλπιγξι· καὶ λοιπούς, οὓς ἔγραψαν καὶ οὗτοι, ψαλμούς, τῷ Πνεύματι τῷ ἁγίῳ κινούμενοι, καὶ τούτους ὁ Ἔσδρας λαβών, τοῖς τοῦ Δαυὶδ ψαλμοῖς συνηρίθμησε, καὶ πάντων ἅμα συνθείς, μίαν ταύτην βίβλον, Ψαλμῶν ἐποίησεν, ὡς προείρηται. Διαιρετέον οὖν οὕτω περὶ τούτων σαφῶς. Ἴδιοι μὲν γάρ εἰσιν αὐτοῦ τοῦ Δαυίδ, ὅσοι καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσι, «Τοῦ Δαυίδ», οἵτινες ὑπάρχουσιν οὗτοι· κε', κϛ', κζ', λϛ', ρνα'. Οἱ δὲ παρὰ τῶν ἄλλων μὲν συντεθέντες, ἀνατεθέντες δὲ αὐτῷ τῷ Δαυίδ, εἰσὶ πάλιν ὅσοι καὶ τὴν ἐπιγραφὴν ὁμοίως ἔχουσι, «τῷ Δαυίδ», οἵτινες ὑπάρχουσιν οἵδε· γ', δ', ε', ϛ' ζ', η', θ', ια', ιβ', ιγ' ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κη', κθ', λ', λα' λβ', λγ', λδ', λε', λζ', λθ', μ', μα', μθ', ν', να', νβ', νδ', νε', νϛ', νζ', νη', νθ', ξ', ξβ', ξγ', ξδ', ξζ', ξη', ξθ', ο', πε', ϟ', ϟβ', ϟγ', ϟδ', ϟε', ϟϛ', ϟζ', ϟη', ρ', ρβ', ργ', ρζ', ρη', ρθ', ρλϛ', ρλζ', ρλη', ρλθ', ρμ', ρμγ', ρμδ'. Πάλιν δὲ τούτων τῶν ἐχόντων ἐπιγραφήν, «Τῷ Δαυίδ», οἱ μὲν εἰσὶν ἐπιγραφόμενοι καί, «Εἰς τέλος», οἱ δὲ μόνον, «Ψαλμός.» Καὶ οἱ μὲν ἔχοντες ἐπιγραφήν, «Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ», εἰσὶν οὗτοι· δ', ε', ϛ', η', θ', ι', ια', ιβ', ιγ', ιη', ιθ', κ', κα', κθ', λ', λθ', μ', ν', ξδ', ξζ', ρη', ρλη', ρλθ'. Οἱ ἔχοντες ἐπιγραφὴν μόνον, «Τῷ Δαυίδ», χωρὶς τοῦ, «Εἰς τέλος», εἰσὶν οὗτοι· γ', ζ' ιδ', κβ', κδ', κη', λζ', μβ', ξβ', ϟγ', ϟζ', ϟη', ρζ', ρμ', ρμβ'. Πάλιν δὲ τούτων τῶν ἐχόντων ἐπιγραφήν. «Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ», ὑποδιαίρεσις αὕτη· οἱ μὲν γὰρ ἐπιγράφουσι· «Ψαλμὸς ᾠδῆς», δ', ξδ'· οἱ δέ, «Ψαλμὸς» μόνον, ε', η', θ', ι', ια', ιβ', ιγ', ιη', ιθ', κ', κα', λ', λθ', μ',

ν', ξγ', ρη', ρλη', ρλθ'· ὁ δὲ ἐπιγέγραπται «Ἐν ὕμνοις», ψαλμὸς ς'· οἱ δὲ «Ψαλμοὶ ᾠδῆς», κθ', ξγ'. Καὶ ἄλλοι δὲ ἐπιγραφὴν μὲν ἔχουσιν, «Εἰς τὸ τέλος τῷ Δαυίδ», οὔτε δὲ Ψαλμός, ἀλλὰ διάφορόν τινα ἐπιγραφὴν ἔχουσι, καί εἰσιν οὗτοι, ιζ', λε', να', νβ', νγ', νδ', νε', νς', νζ', νη', νθ', ξ', ξη', ξθ'. Τούτων οὖν τῶν ἐχόντων διάφορον τὴν ἐπιγραφὴν ὁ μὲν ἔχει, «Λόγοι ᾠδῆς», ιζ'· οἱ δὲ μόνον, «Τῷ Δαυίδ», λε', ξη', ξθ'· οἱ δέ, «Συνέσεως», να', νβ'· οἱ δέ, «Ἐν ὕμνοις συνέσεως», νγ', νδ'· οἱ δέ, «Εἰς στηλογραφίαν», νε', νς', νζ', νη', νθ'· ὁ δέ, «Ἐν ὕμνοις», ξ'· τῶν δὲ ἐχόντων ἐπιγραφήν, «Ψαλμὸς τῷ Δαυίδ», χωρὶς τοῦ, «Εἰς τὸ τέλος», ἐστὶν ᾠδὴ ψαλμοῦ μόνος ρζ'. Οἱ δὲ μή, «Εἰς τέλος», ἔχοντες, μήτε, «Ψαλμός», ἀλλ' ἁπλῶς, «Τῷ Δαβίδ», εἰσὶν οὗτοι ιε', ις', λα', λβ', ο', πε', ϟ', ϟβ', ϟδ', ϟε', ϟς', ρ', ρβ', ργ', ρλς', ρλζ', ρμα', ρμγ', ρμδ'. Καὶ τούτων πάλιν ὁ μὲν ἔστι, «Ὠδή», ϟε'· ὁ δὲ «Στηλογραφία», ιε'· οἱ δὲ «Προσευχή», ις', πβ'· οἱ δέ, «Συνέσεως», λα', ρ', ρμα'· ὁ δέ, «Τῶν υἱῶν Ἀμιναδάμ», ο'· οἱ δέ, «Αἶνος ᾠδῆς, «ϟ', ϟβ', ϟδ'· ὁ δὲ «Αἰνέσεως», ρμδ'. Πάλιν οἱ μήτε «Τῷ Δαυίδ» ἐπιγράφοντες, ἀλλὰ ἄλλοις ἀναφερόμενοι, εἰσὶν οὗτοι, λη', μα', μγ', μδ', με', μς', μζ', μη', οβ', ογ', οδ', οε', ος', οζ', οη', οθ', π', πα', πβ', πγ', πδ', πς', πζ', ϟα', ϟθ', ρδ', ρε', ρς', ρια', ριβ', ριγ', ριδ', ριε', ρις', ριζ', ριη', ρλδ', ρλε', ρμε', ρμς', ρμζ', ρμη', ρμθ', ρν'. Καὶ τούτων, οἱ μὲν ἐπιγράφονται, «Τῷ Ἀσάφ·» οἱ δέ, «Τοῖς υἱοῖς Κορέ, Ἀσὰφ καὶ Αἰθάμ·» οἱ δέ, «Τῷ Ἰδιθούμ·» οἱ δέ, «Ἀγγαίου καὶ Ζαχαρίου·» οἱ δέ, «Ἀλληλούϊα.» Οἱ μὲν οὖν τοῦ Ἀσάφ εἰσιν οὗτοι· οβ', ογ', οδ', οε', ος', οζ', οη', οθ', π', πα', πβ'. Καὶ τούτων οἱ μὲν ἔχοντες ἐπιγραφήν, «Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Ἀσάφ», εἰσὶν οὗτοι, οδ', οε', ος', οθ', π'· οἱ δὲ μόνον, «Ψαλμὸς τῷ Ἀσάφ», οὗτοι· οβ', οη', πα'· ὁ δέ, «Ἐν ὕμνοις», οε'· οἱ δέ,«Ὠδὴ Ψαλμοῦ τῷ Ἀσάφ», οθ', πβ'· οἱ δέ, «Συνέσεως», ογ'· ὁ δέ, «Ὑπὲρ τῶν ληνῶν», π'· ὁ δέ, «Ὑπὲρ τῶν ἀλλοιωθησομένων», οθ'· ὁ δέ, «Ψαλμὸς ᾠδῆς», οδ'· οἱ δὲ ἔχοντες ἐπιγραφήν, «Ἀλληλούϊα», εἰσὶν οὗτοι· ρδ', ρε', ρς', ρι', ρια', ριβ', ριγ', ριδ', ριε', ρις', ριζ', ριη', ρλδ', ρλε', ρμε', ρμς', ρμζ', ρμη', ρμθ', ρν'. Ἐκ τούτων εἰσίν, «Ἀγγαίου καὶ Ζαχαρίου» ρμε', ρμζ', ρμη'. Οἱ δὲ ἐπιγραφὴν ἔχοντες, «Τοῖς υἱοῖς Κορέ», εἰσὶν οὗτοι μα', μγ', μδ', με', μς' μζ', μη', πγ', πδ', πς'. πζ'. Καὶ τούτων πάλιν οἱ μὲν ἔχοντες, «Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορέ», εἰσὶν οὗτοι· μα', μγ', μδ', μη', πγ', πδ'· οἱ δέ, «Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορέ», μέ,' μς'· οἱ δέ, «Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ», μζ', πς', πζ'· ὁ δέ, «Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ», πη'· οἱ δέ, «Εἰς τὸ τέλος, τῷ Ἰδιθοὺμ ᾠδή», λη', ξα'. Οἱ δέ, «Τῶν ἀναβαθμῶν», πάντες εἰσὶν ᾠδαί, καί εἰσιν οὗτοι· ριθ', ρκ', ρκα', ρκβ', ρκγ', ρκδ', ρκε', ρκς', ρκζ', ρκη', ρκθ', ρλ', ρλα', ρλβ', ρλγ'. Καὶ τούτων ὁ μὲν ἐστι, «Τῷ Σολομών», ρκς'· οἱ δέ, «Τῷ Δαυίδ», ρλ', ρλα', ρλβ'. Ἡ μὲν οὖν διαίρεσις τῶν ἐπιγραφῶν, τῶν οὐσῶν ἐπὶ τῶν ψαλμῶν,

αὕτη. Κοινοὶ δὲ πάντως εἰσὶν ὁμοῦ ἐν τῇ βίβλῳ ταύτῃ «Ψαλμοὶ μόνον, δ′, ε′, ϛ′, η′, θ′, ι′, ια′, ιβ′, ιγ′, ιδ′, ιη′, ιθ′, κ′, κα′, κθ′, λ′, λθ′, μ′, ν′, ξ′, ξα′, ξγ′, ξδ′, ξε′, ξϛ′, ξζ′, οβ′, οη′, πα′, ρη′, ρλη′, ρλθ′· «Ψαλμὸς ᾠδή», δ′, ξδ′· «Ψαλμοὶ ᾠδῆς», κθ′, μζ′, ξζ′, πϛ′, πζ′· «Ὠδὴ» μόνον, λη′, οϛ′, ϟε′, ριθ′, ρκ′, ρκα′, ρκβ′, ρκγ′, ρκδ′, ρκε′, ρκϛ′, ρκζ′, ρκη′, ρκθ′, ρλ′, ρλα′, ρλβ′, ρλγ′· «Ὠδὴ Ψαλμοῦ», ξε′, πβ′· ρζ′· «Λόγοι ᾠδῆς», ιζ′· «Αἶνος ᾠδῆς», ϟ′, ϟβ′, ϟδ′. «Αἴνεσις, ρμδ′· «Ἐν ὕμνοις», ξ′, οε′. «Ἐν ὕμνοις συνέσεως», νγ′, νδ′· «Ἐν ὕμνοις Ψαλμός», ϛ′, ξϛ′· «Συνέσεως», λα′, να′, νβ′, ογ′, οζ′, πη′, ρ′, ρμα′· «Εἰς στηλογραφίαν», ιε′, νε′, νϛ′, νζ′, νη′, νθ′· «Προσευχή», ιϛ′, πε′, πθ′, ρα′· «Προσευχὴ τῷ Μωϋσῇ ἀνθρώπῳ τοῦ Θεοῦ», πθ′· «Εἰς Σολομῶνα», οα′· ἀνώνυμοι, θ′, ξε′, ξϛ′, ϟα′, ϟθ′, ρα′· «Ἀλληλούϊα», ρδ′, ρε′, ρϛ′, ρι′, ρια′, ριβ′, ριγ′, ριδ′, ριϛ′, ριζ′, ριη′, ρλδ′, ρλε′, ρμε′, ρμϛ′, ρμζ′, ρμη′, ρμθ′, ρν′. «Τῷ Δαυΐδ», ἁπλῶς λβ′, λδ′, λε′, ϟϛ′, ρβ′, ργ′, ρλϛ′, ρλζ′· Ὅσοι δὲ παρὰ τοῦ Δαυῒδ καὶ τῶν ἄλλων πάντων ἐλέχθησαν, καὶ ἔχουσιν, «Εἰς τὸ τέλος», εἰσὶν οὗτοι· δ′, ε′, ϛ′, η′, θ′, ι′, ια′, ιβ′, ιγ′, ιζ′, ιη′, ιθ′, κ′, κα′, κβ′, λ′, λε′, λη′, λθ′, μ′, μα′, μγ′, μδ′, με′, μϛ′, μη′, ν′, να′, νβ′, νγ′, νδ′, νε′, νϛ′, νζ′, νη′, νθ′, ξ′, ξα′, ξγ′, ξδ′, ξε′, ξϛ′, ξζ′, ξη′, ξθ′, οδ′, οε′, οϛ′, οθ′, π′, πγ′, πδ′, ρη′, ρλη′, ρλθ′. Τοῦ Δαυῒδ μόνου ἰδίου αὐτοῦ, κε′, κϛ′, κζ′, λϛ′, καὶ ρνα′. Μετὰ δὲ τὴν διαίρεσιν πᾶσαν ταύτην, ἀναγκαῖον λοιπὸν καὶ τὰς ἐπιγραφὰς εἰδικῶς, τὰς ἐπί τινων ψαλμῶν κειμένας, εἰδέναι. Ὁ μὲν α′ καὶ β′, ἀνεπίγραφοί εἰσιν· ὁ δὲ τρίτος, «Ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ· ὁ ρμβ′, Ὅτε ὁ υἱὸς αὐτὸν καταδιώκει· ὁ ε′, Ὑπὸ τῆς κληρονομούσης· ὁ ϛ′, καὶ ια′, Ὑπὲρ τῆς ὀγδόης· ὁ ζ′, Ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενῆ· οἱ π′, πγ′. Ὑπὲρ τῶν ληνῶν· ὁ θ′, Ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ὁ με′, Ὑπὲρ τῶν κρυφίων· ὁ ιε′, Εἰς στηλογραφίαν· οἱ ιϛ′, πε′ Προσευχή· ὁ ιζ′, Ὅτε ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ· ὁ κα′, Ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς· ὁ κγ′, Τῆς μιᾶς Σαββάτων· ὁ κϛ′, Πρὸ τοῦ χρισθῆναι· ὁ κη′, Ἐξοδίου σκηνῆς· ὁ κθ′, Τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· ὁ λ′, Ἐκστάσεως· ὁ λα′ Συνέσεως· ὁ λγ′, Ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ· ὁ λε′, Τῷ δούλῳ Κυρίου τῷ Δαυΐδ· ὁ λζ′, Εἰς ἀνάμνησιν περὶ Σαββάτου· ὁ μδ′. Ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν Ὠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ ὁ ξη′. Ὑπὲρ τῶν ἀλλοιωθησομένων· ὁ οθ′, Ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον ὑπὲρ τοῦ Ἀσσυρίου· ὁ ν′, Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Ναθὰν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βερσαβεέ· ὁ να′, Ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαούλ, καὶ εἰπεῖν αὐτῷ, Ἦλθε Δαυῒδ εἰς τὸν οἶκον Ἀβιμελέχ· ὁ νβ′, Ὑπὲρ Μαελέθ· ὁ νγ′, Ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ, Οὐ Δαυῒδ κέκρυπται παρ' ἡμῖν; ὁ νε′, Ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ· ὁ νϛ′, Ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ

προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον· ὁ νη', Ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν· ὁ νθ', Ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σωβάλ, καὶ ἀπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε ἐν τῇ φάραγγι τῶν Ἀλῶν, ιβ' χιλιάδας· ὁ ξβ', Ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας· ὁ ξε', Ἀναστάσεως· ὁ ξθ' Εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον· ὁ ο', Τῶν υἱῶν Ἀδὰμ [Ἰωναδὰβ] τῶν πρώτων αἰχμαλωτισθέντων· ὁ οα', Εἰς Σολομῶνα· ὁ σε', Πρὸς τὸν Ἀσσύριον· ὁ πζ', Ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι· ὁ ϟα', Εἰς τὴν ἡμέραν τοῦ Σαββάτου· ὁ κγ', Τῆς μιᾶς τῶν Σαββάτων· ὁ ϟβ', Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ· ϟγ' Τετράδι Σαββάτων· ὁ ϟε', Ὅτε οἶκος ᾠκοδομεῖτο πρὸς τὴν αἰχμαλωσίαν· ὁ ϟς', Ὅτε ἡ γῆ αὐτοῦ καθίστατο· ὁ ϟθ' Πρὸς ἐξομολόγησιν· ὁ ρα', Προσευχὴ τῷ πτωχῷ ὅταν ἀκηδιάσῃ, καὶ ἐνώπιον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ· ὁ ρμα', Ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχή· ὁ ρμγ', Πρὸς τὸν Γολιάθ· ὁ ρνά', Ἰδιόγραφος οὗτος ὁ ψαλμὸς Δαυίδ, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ, ὅτε ἐμονομάχησε τὸν Γολιάθ.»

Ἀναληπτέον καὶ περὶ τοῦ διαψάλματος ἐν ποίοις καὶ τοῦτο ψαλμοῖς εὑρίσκεται καὶ ποσάκις ἐν ἑκάστῳ ἐν τῷ β' ἅπαξ ἔχει, ἐν τῷ γ', δὶς ἔχει· ἐν τῷ δ', δὶς ἔχει· ἐν τῷ ζ', ἅπαξ ἔχει· ἐν τῷ θ' ᾠδὴ διαψάλματος· ἐν τῷ κγ', ἅπαξ ἔχει· ἐν τῷ λα', δὶς ἔχει· ἐν τῷ λγ', ἅπαξ ἔχει· ἐν τῷ λη', δίς ἔχει· ἐν τῷ μγ', ἅπαξ ἔχει· ἐν τῷ μέ, δὶς ἔχει· ἐν τῷ μς', ἅπαξ ἔχει· ἐν τῷ μζ', ἅπαξ ἔχει· ἐν τῷ μη', δὶς ἔχει· ἐν τῷ να', δὶς ἔχει· ἐν τῷ νγ', ἅπαξ ἔχει· ἐν τῷ νδ', δὶς ἔχει· ἐν τῷ νς', δὶς ἔχει· ἐν τῷ νη', δὶς ἔχει· ἐν τῷ νθ', ἅπαξ ἔχει· ἐν τῷ ξ', ἅπαξ ἔχει· ἐν τῷ ξα', δὶς ἔχει· ἐν τῷ ξε', τρὶς ἔχει· ἐν τῷ ξς', δὶς ἔχει· ἐν τῷ ξζ', τετράκις ἔχει· ἐν τῷ οδ', ἅπαξ ἔχει· ἐν τῷ οε', δὶς ἔχει· ἐν τῷ ος', τρὶς ἔχει· ἐν τῷ π', ἅπαξ ἔχει· ἐν τῷ πα', ἅπαξ ἔχει· ἐν τῷ πβ', ἅπαξ ἔχει· ἐν τῷ πγ', ἅπαξ ἔχει· ἐν τῷ πδ', ἅπαξ ἔχει· ἐν τῷ πς', δὶς ἔχει· ἐν τῷ πη', πεντάκις ἔχει· ἐν τῷ ϟγ', ἅπαξ ἔχει· ἐν τῷ ρλθ', τρὶς ἔχει· ἐν τῷ ρμβ', ἅπαξ ἔχει. Καθόλου δὲ ὅσοι ἔχουσιν ἐπιγραφὴν «Ἀλληλούϊα», καὶ οἱ ἀναβαθμοί, οὐκ ἔχουσι διάψαλμα.

Βιβλίον ιδ', Παροιμίαι Σολομῶντος.

22. Σολομὼν υἱὸς Δαυίδ, διαδεξάμενος τὴν βασιλείαν τοῦ πατρός, ηὔξατο τῷ Θεῷ λαβεῖν σοφίαν ὑπὲρ πλοῦτον, καὶ ὑπὲρ ἄμυναν ἐχθρῶν. Λαβὼν τοίνυν καὶ γενόμενος σοφὸς ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ἀνθρώπους, θαυμασθείς τε ἐπὶ πᾶσιν οἷς ἐποίει τε καὶ ἔλεγε, τρισχιλίας μὲν παραβολὰς καὶ πεντακισχιλίους ᾠδὰς ἐλάλησε· καὶ ἐφυσιολόγησε περὶ πάντων τῶν τε ἐκ γῆς φυομένων καὶ ὅλων τῶν ζῴων. Συνέγραψε δὲ βιβλία, κανονιζόμενα μὲν τρία· ἤγουν τοῦτό τε τὸ καλούμενον Παροιμίαι, καὶ τὸν Ἐκκλησιαστήν, καὶ τὸ Ἆσμα

τῶν ᾀσμάτων· καὶ ἕτερον δὲ ἐκτὸς τούτων, μὴ κανονιζόμενον, ὡς προείρηται, ὅπερ ὀνομάζεται Σοφία Σολομῶντος. Παροιμίας δὲ ἐπέγραψε τὸ παρὸν βιβλίον, ἐπειδὴ παροιμίαι εἰσὶ λόγοι σοφῶν, ὡς αἰνίγματα, ἅτινα ἕτερον μέν τι αὐτόθεν δηλοῦντά ἐστιν, ἕτερον δὲ ἐν ὑπονοίᾳ ἀπαγγέλλουσι. Τῶν δὲ τοιούτων εἶδός εἰσιν αἱ Παροιμίαι. Οὕτω γὰρ καὶ οἱ μαθηταὶ τοῦ Κυρίου λέγουσιν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, ὅτε, τοῦ Χριστοῦ πολλὰ εἰρηκότος πρότερον ἐν κεκρυμμένῃ διανοίᾳ, ὕστερόν φασιν αὐτῷ· «Ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδὲ μίαν λέγεις·[1]» ὡς τῶν παροιμιῶν μὴ ἐκ φανεροῦ, ἀλλὰ κεκρυμμένως λεγομένων. Ἐπεὶ οὖν ἐν τῷ βιβλίῳ τούτῳ πλεῖστοι λόγοι τοιοῦτοί εἰσι, διὰ τοῦτο Παροιμίας ἔγραψε τὸ βιβλίον. Ὠνομάσθη δὲ Παροιμία, ἐπειδὴ παρὰ τὰς ὁδοὺς ἐγράφοντο οἱ τοιοῦτοι λόγοι πρὸς διόρθωσιν καὶ διδασκαλίαν τῶν ἐν ταῖς ὁδοῖς διαπορευομένων. Παρὰ τὰς ὁδοὺς δὲ ἐγράφοντο, ἐπεὶ μὴ πάντες ἐχώρουν τοὺς τῆς ἀληθείας λόγους· ἵνα κἂν διερχόμενοι καὶ βλέποντες διερευνῶσι τὰ γεγραμμένα, καὶ οὕτως παιδεύωνται οἱ ἄνθρωποι. Τινὲς γοῦν ὁρίζονται αὐτὰς οὕτως· ῥῆμα παρόδιον ἀπό τινος ἑνὸς εἰς πολλὰ μεταλαμβανόμενον. Ἔστιν οὖν ἐν τῷ βιβλίῳ τούτῳ γνῶσις σοφίας καὶ παιδείας, νόησις λόγων φρονήσεως, στροφαὶ λόγων, δικαιοσύνης ἀληθοῦς νόησις, κρίματα κατευθύνειν, καὶ ἐπαγγελία τοῦ γινώσκειν ἐκ τούτων παραβολάς, ῥήσεις σοφῶν, αἰνίγματα, σκοτεινοὺς λόγους, Καὶ εἰσὶ γνώσεις σοφίας καὶ παιδείας· ἐπειδὴ καὶ Ἕλληνες μὲν σοφίαν ἔχειν ἐπαγγέλλονται, αἱρετικοὶ δὲ νομίζουσι παιδείαν ἔχειν. Διὰ τοῦτο οὗτος τὴν ἀληθῆ σοφίαν καὶ παιδείαν διδάσκει, ἵνα μὴ τῇ ὁμονοίᾳ τῆς σοφίας εἰς τὰ σοφίσματα τῶν Ἑλλήνων καὶ τῶν αἱρετικῶν τις ἐμπέσῃ. Καὶ γὰρ Ἕλληνες μὲν οἰόμενοί τινες εἶναι, καὶ «φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν.[2]» Αἱρετικοὶ δέ, παιδεύεσθαι νομίζοντες, ἐξεστράφησαν, καὶ ἁμαρτάνουσιν, ὄντες αὐτοκατάκριτοι.[3] Τῶν δὲ θείων λόγων ὁ ἀκούσας σοφός, σοφώτερος ἔσται. Τῶν γὰρ νομίμων τοῦ Θεοῦ ἀκούσας, καὶ ταῦτα φυλάξας, ἐπί τε τῇ παιδείᾳ Κυρίου μὴ ὀλιγωρήσας, μηδὲ ἐκλυθεὶς ἐπ' αὐτῇ, υἱὸς σοφὸς γενήσεται, καὶ πεπαιδευμένος γενόμενος, ταχέως καὶ τὴν περὶ Θεοῦ γνῶσιν δέξεται. Ταύτην γὰρ οἱ σοφοὶ παιδεύονται. Νόησις δὲ λόγων φρονήσεως ἡ περὶ τοῦ μόνου καὶ ἀληθινοῦ Θεοῦ διδασκαλία. Ἐπὶ γὰρ Ἑλλήνων οἱ μὲν σῶμα τὸν Θεὸν εἶπον· οἱ δὲ καὶ εἰδώλοις αὐτὸν ὡμοίωσαν. Αἱρετικοὶ δέ, καὶ αὐτοὶ περὶ τοῦ ὄντος παρεφρόνησαν. Διὰ τοῦτο οὗτος τὴν ἀληθῆ περὶ Θεοῦ γνῶσιν ἐξηγεῖται, τὸ μὲν ἀνέκφραστον αὐτοῦ· «Δόξα Θεοῦ κρύπτει λόγον.[4]» Τὸ δὲ προνοητικὸν αὐτοῦ φησιν· «Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς·[5]» καὶ πάλιν· «Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις·

1. Ἰω. 16, 29. 2. Ῥωμ. 1, 22. 3. Πρβλ. Τίτ. 3, 11. 4. Παρμ. 25, 2. 5. Παρμ. 15, 3.

ἀμφοτέρους δὲ ἐποίησεν ὁ Κύριος·[1]» καί, «Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ποιεῖται ὁ Κύριος ἀμφοτέρων·[2]» καὶ «Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός· εἰς δὲ πάσας τροχιὰς αὐτοῦ σκοπεύει.[3]» Καὶ τὸ μὲν κριτικὸν αὐτοῦ φησι· «Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίου· εὐχαὶ δὲ κατευθυνόντων, δεκταὶ παρ' αὐτῷ·[4]» καὶ πάλιν· «Οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, ἔστησε δὲ ὅριον χήρας.[5]» Τὸ δὲ δημιουργικὸν αὐτοῦ οὐχ ἁπλῶς, ἀλλ' ὅτι διὰ τοῦ ἰδίου Λόγου καὶ σοφίας πάντα ποιεῖ· ὃ μάλιστα καὶ χαρακτηρίζει τὸν ἀληθινὸν Θεόν, ὅτι Υἱοῦ Πατήρ ἐστι, λέγει γοῦν· «Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν·[6]» καὶ πάλιν· «Κύριος ἐποίησε χώρας, καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ.[7]» Στροφαὶ λόγων εἴρηνται· ἐπειδὴ στρέφων τις αὐτοὺς τῇ διανοίᾳ, ἀνοίγει καὶ εὑρίσκει τὸν ἐν αὐτοῖς ἐγκείμενον νοῦν· οἷά εἰσι· «Διεσώθη ἀπὸ τοῦ καύματος υἱὸς νοήμων, ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παράνομος·[8]» καὶ πάλιν· «Ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν, καὶ συνάγαγε χόρτον ὀρεινόν, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν.[9]» Καὶ πάλιν· «Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυναστῶν, νοητῶς νόει τὰ παρατιθέμενά σοι.[10]» Καὶ τὰ ὅμοια τούτοις δικαιοσύνης ἀληθοῦς νόησις εἴρηται· ἐπειδή τινες διαφόρως ἐξειλήφασι τὸ δίκαιον, τῶν μὲν λεγόντων, δίκαιόν ἐστι τὸ ἀποδιδόναι ἅπερ ἔλαβέ τις φυλάξαι· τῶν δέ, τὸ διδόναι κακὸν ἀντὶ κακοῦ, καὶ ἀγαθὸν ἀντὶ ἀγαθοῦ. Συμβαίνει δὲ μὴ ἀκριβεῖς εἶναι τοὺς τοιούτους ὅρους. Μὴ εἴπῃς γάρ, Ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ, τίσομαι δὲ αὐτὸν ἅ με ἠδίκησε. Διὰ τοῦτο οὗτος τὴν ἀληθῆ δικαιοσύνην διδάσκει, ὅτι τοῦτό ἐστι τὸ ἀληθῶς δίκαιον, ἀποδιδόναι ἑκάστῳ τὸ ἴδιον. Προηγουμένως μὲν «τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης.[11]» Ἔπειτα· «Τίμα βασιλέα[12]», καὶ τοῖς μὲν γονεῦσι τὸ καθῆκον ἀποδίδου, τοῖς δὲ πᾶσι τὸ ἴσον. Καὶ οὗτος μὲν εἷς τύπος· δεύτερος δὲ δικαιοσύνην τὴν ψυχὴν ἑαυτοῦ, τὴν ἰσότητα φυλάττειν, ὥστε μὴ κλίνειν εἰς ἀνισότητα· ἀλλὰ τῷ μὲν λογικῷ· Μή σε καταλάβῃ βουλὴ κακή, ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος, ἀλλὰ μετὰ βουλῆς πάντα ποίει, καὶ οἱ λογισμοί σου ἔστωσαν κρίματα· ὥστε κρίνειν ἑαυτὸν ἕκαστον, καὶ τὴν μὲν ἐπιθυμίαν πᾶσαν ἔχειν ἀγαθήν· ἐπιθυμία γὰρ δικαίων πᾶσα ἀγαθή, καὶ ἐπιθυμία δικαίου δεκτή.

---

1. Παρμ. 22, 2. 2. Παρμ. 29, 13. 3. Παρμ. 5, 21. 4. Παρμ. 15,8. 5. Παρμ. 15, 25. 6. Παρμ. 3, 19. 7. Παρμ. 8, 26-30. 8. Παρμ. 10,5. 9. Παρμ. 27, 25-26. 10. Παρμ. 23,1 11. Παρμ. 3, 9. 12. Πρβλ. Παρμ. 24, 21.

Κατὰ δὲ τὸ θυμικόν· «Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου.[1]» Ὅλον γὰρ τὸν θυμὸν αὐτοῦ ἐκφέρει ἄφρων· ὁ δὲ σοφὸς ταμιεύεται κατὰ μέρος. Οὕτω δὲ ἑαυτὸν ῥυθμίζων ἄνθρωπος, καὶ τὴν ἰδίαν ἑκάστου μέρους τῆς ψυχῆς πρᾶξιν ὑγιῆ καὶ ἀσινῆ φυλάττων, ἔσται γινώσκων τὴν ἀληθῆ δικαιοσύνην. Κρίματα δὲ κατευθύνειν ἐστὶ προηγουμένως μὲν κρίνειν δικαίως κατὰ τὸν τοῦ Θεοῦ νόμον, ὥς φησι· «Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρίνε πάντας ὑγιῶς. Διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.[2]» Ὁ γὰρ εἰπὼν τὸν ἀσεβῆ, «Δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς καὶ μισητὸς εἰς ἔθνη. Αἰδεῖσθαι γὰρ πρόσωπον ἐν κρίσει οὐ καλόν.» Τοῦτο μὲν ἐκ τοῦ φανεροῦ ῥητέον· ἔπειτα δὲ ἵνα ὅπερ ἑτέρους κρίνει τις, τοῦτο καὶ εἰς ἑαυτὸν τὸ κρῖμα κατευθύνῃ, καὶ ἑαυτὸν δοκιμάζῃ, ἐπιτιμῶν μὲν ἑαυτῷ, ἐὰν πλεονεκτῇ ὁ θυμός· ἐπέχων δέ, ἐὰν περισσεύῃ ἡ ἐπιθυμία· διεγείρων δέ, ἐὰν ἀφυπνοῖ τὸ λογιστικόν, λέγων· «Ἕως πότε, ὀκνηρέ, κατάκεισαι;[3]» Οὕτω γὰρ ἑαυτὸν δικαίως ἄγων, καὶ κατήγορος ἑαυτοῦ γινόμενος, κρῖμα κατευθύνειν μαθήσεται, καὶ οὐκ ἀκούσεται παρ' ἑτέρου· «Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; Ὁ λέγων, Μὴ μοιχεύσῃς, μοιχεύεις;[4]» ὥσπερ γὰρ ὁ ὁδεύων καὶ κατευθύνων τὴν ὁδόν, φθάνει εἰς τὸ τέλος· οὕτως ὁ κατευθύνων κρίματα δίκαιος γνωσθήσεται καὶ σοφός. Παραβολαὶ δὲ λέγονται λόγοι, ὥσπερ εἰκόνες τῶν λεγομένων. Ἐξ αὐτῶν γὰρ διὰ τὴν ὁμοιότητα τὸ λεγόμενον καταλαμβάνεται. Οὕτω γὰρ ὁ Κύριος ἔλεγεν, ὡς ὁ Μάρκος φησί· «Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμαι αὐτήν;[5]» ὡς τῶν κατὰ ὁμοίωσιν λεγομένων παραβολῆς οὔσης. Καὶ γὰρ λέγων· «Ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ», ὕστερον ἐπέφερε· «Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς, λαλῶ.[6]» Εἰσὶν οὖν τοιαῦται αἱ παραβολαί· «Ὥσπερ ἔξοδος χιόνος ἐν ἀμητῷ κατάκαυμα ὠφελεῖ, οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν·[7]» καὶ πάλιν· «Ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοί, οὕτως οἱ καυχώμενοι ἐπὶ δόσει ψευδεῖ·[8]» καὶ τὰ ὅμοια τούτοις. Ῥήσεις δὲ σοφῶν εἰσι λόγοι οὐ σεσοφισμένοι, οὐδὲ ἐν τῷ πιθανῷ ἀπατῶντες, ἀλλὰ ἠκριβωμένοι· οὐχ ὡς κατὰ πρόσταξιν δὲ λεγόμενοι, ἀλλ' ὡς παρ' αὐτῶν γνωσθέντες· καὶ ὡς ἀποφάσεις αὐτῶν προσφερόμενοι. Οἷοί εἰσι, «Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει· ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει·[9]» καί, «Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν· στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά·[10]» καί, «Μῖσος ἐγείρει νεῖκος· πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία·[11]» καί, «Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ· ὁ δὲ φοβούμενος ἐντολήν, οὗτος ὑγιαίνει.[12]» Τῶν μὲν γὰρ ἄλλων ἀνθρώπων

---

1. Παρμ. 22, 24. 2. Παρμ. 24 (Ἑβρ. 31, 8-9). 3. Παρμ. 6, 9. 4. Ῥωμ. 2. 21-22. 5. Μάρκ. 4, 30. 6. Ματθ. 13, 13. 7. Παρμ. 25, 13. 8. Παρμ. 25, 14. 9. Παρμ. 15, 13. 10. Παρμ. 15, 14. 11. Παρμ. 10, 12. 12. Παρμ. 13, 13.

οἱ λόγοι κατὰ πλεῖστον ἀμφίβολοι τυγχάνουσιν ὄντες· οἱ δὲ τῶν σοφῶν, οἷοί εἰσιν οὗτοι, ἀληθεῖς εἰσι, καὶ πανταχόθεν ἠκρίβωνται, ὥστε μηδὲ ἀντιλέγεσθαι αὐτούς. Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι ἀπὸ τοῦ τέλους τῆς πράξεως γνωρίζουσι τὸ πρᾶγμα, οἷον· ὅτι Ὁ ἄδικος φαῦλόν ἐστι, καὶ ὁ μοιχὸς κακόν· τοῦτο δὲ καὶ παντί τῳ δῆλον ἂν εἴη· οἱ δὲ σοφοὶ τὰς ἀρχὰς τῶν πράξεων προλέγουσι, καὶ ὥσπερ σύμβολα τῶν τῆς ψυχῆς κινημάτων προαπαγγέλλουσιν· ἵν᾽ ἕκαστος, γινώσκων τὰς ἀρχὰς τῶν κακῶν, φυλάττηται, οἷά ἐστι τὰ προειρημένα· «Μῖσος ἐγείρει νεῖκος· πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία.[1]» Ὁ γὰρ φίλερις ἀπὸ μίσους ἔχει τὴν ἀρχὴν τῆς τοιαύτης κακίας, καὶ οὐκ ἄν τις εἴποι ἀγαπᾶν τὸν φιλονεικοῦντα. Πάλιν δὲ ἐκ τοῦ ἐναντίου, ὁ μὴ φιλονεικῶν γνώρισμα ἀγάπης ἔχει· καὶ οὐκ ἄν τις εἴποι φιλόνεικον τὸν ἀγαπῶντα, ὡς πάλιν τό· «Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός», καὶ «ὀξύθυμος πράσσει μετὰ ἀβουλίας.[2]» Τοῦ γὰρ ἀεργοῦ ἐσήμανε τὴν ψυχὴν ἐν πάσαις ἐπιθυμίαις βεβυθίσθαι, καὶ τὸν ὀξύθυμον μηδὲ μίαν ἔχοντα βουλὴν ὀρθὴν ἐδήλωσε. Καὶ ὅλως οὗτοι τὰ ἠθικὰ μᾶλλον ἀπαγγέλλουσι, τὴν ἀρχὴν τῆς πράξεως ὅθεν συνίσταται, λέγοντες, ὅτι τῆς μὲν φιλονεικίας προηγεῖται μῖσος· τοῦ δὲ μὴ φιλονεικεῖν προηγεῖται ἀγάπη· καὶ τῆς μὲν ἀεργίας προηγεῖται ἡδονὴ κακή· τοῦ δὲ ὀξυθύμου προηγεῖται ἀβουλία· καὶ τοῦ μὲν ἐξουθενημένου ἀρχή ἐστι τὸ καταφρονεῖν αὐτὸν τοῦ νόμου· τῆς δὲ ὑγείας προηγεῖται ὁ φόβος τοῦ Θεοῦ· καὶ τῆς μὲν ἀπωλείας τῆς ψυχῆς ἐστιν ἀρχὴ τὸ ἀφύλακτον ἔχειν τὸ στόμα· τοῦ δὲ πτοεῖσθαί τινα προηγεῖται ἡ προπέτεια. Οὕτω δὲ ἑκάστην ῥῆσιν ἀναλύων, εὑρήσεις εἰρημένην καὶ γεγραμμένην ὑπὲρ τοῦ τοὺς ἀκούοντας καὶ μανθάνοντας τὰς ἀρχὰς τῶν κακῶν καὶ τῶν ἀγαθῶν, φεύγειν μὲν τὰ φαῦλα, πράττειν δὲ τὰ ἀγαθά. Αἰνίγματα δὲ καὶ σκοτεινοὶ λόγοι, οἵτινες ἀσφαλεῖς μὲν οὕτως εἰσίν, ὥστε ἀνιᾶν τὸν ἐντυγχάνοντα τῷ μηδὲν ἐμφαίνειν, μηδέ τινα ὑπόνοιαν παρέχειν· ἐρευνώμενοι δὲ ὅμως δεικνύουσι τὸν ἐν αὐτοῖς νοῦν. Οἷοί εἰσι· «Τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀγαπώμεναι· καὶ αἱ τρεῖς αὗται, καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν, Ἱκανόν. Ἅδης, καὶ ἔρως γυναικός, καὶ τάρταρος, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ ὕδωρ, καὶ πῦρ, οὐ μὴ εἴπωσιν, Ἀρκεῖ·[3]» καὶ πάλιν· «Τρία δέ ἐστιν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω· ἴχνη ἀετοῦ πετομένου, καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς ποντοπορούσης, καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι[4]», καὶ ὅσα τοιαῦτά ἐστιν αἰνίγματα· ἕτερα γάρ τινα δηλοῖ, καὶ ἑτέρων ἔννοιαν παρίστησι· καὶ ἀσαφῆ μὲν ἔστι, κεκρυμμένον δὲ ἔχει τὸν νοῦν.

---

1. Παρμ. 10, 12. 2. Παρμ. 14, 17. 3. Παρμ. 24 (Ἑβρ. 30, 15-16). 4. Παρμ. 24 (Ἑβρ. 30, 18-19).

Βιβλίον ιε', 'Εκκλησιαστής.

23. Καὶ τοῦτο Σολομὼν ἔγραψε τὸ βιβλίον, καθάπερ προείρηται. Λέγεται δὲ 'Εκκλησιαστής, ἐπειδὴ οὕτως ὠνόμασεν αὐτὸς ὁ γράψας, εἰπὼν ἐν ἀρχῇ· «'Ρήματα 'Εκκλησιαστοῦ υἱοῦ Δαυὶδ βασιλέως 'Ισραὴλ ἐν 'Ιερουσαλήμ· Ματαιότης ματαιοτήτων, εἶπεν ὁ 'Εκκλησιαστής.» Ποικίλως δ' ἂν ἐκλήθη ὁ Σολομών· σοφὸς μέν, ὅτι σοφίας μετέσχε· φρόνιμος δέ, ὅτι φρόνησις ἀληθείας ἦν ἐν αὐτῷ· πεπαιδευμένος δέ, ὅτι τὴν ἀληθινὴν παιδείαν παρὰ Κυρίου εἶχεν· 'Εκλήθη οὖν 'Εκκλησιαστής, ὅτι αὐτὸς ἐξεκλησίαζε τοὺς λαούς, καὶ ἐλάλει τὰ τοῦ πνεύματος. 'Εν τούτῳ δὲ τῷ βιβλίῳ περὶ τῆς φυσικῆς θεωρίας φιλοσοφῶν φαίνεται. 'Επειδὴ γὰρ Αἰγύπτιοι μὲν ἐφαντάζοντο, Ἕλληνες δὲ ἔμελλον περὶ τούτων μυθολογεῖν · διὰ τοῦτο οὗτος, Πνεύματι ἁγίῳ κινούμενος, παύει μὲν τοὺς ἐπιχειροῦντας περὶ τούτων ζητεῖν, φάσκων· «Οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον· ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσει·[1]» διαβάλλει δὲ καὶ τὴν Αἰγυπτίων περὶ γενεθλιαλογίας νόησιν, λέγων· «Τηρῶν ἄνεμον οὐ σπερεῖ, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει, ἐν οἷς οὐκ ἔστι γινώσκων, τί ἡ ὁδὸς τοῦ πνεύματος. Ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ Θεοῦ, ὅσα ποιήσει τὰ σύμπαντα.[2]» Εἶτα καὶ περὶ τὴν θεωρίαν ἑκάστου γιγνόμενος συνεῖδεν, ὅτι μάτην ἐστὶ περὶ τοιούτων ζητεῖν, καὶ μόνον τὰ τοιαῦτα μόχθον γεννᾷ. Οὐ γὰρ ἀπὸ τοῦ γινώσκειν τὰ τοιαῦτα, ἀλλ' ἀπὸ τοῦ πρακτικοῦ βίου ὁ σοφὸς καὶ δίκαιος συνίσταται. Λέγει γάρ· «Καί γε ὅσα ἐὰν εἴπῃ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ εὑρεῖν.[3]» Ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, καὶ ψυχή μου σύμπαν εἶδε τοῦτο, ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ Θεοῦ.[4]» Εἰκότως τοίνυν περὶ τῶν τοιούτων ζήτησιν διαβάς, καὶ περὶ τὴν ἀνθρωπίνην πολιτείαν καταγιγνόμενος, ὁρῶν τε πολλὰ καὶ ποικίλα τὰ τῶν ἀνθρώπων συμπτώματα, συνίστησιν, ὅτι προνοίᾳ τὰ πάντα διοικεῖται, λέγων· «Οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς συνετοῖς [δυνατοῖς] ὁ πόλεμος, καί γε οὐ τῷ σοφῷ ὁ ἄρτος, καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος, καί γε οὐ τοῖς γινώσκουσιν ἡ χάρις· ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.[5]» 'Εν παντὶ γάρ ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. Καὶ γὰρ οὐδεὶς κύριός φησιν ἐν τούτοις τῆς ἑαυτοῦ βουλῆς. «Ὅτι τίς ἄνθρωπος, ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς τὰ ὅσα ἐποίησεν αὐτήν;[6]» καὶ ὅτι οὐδὲν πλέον ἄνθρωπος ἐν τῷ βίῳ τούτῳ ἐξουσιάσαιτο, ἢ τοῦ ποιεῖν πονηρὸν καὶ ἀγαθόν, καὶ ἑτοιμάζειν εἰς τὴν ἔξοδον τὰ ἔργα αὐτοῦ. Καὶ γὰρ καὶ ὃ φάγεται καὶ πίεται, τοῦτο δόμα Θεοῦ ἐστιν. Ὅθεν

---

1. 'Εκκλ. 8, 17. 2. 'Εκκλ. 11, 4-5. 3. 'Εκκλ. 8, 17. 4. 'Εκκλ. 9, 1. 5. 'Εκκλ. 9, 11. 6. 'Εκκλ. 2, 12.

εἴτε ζήτησίς ἐστι περὶ τοῦ, πῶς γέγονε τὰ φαινόμενα, εἴτε κτῆσίς ἐστι χρημάτων, εἴτε τρυφὴ περιουσίας, πάντα ταῦτα ματαιότης ματαιοτήτων ἐστί, καὶ πλέον οὐδὲν ἢ περισσεία βουλῆς καὶ προαιρέσεως ἐπιχείρησις.» Ἐν δὲ τῷ λέγειν ταῦτα ματαιότητα, ἐμφαίνει τῶν μελλόντων τὸ αἰώνιον. Διὸ καὶ πάντα ὑπερβάς, παραινεῖ τῶν αἰωνίων μνημονεύειν, καὶ εἰδέναι τέλος ἔσεσθαι τοῦ κόσμου τούτου, ἐν τῷ λέγειν, ἀργεῖν τὰς ἀληθούσας, «ἐν ἡμέρᾳ ᾗ ἂν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι.[1]» Καὶ τὰ μετὰ τὸ τέλος δὲ ἐξηγεῖται· «Ὅτι σύμπαν τὸ ποίημα ὁ Θεὸς ἄξει ἐν κρίσει ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθόν, καὶ ἐὰν πονηρόν.[2]» Ἐκ δὴ τούτων δείκνυσιν, ὅτι ἅπερ ἔλεγε, «Ματαιότης ματαιοτήτων», οὐ τὴν κτίσιν διαβάλλων ἔφη, ἀλλ' ὅτι, τὰ αἰώνια θεωρῶν, ἔλεγε τὴν τῶν προσκαίρων ἐπιθυμίαν εἶναι ματαιότητα. Καὶ κρίσιν δὲ διαδιδάσκων, σημαίνει τὴν ἀνάστασιν τῶν νεκρῶν, καὶ τῶν πράξεων ἀνταπόδοσιν. Ἔπειτα λέγων, «Ἤργησαν αἱ ἀλήθουσαι», δείκνυσι πάλιν μὴ εἶναι ματαίαν αὐτὴν τὴν κτίσιν, ἀλλὰ καὶ μᾶλλον διδάσκαλον πᾶσιν αὐτὴν οὖσαν εἰς εὐσέβειαν. Ἡ γὰρ τάξις αὐτῆς καὶ ἡ διακόσμησις διήγησίς ἐστι περὶ τοῦ πεποιηκότος καὶ κτίσαντος αὐτήν, ἐν ᾗ καὶ οἱ προφῆται καὶ οἱ εὐαγγελισταί, καὶ οἱ διδάσκαλοί εἰσιν, ὥσπερ ἀλήθοντες ἑκάστῳ τροφὴν διὰ τῆς διδασκαλίας τὴν εἰς εὐσέβειαν γνῶσιν· οἵτινες ἀλήθοντες ἀργήσουσι λοιπὸν ἐν τῇ συντελείᾳ. Οὐκ ἔτι γὰρ ὡς ἀλήθοντες διδάξουσιν αὐτοί, ἀλλ' ἐκ τῶν πράξεων ἡ κρίσις γίνεται.

Βιβλίον ις', Ἆσμα ᾀσμάτων.

24. Τοῦ Σολομῶντός ἐστι καὶ τοῦτο τὸ βιβλίον συγγραφή, καθὰ προδεδήλωται. Ὅλον δὲ αὐτῷ γέγραπται ἀπ' ἀρχῆς μέχρι τέλους μυστικῶς μετὰ ἀλληγορίας αἰνιγματώδους. Οὐ γὰρ ἐν τῷ προφανεῖ, ἀλλ' ἐν ἀπορρήτῳ κέκρυπται τῶν ἐν αὐτῷ δογμάτων ὁ νοῦς. Ἐρευνώμενος δὲ εὑρίσκεται, διότι μετὰ ἀλληγορίας ἐντυγχάνειν ὅλῳ τούτῳ προσήκει τοὺς συνετούς· ἵνα μὴ δι' ἄγνοιαν τῶν ἀμαθῶν εἰς ἀτιμίαν ἐμπέσῃ τὰ εἰρημένα. Ἆσμα δὲ ᾀσμάτων διὰ τοῦτο καλεῖται, ἐπειδὴ μετὰ μὲν τὰ ἄλλα ᾄσματα τοῦτο, μετὰ δὲ τοῦτο οὐκ ἔτι ἄλλο προσδοκᾶν ἔστιν· ἄλλο δὲ λέγω οὐ βιβλίον, ἀλλὰ τὸ ἐκ τοῦ βιβλίου σημαινόμενον· Ὃ δὲ λέγω τοιοῦτόν ἐστι· Πᾶσα ἡ θεία Γραφὴ περὶ τῆς εἰς ἡμᾶς καθόδου τοῦ Λόγου καὶ ἐνσάρκου παρουσίας αὐτοῦ προφητεύει. Τοῦτο γὰρ τὸ βούλημα τοῦ Θεοῦ ἐστι· τοῖς τε προφήταις καὶ πάσῃ τῇ θείᾳ Γραφῇ τοῦτο προηγούμενον ἦν ἀπαγγέλλειν. Παρακολουθήματα δὲ τῷ θείῳ διηγήματι τούτῳ ποιοῦνται λόγους περὶ τῶν ἐθνῶν Βαβυλῶνος, τῆς Δαμασκοῦ, Μωάβ, καὶ τῶν ἄλλων.

---

1. Ἐκκλ. 12, 3. 2. Ἐκκλ. 12, 14.

Καὶ δι' ἑκάστης Γραφῆς τοῖς μὲν ἁμαρτάνουσιν ἐπιτιμῶσι, τοὺς δὲ προληφθέντας προτρέπονται μετανοεῖν, ἀπειλοῦντες τὴν μέλλουσαν τοῦ πυρὸς κρίσιν. Αἱ μὲν οὖν ἄλλαι Γραφαὶ προλέγουσιν, οἷον Μωσῆς μέν· «Προφήτην ὑμῖν ἀναστήσει», λέγων, «Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ἡμῶν, ὡς ἐμέ·[1]» Ἡσαΐας δέ· «Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν·[2]» ὁ δὲ Μιχαίας· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς ἔσται τὸ ὄρος Κυρίου.[3]» Καὶ ἄλλος ἄλλως προλέγει, κατὰ τὴν τοῦ Πνεύματος χάριν. Τούτων δὲ πάντων λεγόντων προσεδοκᾶτο ὁ ἀπαγγελλόμενος Κύριος. Διὰ τοῦτο καὶ πολλοὶ ἀπήγγελλον· καὶ ἕως ἦλθεν, οὐκ ἐπαύοντο οἱ προφητεύοντες. Καὶ ἔστι ταῦτα πάντα ᾄσματα. Τὸ δὲ Ἆσμα τῶν ᾀσμάτων οὐχ ὡς προφητεῦόν ἐστιν οὐδὲ ὡς προσημαῖνον· ἀλλὰ ὃν ἄλλοι προαπήγγελλον, τοῦτον ὡς ἤδη ἐλθόντα δείκνυσι, καὶ ἤδη ἀναλαβόντα τὴν σάρκα· διὸ καὶ ὡς ἐπὶ συζυγίᾳ τοῦ Λόγου καὶ τῆς σαρκὸς ἐπιθαλάμιον ᾄδει τὸ Ἆσμα τῶν ᾀσμάτων. Καὶ αἱ μὲν ἄλλαι Γραφαὶ λέγουσι περὶ τοῦ Σωτῆρος, μεταξὺ δὲ καὶ περὶ ἄλλων τινῶν ἀπαγγέλλουσι· τὸ δὲ βιβλίον τοῦτο μόνην τὴν τοῦ Λόγου πρὸς τὸ σῶμα συζυγίαν ᾄδει. Διὸ καὶ ἐν μὲν ταῖς ἄλλαις Γραφαῖς διὰ τὰ μεταξὺ δηλούμενα εἰσὶ καὶ θυμοῦ καὶ ὀργῆς λόγοι, καὶ φόβων ἀπειλαί· ἡ δὲ βίβλος αὕτη, ἐπειδὴ οὐδὲν ἕτερον ἢ τὴν παρουσίαν μόνην τοῦ Λόγου σημαίνει, θυμηδίας καὶ χαρᾶς, καὶ εὐφροσύνης μόνης ἔχει λόγους. Νυμφίου γὰρ παρόντος, πάντας χαίρειν προσήκει, καὶ μηδένα πενθεῖν, ὡς αὐτὸς ὁ Κύριος εἴρηκεν. Αὐτὸς γὰρ παρὼν τὰς ἀσθενείας ἡμῶν ἐβάστασε, καὶ τὰς λύπας ἔστρεψεν εἰς χαράν. Ὥσπερ οὖν μετὰ τὴν οἰκονομίαν τὴν τοῦ Σωτῆρος οὐκ ἔτι προφήτην προσδοκῶμεν, οὕτως μετὰ τὰ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων σημαινόμενα οὐκ ἔστιν ἄλλο τι καινότερον προσδοκᾶν σημαινόμενον. Καὶ γὰρ τὰ ἐν τῷ Ἄσματι σημαινόμενα, ταῦτα καὶ ἐν τοῖς προφήταις καὶ ἐν ταῖς ἄλλαις Γραφαῖς ἐκ διαστημάτων λεγόμενα εὑρίσκεται. Πάλιν τε ὥσπερ δεικνύοντος τοῦ Ἰωάννου τὸν Ἀμνόν, ἕως Ἰωάννου ὁ νόμος καὶ οἱ προφῆται εἰσίν· οὕτως τὰ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων σημαινόμενα τέλος ἐστὶ πάντων ἐν πάσῃ τῇ θείᾳ Γραφῇ σημαινομένων. Τί γὰρ ἄλλο μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν προσδοκᾶν δεῖ ἢ κρίσιν καὶ ἀνταπόδοσιν; Καὶ διὰ τοῦτο οἱ κατὰ Φρύγας παρεισάγοντες προφήτας μετὰ τὸν Κύριον, σφάλλονται, καὶ ὡς αἱρετικοὶ κατεκρίθησαν. Ἆσμα οὖν ᾀσμάτων, διὰ τὸ μετὰ τὰ ἐκ τούτου μηδὲν ἕτερον προσδοκᾶν. Καὶ ὥσπερ κατὰ τὸν νόμον Ἅγια ἦν, καὶ μετὰ τὰ Ἅγια Ἅγια ἁγίων, μετὰ δὲ τὰ Ἅγια τῶν ἁγίων οὐκ ἔτι ἦν ἐσώτερος τόπος· οὕτως μετὰ τὰ ᾄσματα τὸ Ἆσμα τῶν ᾀσμάτων, μετὰ δὲ τὸ Ἆσμα τῶν ᾀσμάτων οὐκ ἔτι προσδοκᾶν ἔστιν ἐσωτέραν καὶ καινοτέραν ἐπαγγελίαν. Ἅπαξ γὰρ ὁ Λόγος ἐγένετο σάρξ, καὶ τετελείωκε τὸ ἔργον. Ἔστι δὲ ὅλον τὸ βιβλίον τοῦτο διαλό-

1. Δευτ. 18, 15. 2. Ἡσ. 7, 14. 3. Μιχ. 4, 1.

γων πλῆρες τοῦ παλαιοῦ· πρὸς τὸν Λόγον, καὶ καθόλου τοῦ ἀνθρωπίνου γένους πρὸς τὸν Λόγον, καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας πρὸς αὐτόν, καὶ τοῦ Λόγου πάλιν πρὸς αὐτὴν καὶ πρὸς τὸ ἀνθρώπινον γένος· εἶτα τῶν ἐθνῶν πρὸς τὴν Ἱερουσαλήμ, καὶ τῆς Ἱερουσαλὴμ περὶ τῆς ἐξ ἐθνῶν καὶ περὶ αὐτῆς διάλογος· εἶτα καὶ τῶν διακονούντων ἀγγέλων πρὸς τοὺς κληθέντας ἀνθρώπους τὸ κήρυγμα. Τοῦ μὲν οὖν παλαιοῦ λαοῦ ἀξιοῦντος αὐτὸν κατελθεῖν καὶ συναφθῆναι τῇ σαρκὶ ταῦτα· «Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ· ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον.[1]» Καὶ πάλιν διὰ τούτων προτρέπεται· «Νέα πρὸς παλαιὰ ἐτήρησά μοι, ἀδελφιδέ μου.[2]» Καὶ κοινῇ δὲ πάντων πρὸς τὸν Λόγον, ἵνα τὸ ἡμῶν ἀναλάβῃ σῶμα· «Τίς δῴη σε, ἀδελφιδέ μου, θηλάζοντα μαστοὺς μητρός μου; εὑροῦσά σε ἔξω, φιλήσω σε, καὶ οὐκ ἐξουδενήσουσί με. Παραλήψομαί σε, εἰσάξω εἰς οἶκον μητρός μου, καὶ εἰς τὸ ταμεῖον τῆς συλλαβούσης με.[3]» Οὐ γὰρ ἔξωθεν, ἀλλ' ἀφ' ἧς ἐγεννήθημεν μήτρας, ἀναλαβεῖν αὐτὸν ἠξίουν τὸ σῶμα, εἰ καὶ μὴ ὡς ἡμεῖς ἐξ ἀνδρὸς καὶ γυναικός. Ἐκ γὰρ μόνης Παρθένου, ὡς πλάστης, ἑαυτῷ ἔλαβε τὸ σῶμα, πλὴν ὅτι ἐξ ἀνθρώπου· ἄνθρωπος γὰρ ἡ Θεοτόκος Μαρία. Καὶ τοῦ Λόγου δὲ πρὸς τοὺς ἀξιώσαντας, ἀναλαμβάνοντος ἤδη τὴν σάρκα ἐκ τῆς Παρθένου, ταῦτα· «Εἰσῆλθον εἰς κῆπόν μου ἀδελφή μου νύμφη, ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου, ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου, ἔπιον οἶνόν μου μετὰ γάλακτός μου.[4]» Εἰς γὰρ τὸν ἴδιον κῆπον εἰσελθών, τὴν κτίσιν, ἔλαβεν ἑαυτῷ ἐκ τῆς Παρθένου τὸ σῶμα, καὶ γέγονεν ἄνθρωπος. Θνητὸν μὲν ἦν τὸ σῶμα, ἀλλὰ μετὰ εὐωδίας τοῦ παναγίου Λόγου συνῆπτο. Καὶ εἰ γάλα, ὡς ἄνθρωπος, ἠφίει τὸ σῶμα φαγεῖν· ἀλλὰ μετεδίδου αὐτῷ καὶ οἴνου τῆς ἑαυτοῦ τελειότητος. Καὶ γὰρ ὥσπερ ἤσθιε γάλα, οὕτως ἐν αὐτῷ τὰ τῆς θεότητος ἐποίει ἔργα. Εἶτα ὁ Λόγος λοιπὸν ἐνδυσάμενος τὸ σῶμα προσκαλεῖται τὸν παλαιὸν λαόν, ὡς πρῶτον πιστευθέντα τὰ λόγια, διὰ τούτων· «Ἀνάστα, ἐλθὲ πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ. Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθακε, φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν, ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.[5]» Ὡς γὰρ λαβόντος τοῦ πρώτου λαοῦ ἕως καιροῦ τὴν σκιὰν τὴν ἐν νόμῳ διδάσκει, καὶ ὡς εἰδότα τὴν φωνὴν τοῦ τρυγόνος, ὑπομιμνήσκει. Προσκαλεσάμενος δὲ ὁ Λόγος τὴν Ἱερουσαλήμ, προσκαλεῖται λοιπὸν καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν διὰ τούτων· (εἷς γάρ ἐστι Κύριος καὶ Ἰουδαίων καὶ ἐθνῶν·) «Δεῦρο ἀπὸ Λιβάνου, νύμφη. Ἀπὸ Λιβάνου ἐλεύσῃ, καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως, ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.[6]» Ἀπὸ γὰρ εἰδωλολατρείας καὶ

1. Ἀσμ. 1, 2. 2. Ἀσμ. 7, 14. 3. Ἀσμ. 8, 1-2. 4. Ἀσμ. 5, 1.
5. Ἀσμ. 2, 10-13. 6. Ἀσμ. 4, 8.

θηριώδους τρόπου προσκαλεῖται ταύτην εἰς τὴν πίστιν. Κληθεῖσα τοίνυν ἐξ ἐθνῶν καὶ ἤδη κατανυγεῖσα, λέγει πρὸς τὸν Λόγον ταῦτα· «Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου· ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ· μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.[1]» Πεῖραν γὰρ ἔχουσα τῆς εἰς πολλὰ μεταβολῆς, ἠξίου στηριχθῆναι λοιπὸν καὶ βεβαιωθῆναι· μήποτε πάθῃ πάλιν τὸ αὐτό. Παρακληθεὶς ὁ Λόγος, διδάσκει λοιπὸν αὐτὴν διὰ τούτων· «Ἐὰν μὴ γνῷς ἑαυτήν, ἡ καλὴ ἐν γυναιξίν, ἔξελθε ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους σου ἐπὶ σκηνώμασι τῶν ποιμένων.[2]» Οὐ δύναται γάρ τις γνῶναι Θεόν, μὴ πρότερον γνοὺς ἑαυτόν. Εὐσέβεια γὰρ εἰς Θεὸν ἀρχὴ αἰσθήσεως· αἴσθησις δὲ οὐχ ἡ ἔξωθεν, ἀλλ' ἡ κατὰ ψυχὴ διάνοια μετὰ πίστεως. Ἡ Ἱερουσαλήμ, ὁρῶσα τὴν κλῆσιν τῶν ἐθνῶν γινομένην ἐν ἀκροβυστίᾳ πίστεως, θαυμάζουσα λέγει· «Τί ὄψεσθε ἐν τῇ Σουναμίτιδι, ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν;[3]» Οὐ γὰρ ἐξ ἑνός, ἀλλ' ἐκ παντὸς ἔθνους ἤρχοντο, ἀφέντες τὰς ἰδίας παρεμβολάς, καὶ συντρίψαντες τὰς μαχαίρας, καὶ λοιπὸν εἰρηνικὰ φρονοῦντες. Ἡ ἐξ ἐθνῶν ὁρῶσα τὴν Ἱερουσαλήμ, ὥσπερ μεμφομένην, ἀπολογεῖται περὶ ἑαυτῆς· ὅτι μὴ ἀργὴ αὐτῆς ἐστιν ἡ κλῆσις. «Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ, ὡς σκηνώματα Κηδάρ, ὡς δέρρεις Σολομών. Μὴ βλέψητέ με, ὅτι ἐγὼ μεμελανωμένη εἰμί, ὅτι παρέβλεψέ με ὁ ἥλιος. Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί· ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν. Ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.[4]» Μέλαινά εἰμι· ἀλλ' ὑπ' αὐτὸν τὸν ἥλιόν εἰμι. Εἰ γὰρ καὶ ἀκρόβυστός εἰμι, φησίν, ἀλλ' ἀπεταξάμην εἰδώλοις, καὶ ἐξῆλθον ἐκ τοῦ οἴκου τῆς μητρός μου, ὥσπερ καὶ ὁ Ἀβραάμ· ἐκείνης γάρ εἰμι τῆς πίστεως. Καὶ διὰ τοῦτο ἀξιῶ, «Εἰσάγαγέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην, τηρήσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις· ὅτι τετρωμένη ἀγάπης ἐγώ.[5]» Μὴ τῇ ἀκροβυστίᾳ προσέχητε ἀλλ' ἐν ἀγάπῃ προσλάβου με, ὦ νόμε καὶ προφῆται. Καὶ εἰ δυσώδης εἰμὶ τῇ ἀγριότητι, ἀλλὰ σύ με παίδευε, καὶ εὐωδίᾳ σου στήριξον· τέτρωμαι γὰρ τῇ ἀγάπῃ. Καὶ διὰ τοῦτο, «Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ταῖς ἰσχύσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε, καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ.[6]» Ὁρκίζω ὑμᾶς, ὦ πατέρες, οὐ κατὰ τῶν δυνάμεων, οὐκ ἔξεστι γάρ, ἀλλ' ἐν δυνάμεσι τοῦ παραδείσου, ἵν', εἰς ἐκεῖνον βλέποντες, ὡς τὸν Ἀδάμ, οὕτως με προσδέξησθε. Καὶ γὰρ κἀκεῖ οὐκ ἦν περιτομή· ἄρτι δὲ τὰ τοῦ Ἀδὰμ ἀνακαινίζεται. Ὁ Λόγος ὁρῶν τὴν πίστιν τῶν ἐθνῶν, καὶ ἀποδεχόμενος λέγει· «Καλή, ἡ πλησίον μου, ὡς εὐδοκία, ὡραία ὡς Ἱερουσαλήμ, θάμβος ὡς τεταγμέναι.[7]» Οὐ γὰρ ἄλλως, ἢ ὡς τὴν Ἱερουσαλὴμ δεῖ εἶναι τοὺς ἀπὸ τῶν ἐθνῶν, ἵνα εἷς λαὸς γένηται. Τοῦτο δὲ γίνεται, ὅταν

1. Ἆσμ. 1, 7. 2. Ἆσμ. 1, 8. 3. Ἆσμ. 7, 1. 4. Ἆσμ. 1, 5-6. 5. Ἆσμ. 2, 4-5. 6. Ἆσμ. 2, 7. 7. Ἆσμ. 6, 4.

μετὰ τοῦ τιμᾶν τὸν νόμον πιστεύωμεν τὸν Χριστόν. Εἷς γὰρ ὁ Θεὸς τοῦ νόμου καὶ τῶν Εὐαγγελίων. Καὶ ὁ μὴ ὡς Ἱερουσαλὴμ γενόμενος οὐ γίνεται πλησίον τοῦ Λόγου. Ἡ Ἱερουσαλήμ, ὁρῶσα τῶν τέκνων τὴν πίστιν, καὶ τὴν τοῦ Λόγου φιλανθρωπίαν, λέγει· «Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήματι τοῦ χειμάρρου, εἰ ἤνθησαν αἱ ῥοιαί· ἐκεῖ δώσω τοὺς μαστούς μου. Οὐκ ἔγνω ἡ ψυχή μου, ἔθετό με ἅρματα Ἀμιναδάβ.[1]» Εἰς γὰρ τὸν κῆπον τῆς καρύας, τοῦτ' ἔστιν εἰς τὰς Γραφάς, ἐγενόμην, αἵτινες ὡς καρύαι εἰσίν, ἔξωθεν μὲν σκληραί, ἔσωθεν δὲ πνευματικαί. Εἶδον, ὅτι ζευχθῆναί με δεῖ ὡς ἐν ἅρματι τῇ ἐξ ἐθνῶν κλήσει. Ζευχθέντων τοίνυν ἀμφοτέρων τῶν λαῶν, λοιπὸν πανταχοῦ τὸ κήρυγμα ἀπεστάλη, καὶ τούτου γίνονται διάκονοι οἱ ἄγγελοι, λέγοντες· «Ἐξέλθετε καὶ ἴδετε ἐν τῷ Σολομὼν ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.[2]» Ὁ γὰρ ἐξερχόμενος ἀπὸ τῆς κακίας ὄψεται καὶ τὴν τοῦ Λόγου πρὸς τὸ σῶμα ἄτρεπτον ἕνωσιν. Ὅτε γὰρ γέγονε νύμφευσις τοῦ Λόγου πρὸς ἡμᾶς διὰ τῆς τοῦ σώματος ἑνώσεως, τότε καὶ τὴν κατὰ τοῦ θανάτου νίκην πεποίηκε, δι' ἣν εὐφροσύνης πάντα πεπλήρωκε. Τοιαῦτα ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων τὰ τῶν διαλόγων ἐστίν· ἐξ ὧν ἀφορμήν τις λαβών, δύναται ἀπ' αὐτοῦ τοῦ βιβλίου τὰ ὅμοια τοῖς ὁμοίοις συνάπτειν κατὰ τὸν νοῦν.

Βιβλίον ιζ', Ἰώβ.

25. Ἰὼβ ἐπιγέγραπται τὸ βιβλίον, ἐπειδὴ τὴν κατ' αὐτὸν ἱστορίαν περιέχει, πῶς τε πέπονθε, πειρασθεὶς ὑπὸ τοῦ διαβόλου· καὶ νικήσας καὶ ὑπομείνας εὐσεβῶς τὰς ἐπενεχθείσας αὐτῷ πληγάς, διπλᾶ πάλιν πάντα ἀπέλαβε, καὶ γέγονεν ἐνδοξότερος ὑπὲρ ὃ ἦν, καὶ ἔσχε πάλιν τέκνα δέκα. Πέπονθε δὲ ἐτῶν ὢν ο', ὡς εἶναι πάντα τὰ ἔτη τῆς ζωῆς αὐτοῦ σμ'. Μετὰ γὰρ τὰς πληγὰς ἔζησεν ἕτερα ρο'. Γέγονε δὲ Ἰὼβ πρὸ Μωϋσέως· ἀπὸ γὰρ Ἀβραὰμ πέμπτος ἦν, ἔκγονος τοῦ Ἠσαῦ. Διὰ τὴν γενομένην κατ' αὐτοῦ πληγὴν ἦλθον τρεῖς αὐτοῦ φίλοι παρακαλέσαι αὐτόν, Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, Σοφὰρ ὁ Μιναίων βασιλεύς. Καὶ φιλονείκως μὲν καὶ ἀνελεημόνως αὐτοὶ ἐλάλησαν αὐτῷ, ἐναλλόμενοι κατ' αὐτοῦ· ὥστε καὶ ἁμαρτίαν αὐτοῖς ἐκ τούτου λογισθῆναι. Ὁ δὲ Ἰὼβ παρεκάλεσεν ὑπὲρ αὐτῶν τὸν Θεόν, καὶ συνεχωρήθη αὐτοῖς. Εἰσὶν οὖν τοῦ μὲν Ἰὼβ διάλογοι πρὸς τοὺς φίλους ἐννέα· τοῦ δὲ Ἐλιφὰζ πρὸς αὐτὸν τρεῖς, τοῦ δὲ Σοφὰρ πρὸς αὐτὸν δύο, καὶ τοῦ Βαλδὰδ τρεῖς. Ἔστι δὲ καὶ τοῦ Ἐλιοῦς τοῦ Βαραχιήλ, τοῦ Βουζίτου, α'. Καὶ λοιπὸν ὁ Κύριος χρηματίζει τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν. Ἀποκρίνεται δὲ καὶ Ἰὼβ τῷ Κυρίῳ διὰ λόγων δεύτερον.

1. Ἆσμ. 6, 11-12. 2. Ἆσμ. 3, 11.

Βιβλίον ιη', Οἱ ιβ' προφῆται. Ὠσηὲ α'.

26. Γεγόνασι μὲν καὶ πρὸ τούτου προφῆται· ἐπὶ μὲν τοῦ Δαυίδ, Σαμουήλ, καὶ Ναθάν, καὶ Γάδ· ἐπὶ δὲ τοῦ Ῥοβοὰμ καὶ Ἀβιᾶ καὶ Ἀσᾶ, Ἀχίας ὁ Σηλωνίτης, καὶ Σαμαίας, καὶ Ἀδδώ, καὶ Ἀζαρίας, καὶ Ἀνεμῆ· ἐπὶ δὲ τοῦ Ἰωσαφὰτ καὶ τοῦ Ἀχαὰβ Ἠλίας καὶ Ἐλισσαῖος, καὶ ὁ προφητεύσας τῷ Ἀχαὰβ περὶ τῆς Συρίας καὶ ὁ πατάξας ἑαυτὸν τραύματι, καὶ ἐλέγξας τὸν Ἀχαάβ, καὶ Ἰοῦ ὁ τοῦ Ἀμῆ, καὶ Ὀζιήλ, καὶ Ἐλιάδα. Ἀλλ' οὐ φέρεται τούτων ἴδια συγγράμματα, εἰ μὴ μόνον οἱ λόγοι αὐτῶν ἐν ταῖς Βασιλείαις καὶ ταῖς Παραλειπομέναις. Ἐν δὲ τοῖς συγγράψασιν, ὧν καὶ τὰ συγγράμματα φέρεται, πρῶτοι γεγόνασιν οὗτοι, Ὠσηέ, καὶ Ἡσαΐας. Ἐπὶ γὰρ τῶν αὐτῶν βασιλέων, τοῦ τε Ἰούδα, Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἀχάζ, καὶ Ἐζεκίου βασιλέως Ἰούδα· καὶ ἐν ἡμέραις Ἱεροβοὰμ υἱοῦ Ἰωᾶς, βασιλέως Ἰσραὴλ προεφήτευσαν. Ἐγένετο δὲ λόγος πρὸς τὸν Ὠσηέ, καὶ προφητεύει οὗτος· τοὺς ἱερέας, καὶ ἐπὶ τὸν Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ περὶ τῆς ἀπωλείας τῆς Σαμαρείας. Καὶ ἐλέγξας καὶ συγκλείσας αὐτοὺς εἰς ἀπείθειαν, σημαίνει τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, δι' ἧς αὐτὸς ἔλαβε πόρνης γυναικός, ἣν καὶ λαβὼν ἐσωφρόνισεν, ἀνάγων αὐτὴν πρὸς ἑαυτόν. Προφητεύει δὲ καὶ περὶ τῆς τοῦ Σωτῆρος παρουσίας.

Ἀμώς, β'.

27. Καὶ οὗτος συνεχρόνισε κατὰ τὴν ἀρχὴν τῷ Ὠσηὲ καὶ τῷ Ἡσαΐᾳ· ἐπὶ γὰρ Ὀζίου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωᾶς, βασιλέως Ἰσραήλ, γέγονε πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. Λόγους δὲ εἶδε, καὶ προφητεύει κατὰ τῆς Ἱερουσαλήμ, καὶ κατὰ τοῦ Ἰσραὴλ τῆς Σαμαρείας, καὶ κατὰ τῶν ἐθνῶν Δαμασκοῦ, Γάζης, Ἀσκάλωνος, Ἀζώτου, Ἀκκάρων, Τύρου, Ἰδουμαίας, Θαιμάν, υἱῶν Ἀμμὼν καὶ Μωάβ. Καὶ οὗτος ἐλέγχει καὶ συγκλείει πάντας εἰς ἀπείθειαν. Ἀλλὰ καὶ Ἀμασίου τοῦ ἱερέως Βαιθήλ, διαβάλλοντος αὐτὸν τῷ βασιλεῖ Ἱεροβοάμ, ὡς λέγοντα κατ' αὐτοῦ καὶ κατὰ τῆς Σαμαρείας, καὶ κατὰ τοῦ λαοῦ, αὐτὸς οὐδὲν ἧττον οὐκ ἐπαύσατο παρρησιαζόμενος, καὶ λέγων τὰ λόγια, καὶ περὶ τῆς παρουσίας τοῦ Σωτῆρος.

Μιχαίας, γ'.

28. Οὗτος δεύτερος μὲν τῶν προειρημένων γέγονεν· ὅτι μετὰ Ὀζίαν προεφήτευσε· συνεχρόνισε δὲ αὐτοῖς, ἐπεὶ καὶ αὐτὸς ἐπὶ Ἰωαθάμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου, ἤρξατο προφητεύειν. Ἐγένετο δὲ λόγος πρὸς αὐτὸν τοῦ Κυρίου, καὶ προφητεύει ἐπὶ Ἱερουσαλήμ, καὶ Σαμάρειαν, καὶ ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν, καὶ

κατὰ τοῦ Ἀχαάβ. Προσημαίνει δὲ καὶ τὴν παρουσίαν τοῦ Σωτῆρος, λέγων· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς ἔσται τὸ ὄρος Κυρίου.[1]»

Ἰωὴλ ὁ τοῦ Βαθουήλ, δ'.

29. Λόγος Κυρίου ἐγένετο πρὸς τοῦτον, καὶ προφητεύει τοῖς πρεσβυτέροις καὶ πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν περὶ τῆς ἁλώσεως τῆς γῆς καὶ τῶν ἐν αὐτῇ. Προφητεύει δὲ καὶ περὶ τῆς τοῦ ἁγίου Πνεύματος χάριτος, καὶ τῆς εἰς πάντας γενησομένης ὑπὸ τοῦ Σωτῆρος. Κηρύττει δὲ καὶ περὶ νηστείας καὶ μετανοίας, καὶ περὶ τῆς τοῦ Σωτῆρος παρουσίας, καὶ τῶν ἐπὶ τοῦ σταυροῦ γενομένων σημείων.

Ἀβδιοῦ, ε'.

30. Ὅρασιν ἀπαγγέλλει οὗτος κατὰ τῆς Ἰδουμαίας καὶ τοῦ τέλους αὐτῆς, καὶ κατὰ τῶν ἐθνῶν τῶν ἐμπαροινησάντων τῷ Ἰσραήλ. Ἀναλωθήσεσθαι γὰρ τὸν οἶκον Ἡσαῦ ὑπὸ τοῦ Ἰακὼβ προσημαίνει.

Ἰωνᾶς, ς'.

31. Λόγος Κυρίου ἐγένετο πρὸς αὐτὸν ἀπελθεῖν εἰς Νινευΐ, καὶ κηρύξαι ἐν αὐτῇ, ὅτι «Ἔτι τρεῖς ἡμέραι καὶ καταστραφήσεται Νινευΐ.[2]» Ἀλλ' Ἰωνᾶς, φεύγων τὸ κήρυγμα, ἀνέβη εἰς πλοῖον, χειμῶνός τε γενομένου, ἐξεβλήθη, καὶ κατεπόθη ὑπὸ κήτους θαλασσίου. Εἶτα μετὰ τρεῖς ἡμέρας ἐξέβαλε τὸ κῆτος τὸν Ἰωνᾶν ζῶντα. Καὶ πάλιν ἐκ δευτέρου λόγος Κυρίου ἐγένετο πρὸς αὐτόν, καὶ ἀπελθὼν ἐκήρυξεν εἰς τὴν Νινευΐ. Ἐκεῖνοί τε, ἀκούσαντες, μετενόησαν, καὶ παρήγαγε Κύριος τὴν ὀργὴν ἀπ' αὐτῶν. Τῆς μέντοι παρουσίας τοῦ Σωτῆρος σημεῖον αὐτὸς ἐξ ἔργων ἐγένετο, καταποθεὶς ὑπὸ τοῦ κήτους, καὶ μετὰ τρεῖς ἡμέρας σῶος πάλιν ἐκδοθείς.

Ναοὺμ ὁ τοῦ Ἐλκεσαίου, ζ'.

32. Λῆμμα περὶ τῆς ἀπωλείας Νινευΐ, βιβλίον ὁράσεως προφητεύει ὁ τοιοῦτος· καὶ κηρύττει μὲν καὶ περὶ ἑορτῆς· προσημαίνει δὲ ἐν αὐτῇ περὶ τοῦ Σωτῆρος. Καὶ τὰ λοιπὰ πάντα κατὰ τῆς Νινευΐ καὶ τοῦ τέλους αὐτῆς καὶ τῶν ἐχθρῶν τοῦ Ἰσραὴλ ἀπαγγέλλει.

Ἀμβακούμ, η'.

33. Λῆμμα καὶ αὐτὸς εἶδε, καὶ προφητεύει, δεόμενος μὲν περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ, προσημαίνων δὲ περὶ τῆς παρουσίας τοῦ Σωτῆρος. Λέγει δὲ καὶ προφητεύει κατὰ τῶν καταφρονητῶν. Εἶτα μεταξύ ἐστι προσευχὴ τοῦ προφήτου μετ' ᾠδῆς, καὶ τρία διαψάλματά ἐστιν ἐν τῇ λεγομένῃ ᾠδῇ, ᾄδοντος αὐτοῦ περὶ τῆς παρουσίας τοῦ Σωτῆρος, καὶ τῆς κατὰ τοῦ θανάτου νίκης.

---

1. Μιχ. 4, 1. 2. Ἰων. 3, 4.

Σοφονίας ὁ τοῦ Χουσί, θ'.

34. Οὗτος καὶ Ἱερεμίας συνεχρόνισαν ἀλλήλοις. Ἀμφότεροι γὰρ ἐπὶ τοῦ Ἰωσίου βασιλέως Ἰούδα ἐπροφήτευσαν. Λόγος δὲ Κυρίου ἐγένετο πρὸς αὐτόν, καὶ προφητεύει ἐν τῇ Ἱερουσαλήμ, καὶ παντὶ Ἰούδᾳ· καὶ προλέγει περὶ ἡμέρας ἐσομένης, ὥστε ἐξαρθῆναι πάντα τὰ εἴδωλα, καὶ τὰ ἄλση, καὶ πολὺν θρῆνον, καὶ κοπετὸν γίνεσθαι. Προφητεύει δὲ καὶ περὶ τοῦ Σωτῆρος, καὶ τῆς ἀναστάσεως, ἣν δι' ἡμᾶς ποιεῖ. Προφητεύει δὲ καὶ κατὰ Γάζης, καὶ Ἀσκάλωνος, καὶ Ἀζώτου, καὶ τῆς Ἀκκαρών, καὶ κατὰ Μωάβ, καὶ Ἀμμών, καὶ κατὰ Δαμασκοῦ, καὶ κατὰ Νινευΐ, καὶ κατὰ τῶν Αἰθιόπων.

Ἀγγαῖος, ι'.

35. Οὗτος μετὰ τὴν αἰχμαλωσίαν ἐν τῇ ἐπανόδῳ προφητεύει ἐν τῇ Ἱερουσαλὴμ ἐπὶ Δαρείου βασιλέως Περσῶν, β' ἔτους αὐτοῦ, τῷ ἕκτῳ μηνί, λόγος Κυρίου ἐγένετο ἐν χειρὶ αὐτοῦ, καὶ προφητεύει τῷ Ζοροβάβελ, καὶ τῷ Ἰησοῦ τῷ Ἰωσεδέκ, καὶ τῷ λαῷ, περὶ τῆς οἰκοδομῆς τῆς Ἱερουσαλήμ. Προφητεύει δὲ καὶ περὶ τῆς παρελεύσεως τῶν οἰκείων, καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν.

Ζαχαρίας υἱὸς Ἀδδώ, ια'.

36. Καὶ οὗτος τῷ δευτέρῳ ἔτει Δαρείου προφητεύει· ἀλλὰ τῷ ὀγδόῳ μηνὶ λόγος Κυρίου ἐγένετο πρὸς αὐτὸν καὶ ἄγγελος Κυρίου ἐλάλησεν αὐτῷ, καὶ προφητεύει πρὸς τοὺς πατέρας καὶ τὴν Ἱερουσαλήμ. Πολλὰς δὲ καὶ ποικίλας ὁράσεις βλέπει, καὶ προφητεύει περὶ τοῦ Σωτῆρος διὰ πολλῶν, καὶ σημαίνει αὐτὸν ἐξέρχεσθαι ἐπὶ ὄνον καὶ πῶλον ὑποζυγίου.

Μαλαχίας, ιβ'.

37. Καὶ οὗτος μετὰ τὴν αἰχμαλωσίαν γέγονεν ἐπὶ Δαρείου. Λῆμμα δὲ λόγου Κυρίου ἐν χειρὶ ἀγγέλου αὐτοῦ, καὶ προφητεύει ἐπὶ τὸν Ἰσραήλ. Ὀνειδίζει δὲ τὸν Ἰσραὴλ ἐπὶ ταῖς παραβάσεσι, καὶ μέμφεται ἐπὶ τῇ ἀμελείᾳ τῶν δεκάτων, καὶ τῆς πρὸς τοὺς πτωχοὺς κοινωνίας. Προφητεύει δὲ περὶ τῆς ἡμέρας τῆς κρίσεως, καὶ τῆς τοῦ Σωτῆρος ἐπιλάμψεως, καὶ πρὸ τῆς παρουσίας τοῦ Σωτῆρος ἀποστέλλεσθαι τὸν Ἠλίαν σημαίνει.

Βιβλίον ιθ'. Ἡσαΐας υἱὸς Ἀμώς.

38. Οὗτος καὶ Ὠσηέ, καθὰ προείπομεν, συνεχρόνισαν ἀλλήλοις. Καὶ γὰρ καὶ οὗτος ἐπὶ Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἀχάζ, καὶ Ἐζεκίου βασιλέων Ἰούδα, γέγονεν. Ὅρασιν δὲ ἑωρακώς, προφητεύει κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ. Καὶ λόγος δὲ Κυρίου πρὸς αὐτὸν γέγονε. Καὶ τὸ πλεῖστον τῆς προφητείας αὐτοῦ ἐστιν εὐαγγέλια περὶ

τῆς ἐνσάρκου παρουσίας τοῦ Λόγου τοῦ Θεοῦ, καὶ ὧν ἀνεδέξατο δι' ἡμᾶς παθῶν. Προφητεύει δὲ καὶ ἐπὶ ἔθνη ταῦτα, κατὰ Βαβυλῶνος, ἐπὶ τοὺς ἀλλοφύλους, κατὰ Δαμασκοῦ· ὅρασιν Αἰγύπτου, ὅραμα τῆς Ἰδουμαίας, ὅραμα τῆς φάλαγγος Σιών, ὅραμα Τύρου, ὅρασιν τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ. Διηγεῖται δὲ καὶ τὴν ἔξοδον Σεναχηρείμ, καὶ Ῥαψάκου τὴν ἀλαζονείαν, τήν τε πτῶσιν καὶ ἀπώλειαν αὐτῶν. Καὶ ὅτι νοσήσας Ἐζεκίας, καὶ μέλλων ἀποθνήσκειν, εὐξάμενος, προσθήκην ἔσχε ζωῆς ἐτῶν ιε'. Προφητεύει δὲ καὶ εὐνούχοις, καὶ τοῖς ἔθνεσι, καὶ ἐν τῷ τέλει περὶ τῆς ἡμέρας τῆς κρίσεως.

Βιβλίον κ'. Ἱερεμίας ὁ Χελκίου ἐκ τῶν ἱερέων.

39. Οὗτος πάλιν καὶ Σοφονίας, καθὰ προείπομεν, συνεχρόνισαν ἀλλήλοις. Παρέμεινε δὲ Ἱερεμίας ἕως Ἰωακείμ, καὶ ἕως ἑνδεκάτου ἔτους Σεδεκίου βασιλέως Ἰούδα, ἕως τῆς αἰχμαλωσίας τοῦ λαοῦ. Ῥῆμα δὲ Θεοῦ ἐγένετο πρὸς αὐτόν, ὃς ἐγενήθη λόγος Κυρίου πρὸς αὐτόν. Καὶ πολλάκις δὲ ἐγένετο λόγος Κυρίου πρὸς αὐτόν, καὶ ἐλέγχει τὰς ἀδικίας τῆς Ἱερουσαλὴμ διὰ πολλῶν. Προφητεύει δὲ ἐπὶ Ἱερουσαλήμ, καὶ περὶ τῆς ἀβροχίας, καὶ ἐπὶ τὰ ἔθνη Ἀειλήμ, καὶ τοῦ ἐλθεῖν βασιλέα Βαβυλῶνος τοῦ ἐκκόψαι τὴν γῆν Αἰγύπτου, καὶ ἐπὶ Βαβυλῶνα. Καὶ ὁ λόγος ὃν ἐνετείλατο Κύριος τῷ Ἱερεμίᾳ εἰπεῖν τῷ Σαραίᾳ υἱῷ Νηρίου, καὶ τῇ Ἰδουμαίᾳ, καὶ τοῖς υἱοῖς Ἀμμών, καὶ τῇ Κηδὰρ βασιλίσσῃ τῆς Αὐλῆς, ἣν ἐπάταξε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ τῇ Δαμασκῷ, καὶ τῇ Μωάβ, καὶ ἐπὶ Ἱερουσαλὴμ καὶ Ἰούδαν, καὶ εἰς οἶκον Ἀχαβίν, περὶ τῶν υἱῶν Ἀδάβ, τοῖς τε Ἰουδαίοις τοῖς κατοικοῦσιν ἐν γῇ Αἰγύπτου, καὶ τοῖς καθημένοις ἐν Μαγδωλῷ, καὶ ἐν Τάφναις, καὶ ἐν γῇ Παθούρης· πρός τε τὸν Βαρούχ, ὅτε ἔγραφε τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στόματος Ἱερεμίου. Περιέχει δὲ τὸ βιβλίον ἐπὶ τέλους, ὅτι οἱ Ἰουδαῖοι, ἐπιβουλεύοντες τῷ προφήτῃ, ἔρριψαν αὐτὸν εἰς λάκκον βορβόρου, καὶ Ἀβδεμέλεχ Αἰθίοψ ἀνήγαγεν αὐτόν.

Βαρούχ δὲ ἐπιγράφει τὸ βιβλίον, ἐπειδὴ οὗτος, γράψας ἀπὸ στόματος Ἱερεμίου τοὺς ἐν τῷ βιβλίῳ λόγους ἀνέγνω τοῖς ἐν τῇ Βαβυλῶνι αἰχμαλωτισθεῖσι, παραμυθούμενος αὐτούς, καὶ ἐπαγγελλόμενος τούτοις τὴν παρὰ Θεοῦ ἐλπίδα.

Θρῆνοι ἐπιγράφει τὸ βιβλίον, ἐπειδὴ τούτου τοὺς λόγους ἐθρήνησεν Ἱερεμίας περὶ τῆς Ἱερουσαλήμ, ὅτε ἑάλω καὶ ᾐχμαλωτίσθη ὁ λαός.

Ἐπιστολὴ Ἱερεμίου καλεῖται, ἐπειδὴ ταύτην ἔγραφεν Ἱερεμίας τοῖς ἐν τῇ αἰχμαλωσίᾳ, κατὰ τῶν εἰδώλων ἀσφαλιζόμενος αὐτούς, ἵνα μὴ βλέποντες αὐτὰ συναπαχθῶσι τοῖς σεβομένοις ταῦτα.

Βιβλίον κα'. Ἐζεκιὴλ υἱὸς Βουζὶ ἱερεύς.

40. Οὗτος ἐν τῇ αἰχμαλωσίᾳ γέγονε μετὰ Ἱερεμίαν, καὶ τῷ πέμπτῳ ἔτει τῆς αἰχμαλωσίας Ἰωακεὶμ ἤρξατο προφητεύειν. Λόγος δὲ Κυρίου

ἐγένετο πρὸς αὐτόν, καὶ χεὶρ Κυρίου ἐγένετο ἐπ' αὐτόν. Καὶ ὅρασιν μὲν ἐξ ἀρχῆς ζῴου τετραπροσώπου θαυμαστήν, καὶ ἐκπληκτικωτάτην, καὶ δυσερμήνευτον ὁρᾷ· προφητεύει δὲ ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραήλ, καὶ περὶ τοῦ ξύλου τῆς ἀμπέλου, καὶ διήγημα περὶ τοῦ ἀετοῦ, καὶ διαμαρτύρεται τῇ Ἱερουσαλὴμ τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας αὐτῆς, περί τε τῆς παραβολῆς, ἧς ἔλεγον· «Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ ὀδόντες τῶν τέκνων ἐμωδίασαν.» Καὶ τοῖς υἱοῖς Ἀμμών, καὶ περὶ τῆς Ὀολᾶς, καὶ τῆς Ὀλιβᾶς, καὶ ἐπὶ Σοὺρ θρῆνον, καὶ ἐπὶ Σιδῶνα, καὶ περὶ τῆς ἡμέρας Κυρίου, καὶ τῷ Φαραὼ βασιλεῖ Αἰγύπτου, καὶ θρῆνον ἐπὶ Φαραώ, καὶ τὴν Αἴγυπτον, καὶ ἐπὶ ὄρος Σηείρ, καὶ περὶ τῶν ὀστέων τῶν ἀναζησάντων, καὶ ἐπὶ Γώγ, καὶ τὴν γῆν τοῦ Μαγώγ. Τῷ τε ἄρχοντι Τύρου, καὶ θρῆνον κατ' αὐτοῦ, καὶ τοῖς υἱοῖς τοῦ λαοῦ αὐτοῦ, καὶ ἐπὶ τοὺς ποιμένας τοῦ Ἰσραήλ. Καὶ τὸ τελευταῖον τὴν οἰκοδομὴν τοῦ ναοῦ, καὶ τῆς Ἱερουσαλὴμ διαγράφων, προφητεύει.

Βιβλίον κβ', Δανιήλ.

41. Καὶ οὗτος ἐν τῇ αἰχμαλωσίᾳ γέγονεν ἕως τοῦ βασιλέως Κύρου Πέρσου. Καὶ τὰ μὲν κατὰ Σουσάνναν κρίνει αὐτός, καὶ κατακρίνει τοὺς πρεσβυτέρους, ὡς συκοφάντας· τὰ δὲ τοῦ βασιλέως ἐνύπνια αὐτὸς ἀπαγγέλλει τε καὶ ἑρμηνεύει. Βλέπει δὲ καὶ ὁράσεις τελείας περὶ μὲν τῶν βασιλειῶν δύο, περὶ δὲ τῆς τοῦ Σωτῆρος παρουσίας, καὶ καταπαύσεως τῆς Ἱερουσαλήμ, καὶ τῆς τοῦ ἀντιχρίστου παρουσίας, δύο. Διηγεῖται δὲ περὶ τοῦ μαρτυρίου Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγώ, καὶ περὶ τοῦ ὕμνου αὐτῶν· καὶ ὅτι αὐτοὶ μὲν διεσώθησαν, οἱ δὲ ὑποκαίοντες κατεφλέχθησαν, καὶ μετέγνω ὁ βασιλεύς· καὶ ὅτι αὐτὸς δὶς ἐβλήθη εἰς τὸν λάκκον τῶν λεόντων· τὸ μὲν πρῶτον, ἐπειδὴ τῶν Βαβυλωνίων προσευχομένων Δαρείῳ τῷ βασιλεῖ μόνος αὐτὸς Θεῷ προσηύχετο· τὸ δὲ δεύτερον, διότι τὸν Βὴλ κατέστρεψε, καὶ τὸν δράκοντα ἀνεῖλεν ἐπὶ Κύρου τοῦ βασιλέως, καὶ αὐτὸς μὲν διεσώθη, καὶ ἀπὸ τῶν λεόντων ἀνῆλθεν ἐκ τοῦ λάκκου· οἱ δὲ ἐπιβουλεύσαντες αὐτῷ ἐβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εὐθὺς κατεβρώθησαν ὑπ' αὐτῶν.

Τέλος τῶν κανονιζομένων βιβλίων τῆς Παλαιᾶς Διαθήκης εἰς εἴκοσι καὶ δύο συμποσουμένων, κατὰ τὸν ἀριθμὸν τῶν παρ' Ἑβραίοις γραμμάτων. Τοσαῦτα γάρ ἐστι παρ' αὐτοῖς τὰ στοιχεῖα, ὡς προείπομεν. Ῥητέον δὲ ὁμοίως καὶ περὶ τῶν ἑτέρων τῆς Παλαιᾶς βίβλων, τῶν μὴ κανονιζομένων μέν, ἀναγινωσκομένων δὲ μόνον, ὡς προδεδήλωται.

Βιβλίον Ἐσθήρ.

42. Οὕτω καλεῖται τὸ βιβλίον, ἐπειδὴ καὶ τὴν περὶ τῆς Ἐσθὴρ ἱστορίαν περιέχει, πῶς ὁ Θεὸς δι' αὐτῆς, μέλλοντας ἀπόλλυσθαι παγγενεὶ τοὺς Ἰουδαίους, αὐτοὺς μὲν διέσωσε, τὸν δὲ Ἀμάν, τὸν

θελήσαντα ἐπιβουλεῦσαι, ἐπάταξεν. Ἡ δὲ ἱστορία γέγονεν ἐν Σούσοις, καὶ ἔστιν αὕτη. Ἀρταξέρξης ὁ βασιλεύς, ἐκβαλὼν τὴν ἰδίαν γυναῖκα, ἐζήτησεν ἐν τῇ βασιλείᾳ αὐτοῦ τὴν πάντων καλλιστεύουσαν καὶ ὡραιοτέραν λαβεῖν ἑαυτῷ γυναῖκα. Καὶ εὑρέθη ἡ Ἐσθήρ, τὸ γένος Ἰουδαία τυγχάνουσα. Ἦν δὲ καὶ Μαρδοχαῖος συγγενὴς αὐτῆς ἀπὸ τῆς αἰχμαλωσίας τῆς γενομένης ἐπὶ Σεδεκίου ἐν αὐτῇ τῇ χώρᾳ. Ὁ οὖν βασιλεύς, μέγα ποιήσας τινὰ τῶν ἑαυτοῦ, λεγόμενον Ἀμάν, ἐκέλευσε πάντας αὐτὸν προσκυνεῖν. Ἀλλὰ τοῦ Μαρδοχαίου διὰ τὴν πρὸς τὸν Θεὸν λατρείαν μὴ προσκυνοῦντος αὐτόν, ὠργίσθη ὁ Ἀμάν· καὶ μαθών, ὅτι Ἰουδαῖός ἐστι, πείθει τὸν βασιλέα Ἀρταξέρξην, καὶ γράφει, ὥστε πάντας τοὺς ἐν τῇ βασιλείᾳ αὐτοῦ Ἰουδαίους ὁλορρίζους ἀπολέσθαι ἐν μιᾷ ἡμέρᾳ τῷ ιβʹ μηνί. Τοῦτο τοίνυν μαθὼν ὁ Μαρδοχαῖος, ἐπένθει, καὶ νηστεύων προσέπεσε τῇ Ἐσθήρ, ἀξιῶν παρ' αὐτῆς βοήθειαν γενέσθαι. Ἡ τοίνυν Ἐσθήρ, νηστεύσασα, καὶ εὐξαμένη τῷ Θεῷ ἐκόσμησεν ἑαυτὴν τῷ βασιλικῷ κόσμῳ, καὶ μὴ κληθεῖσα (οὐκ ἦν γὰρ ἐξὸν εἰσελθεῖν ἀκλητί), ὅμως εἰσῆλθε παρὰ τὸν καιρὸν πρὸς τὸν βασιλέα, ἀντὶ τοῦ καιροῦ θαρροῦσα τῇ εὐχῇ· εἶτα τοῦ βασιλέως θαυμάζοντος τὸ ξένον ἔπεσεν ἐκείνη ἀπὸ τοῦ φόβου. Ὁ δὲ Θεὸς μετέβαλε τὸν θυμὸν τοῦ βασιλέως εἰς διάθεσιν καὶ πρᾳότητα, καὶ ἀναστὰς ἐβάστασε τὴν γυναῖκα, καὶ παρεκάλει αὐτὴν μὴ φοβεῖσθαι· ἀλλὰ καὶ ἠξίωσεν αὐτὴν αἰτήσασθαι, εἴ τι βούλοιτο. Ἡ δὲ ἐπὶ δεῖπνον ἠξίωσεν ἐλθεῖν αὐτόν τε τὸν βασιλέα καὶ τὸν Ἀμάν, οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον. Ὁ μὲν οὖν Ἀμάν, διαχυθείς, καὶ γανωθείς, ὡς ἀξιωθεὶς ὑπὸ τῆς βασιλίσσης κληθῆναι ἔτι μᾶλλον ἐπήρετο κατὰ τοῦ Μαρδοχαίου, καὶ ποιήσας κοπῆναι ξύλον μέγα, ἐβούλετο τὸν Μαρδοχαῖον εἰς αὐτὸ τῇ ἑξῆς ἡμέρᾳ κρεμάσαι· ὁ δὲ βασιλεύς, κατά τινα πρόνοιαν ἀγαθὴν ἀγρυπνήσας ἐκείνην τὴν νύκτα καὶ μὴ δυνάμενος ὑπνῶσαι, ἐκέλευσεν ἀναγινώσκεσθαι αὐτῷ τῶν πράξεων αὐτοῦ τὰ ὑπομνήματα. Καὶ ἀναγινωσκομένων αὐτῶν, εὗρε πρᾶξιν ἀγαθὴν εἰς αὐτὸν γενομένην ὑπὸ τοῦ Μαρδοχαίου. Δύο γὰρ εὐνούχους, μέλλοντας ἐπιβουλεύειν τῷ βασιλεῖ, προσήγγειλεν αὐτῷ τῷ βασιλεῖ, καὶ ἤλεγξεν. Ὁ τοίνυν βασιλεύς, ἀποδεξάμενος τὴν προαίρεσιν τοῦ Μαρδοχαίου, ἐζήτει τιμὴν ἀξίαν παρασχεῖν τῷ τοιούτῳ. Ὡς δὲ εἰσῆλθε πρωΐας πρὸς αὐτὸν ὁ Ἀμὰν ἐπυνθάνετο ὁ βασιλεὺς αὐτοῦ, ὁποίας καὶ πηλίκης τιμῆς ἄξιός ἐστιν, ὁ βασιλέα εὐεργετήσας. Ὁ δὲ Ἀμάν, νομίζων περὶ αὐτοῦ πυνθάνεσθαι τὸν βασιλέα, εἶπεν, ἄξιον εἶναι τὸν τοιοῦτον δεύτερον βασιλέα καλεῖσθαι. Ὁ μὲν οὖν βασιλεὺς κελεύει τὸν Μαρδοχαῖον τῆς τοιαύτης τιμῆς ἀξιωθῆναι, καὶ τὸν Ἀμὰν ἔμπροσθεν αὐτοῦ περιπατεῖν. Ἡ δὲ Ἐσθήρ, πρόφασιν εὑροῦσα, ἠξίωσε περὶ τῶν Ἰουδαίων. Εἶτα τοῦ βασιλέως λυπηθέντος ἐπὶ τῷ παρανόμῳ προστάγματι τῷ κατὰ τῶν Ἰουδαίων, καὶ ὀργισθέντος κατὰ τοῦ Ἀμάν, αὐτὸς ὁ Ἀμὰν παρεκάλει τὴν Ἐσθήρ, ἀπόντος τοῦ βασιλέως, ἐπικύπτων καὶ προσκυνῶν τὰ γόνατα αὐτῆς. Ὁ δὲ βασιλεύς, εἰσελθών,

καὶ ἑωρακὼς τὸν Ἀμὰν ἁπτόμενον τῶν γονάτων τῆς βασιλίσσης, ὑπονοήσας αἰσχρῶς αὐτὸν τοῦτο ποιεῖν, ἐκέλευσε τὸν μὲν Ἀμὰν εἰς τὸ ξύλον, ὅπερ ἦν ἑτοιμάσας τῷ Μαρδοχαίῳ, κρεμασθῆναι· γράφει δὲ ἄνεσιν μὲν ἔχειν πάντας τοὺς Ἰουδαίους, τοὺς δὲ ἐχθροὺς αὐτῶν ἀναιρεθῆναι παρ' αὐτῶν. Καὶ οἱ μὲν ἀναιρεθέντες παρὰ τῶν Ἰουδαίων εἰσὶ μύριοι πεντακισχίλιοι· γέγονε δὲ ἑορτὴ διὰ τοῦτο αὐτοῖς, τῇ ιδ' καὶ ιε' ἐν τῷ μηνὶ τῷ ιβ', ὅστις καλεῖται Ἄδερ. Ὀνομάζεται δὲ ἡ ἡμέρα αὕτη τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Φρουρέ. Διὰ τοῦτο κατὰ τὴν ἡμέραν ταύτην καίουσιν οἱ Ἰουδαῖοι τὸν Ἀμάν, καὶ ἑορτάζουσι, μνημόσυνον οὖσαν σωτηρίας αὐτῶν.

Βιβλίον Ἰουδίθ.

43. Λέγεται τὸ βιβλίον οὕτως, ἐπειδὴ καὶ τὴν περὶ τῆς Ἰουδὶθ ἱστορίαν περιέχει· πῶς ὁ Θεὸς πολεμουμένους καὶ πολιορκουμένους ὑπὸ τοῦ Ὁλοφέρνου τοὺς υἱοὺς Ἰσραὴλ δι' ἐκείνης ἔσωσε μὲν τοὺς λαούς, τὸν δὲ Ὁλοφέρνην ἐπάταξεν. Ἡ δὲ ἱστορία αὕτη. Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Ἀσσυρίων, πόλεμον ἔχων πρὸς Ἀρφαξὰδ βασιλέα Μήδων, ᾔτησε συμμαχίαν παρὰ τῶν ἐθνῶν πάντων ἕως Αἰγύπτου. Μὴ δεδωκότων δὲ αὐτῷ, ἀλλὰ ἀντειρηκότων πάντων, μετὰ τὸ νικῆσαι καὶ περιγενέσθαι τοῦ Ἀρφαξάδ, ἔθετο κατὰ τῶν μὴ δεδωκότων πόλεμον, καὶ ἀπέστειλε τὸν Ὁλοφέρνην μετὰ δυνάμεως πολλῆς κατ' αὐτῶν. Τὰ μὲν οὖν ἄλλα πάντα ἔθνη ἔλαβε, καὶ τὰ εἴδωλα αὐτῶν συνέτριψεν· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἠσφαλίσαντο ἑαυτούς, καὶ οὐχ ὑπήκουσαν τῷ Ὁλοφέρνῃ οὔτε ἐφοβήθησαν αὐτοῦ τὴν ἀπειλήν. Ὁ τοίνυν ἱερεὺς Ἰωακεὶμ ἔγραψε τοῖς ἐν Βετυλούᾳ φράξαι τὴν ὁδὸν Ὁλοφέρνου, ἐπειδὴ ἐκεῖθεν ἦν αὐτοῦ ἡ ὁδός. Καὶ ἔφραξεν. Καὶ ὁ μὲν Ὁλοφέρνης παρετάσσετο εἰς πόλεμον· Ἀχιὼρ δὲ ὁ ἡγούμενος τῶν υἱῶν Ἀμμὼν συνεβούλευσε τῷ Ὁλοφέρνῃ μὴ πολεμεῖν τῷ ἔθνει τῶν Ἑβραίων, διὰ τὸ ὑπερασπίζειν αὐτῶν τὸν Θεόν. Καὶ ὀργισθεὶς ὁ Ὁλοφέρνης ἀπέστειλεν αὐτὸν εἰς Βετυλούαν, ἀπειλήσας ἀναιρήσειν αὐτόν, εἰ περιγένοιτο τῶν Ἑβραίων. Ὁ μὲν οὖν Ἀχιὼρ ἦν ἐν τῇ Βετυλούᾳ ἀναπαυόμενος· ὁ δὲ Ὁλοφέρνης ἐπολιόρκει τὴν πόλιν, προκαταλαβὼν τὰ ὕδατα. Ἤδη δὲ τοῦ λαοῦ ἐκλυθέντος διὰ τὸ δίψος, καὶ μελλόντων ἐκδοῦναι τὴν πόλιν τῶν ἀρχόντων, ἡ Ἰουδίθ, ἀποβαλοῦσα τὰ τῆς χηρεύσεως ἱμάτια (ἐπένθει γὰρ τὸν ἄνδρα, καὶ δι' ὅλου ἔμενεν νηστεύουσα), ἐκόσμησεν ἑαυτὴν ὡς νύμφην· καὶ πολλὰ παρακαλέσασα τοὺς ἄρχοντας, ὥστε μὴ ἐκδοῦναι τὴν πόλιν ἄχρις ἡμερῶν ε', ἐξῆλθεν αὐτὴ πρὸς τὸν Ὁλοφέρνην, καὶ τῇ σοφίᾳ αὐτῆς ἀπατήσασα αὐτόν, τῇ τρίτῃ ἡμέρᾳ ἀπεκεφάλισεν αὐτόν, ἀγνοούντων τῶν στρατιωτῶν αὐτοῦ. Καὶ οὕτω λοιπὸν οἱ μὲν Ἀσσύριοι ἔφυγον, οἱ δὲ υἱοὶ Ἰσραὴλ πανταχόθεν συνδραμόντες, κατέκοψαν τοὺς Ἀσσυρίους. Οὕτω δὲ σωθέντες, καὶ σκυλεύσαντες τοὺς πολεμίους, δεδώκασι τῇ Ἰουδὶθ πάντα τὰ τοῦ Ὁλοφέρνου. Αὐτὴ δὲ ἡ Ἰουδίθ, ἀπελθοῦσα εἰς τὴν Ἱερουσαλήμ, ἀνέθηκε πάντα τῷ

Κυρίῳ, καὶ ὑποστρέψασα εἰς τὸν οἶκον ἑαυτῆς, τὴν αὐτὴν εἶχεν ἄσκησιν, καὶ διέμεινεν ἕως θανάτου χήρα, μηδενὸς αὐτὴν ἰσχύσαντος πεῖσαι εἰς γάμον, καὶ ἀπέθανε, ζήσασα καλῶς ἐν τῇ χηρείᾳ, ἐτῶν ρε'.

Βιβλίον Τωβίτ.

44. 'Ονομάζεται οὕτως τὸ βιβλίον, ἐπειδὴ καὶ τὴν περὶ αὐτοῦ τοῦ Τωβὶτ ἱστορίαν περιέχει. Ἦν δὲ οὗτος ἀπὸ μὲν φυλῆς Νεφθαλείμ· γέγονε δὲ ἐν τῇ αἰχμαλωσίᾳ, καὶ ἦν ἐν τῇ Νινευΐ, ἐλεήμων καὶ θεοσεβής. Καὶ γὰρ ἐν τῇ αἰχμαλωσίᾳ γενόμενος, οὐκ ἤσθιε κοινὸν ἄρτον ἀπὸ τῶν ἐθνῶν, ἀλλὰ ἑαυτὸν συνετήρει. Ἦν δὲ καὶ προαγοραστὴς τοῦ βασιλέως 'Ενεμεσάρου, καὶ παρέθετο ἐν τῇ Μηδίᾳ Γαμαήλῳ τάλαντα δέκα. Οὗτος ὁ Τωβὶτ σπουδὴν εἶχε θάπτειν τοὺς ἀποθνήσκοντας τῶν 'Ιουδαίων. Διαβληθεὶς δὲ τῷ βασιλεῖ 'Αχιρὴλ, ἔφυγε, καὶ ἐπανελθὼν καὶ θάψας τινὰ τῶν ἀποθανόντων, ἐκοιμήθη ἔξω τοῦ τείχους, καί, ὡς εἰώθεν, ἐν τῷ κοιμᾶσθαι ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ, λευκώματα ἔσχε, καὶ οὐκ ἔτι ἔβλεπεν. Ἦν δὲ καὶ ἐν 'Εκβατάνοις θυγάτηρ τοῦ 'Ραγουὴλ συγγενοῦς αὐτοῦ, Σάρρα ὀνόματι. Ταύτην γαμηθῆναι οὐκ ἐπέτρεπεν ὁ δαίμων ὁ 'Ασμοδαῖος. 'Επτὰ γοῦν ἑξῆς λαβόντας αὐτὴν ἀπέκτεινε· καὶ πάνυ λυπηθεῖσα ἡ παῖς, ηὔξατο, καὶ ἀπέστειλεν αὐτῇ βοηθὸν ὁ Θεός, τὸν ἀρχάγγελον 'Ραφαήλ. 'Ο τοίνυν Τωβίτ, παραγγείλας τῷ υἱῷ Τωβίᾳ, μὴ λαβεῖν ἀλλαχόθεν γυναῖκα εἰ μὴ ἐκ τῆς φυλῆς αὐτοῦ καὶ τοῦ γένους, δίδωσιν αὐτῷ τὸ χειρόγραφον τῶν δέκα ταλάντων, καὶ ἐντέλλεται αὐτῷ ἀπελθεῖν καὶ ἀπαιτῆσαι. 'Αγνοῶν δὲ ὁ παῖς τὴν ὁδὸν καὶ τὸν ἄνθρωπον, ἐξέρχεται ζητῆσαι συνοδοιπόρον, καὶ Θεοῦ προνοίᾳ εὑρίσκει τὸν 'Ραφαήλ, ὡς ἄνθρωπον ἑστῶτα ἔξω, καὶ μισθοῦται αὐτὸν λέγοντα εἰδέναι τὴν ὁδόν. Καὶ συνοδεύει αὐτῷ ὁ ἄγγελος, ὡς ἄνθρωπος, λεγόμενος 'Αζαρίας. 'Ελθόντων δὲ αὐτῶν εἰς τὸν Τίγριν ποταμόν, ἠθέλησεν ὁ παῖς εἰς αὐτὸν καταβῆναι καὶ λούσασθαι, καὶ εὐθὺς ἰχθὺς ἐπεπήδησε τῷ παιδαρίῳ μέγας. 'Ο δὲ ἄγγελος εἶπεν αὐτῷ ἐπιλαβέσθαι τοῦ ἰχθύος, καὶ τεμεῖν αὐτόν, καὶ λαβεῖν τὸ ἧπαρ, καὶ τὴν καρδίαν, καὶ τὴν χολήν, καὶ ταῦτα τηρεῖν. Εἶτα πυνθανομένου τοῦ παιδός, Εἰς τί χρήσιμα ταῦτα; ἐκεῖνος ἔφη· Τὸ ἧπαρ καὶ ἡ καρδία, θυμιώμενα, διώξει τὸν δαίμονα· ἡ δὲ χολὴ καθαρίσει τὰ λευκώματα. 'Ο μὲν οὖν παῖς [τούτου] συμβουλίᾳ καὶ συνεργείᾳ λαμβάνει τὴν τοῦ 'Ραγουὴλ θυγατέρα τὴν Σάρραν γυναῖκα, διωχθέντος τοῦ δαιμονίου ἐν τῷ θυμιάματι τούτῳ, καὶ δεθέντος εἰς τὰ ἀνώτερα μέρη Αἰγύπτου ὑπὸ τοῦ ἀγγέλου. Μείνας δὲ μετὰ τῆς γυναικὸς ὁ Τωβίας, ἀποστέλλει τὸν 'Αζαρίαν, ὡς ἄνθρωπον ὄντα, εἰς τὴν Μηδίαν, καὶ ἀπαιτήσας ἐκεῖνος τὰ δέκα τάλαντα, ὑποστρέφει μετὰ τῆς γυναικὸς καὶ αὐτοῦ πρὸς τὸν πατέρα. 'Υποστρέψας δὲ ὁ παῖς, ἐγχρίει τῇ χολῇ τοῦ ἰχθύος τοὺς ὀφθαλμοὺς τοῦ πατρός, καὶ ἀποπίπτουσιν αἱ λεπίδες, καὶ εὐθὺς ἔβλεψεν. Ὅτε μὲν οὖν ἐτυφλώθη ὁ Τωβίτ, ἦν ἐτῶν νη'· ὅτε δὲ ἀνέβλεψεν ἦν

ἐτῶν ξς'. Καὶ λοιπὸν βλέψαντος αὐτοῦ, ἐφανέρωσεν ἑαυτὸν ὁ ἄγγελος, ὅτι οὐκ ἄνθρωπος ἦν, ἀλλὰ παρὰ τὰ τοῦ Θεοῦ ἀπεστάλη εἰς βοήθειαν αὐτῶν τε καὶ τῆς Σάρρας. Γηράσας δὲ ὁ Τωβίτ, παρήγγειλε τῷ υἱῷ αὐτοῦ Τωβίᾳ ἀπελθεῖν εἰς τὴν Μηδίαν, διὰ τὴν ἐσομένην καταστροφὴν τῆς Νινευῒ κατὰ τὸ ῥῆμα Ἰωνᾶ τοῦ προφήτου. Καὶ ἐκλιπών, ἀπέθανεν ἐτῶν ρνη'. Ὁ δὲ υἱὸς αὐτοῦ Τωβίας ἀπελθὼν εἰς τὴν Μηδίαν, καὶ θάψας τοὺς πενθεροὺς ἑαυτοῦ, καὶ ἀκούσας περὶ τῆς καταστροφῆς τῆς Νινευΐ, ἀπέθανεν ἐτῶν ρζ'.

Βιβλίον Σοφίας Σολομῶντος.

45. Σοφία Σολομῶντος καλεῖται τὸ βιβλίον. Καὶ γὰρ καὶ τοῦτο, φασί, Σολομών ἐστιν ὁ γράψας. Ἔστι δὲ ἐν αὐτῷ διδασκαλία δικαιοσύνης, καὶ τὸ γνωρίζειν τούς τε φαύλους ἄνδρας καὶ τοὺς σπουδαίους, καὶ προφητεία περὶ Χριστοῦ· καὶ ὅτι πολλῷ πόνῳ καὶ πόθῳ κατορθοῦται σοφία· ἔτι δὲ καὶ φυσιολογία μερική· καὶ κατὰ εἰδώλων, καὶ τῶν αὐτὰ γλυφόντων, καὶ ἐν αὐτοῖς ἐλπιζόντων, καὶ λατρευόντων, καὶ ὕμνος σὺν ἐξομολογήσει τῶν γεγενημένων τοῖς Ἰσραηλίταις θαυμασίων ἐνώπιον τῶν ἐχθρῶν αὐτῶν παρὰ τοῦ Θεοῦ. Ἡ μὲν οὖν περιοχὴ τοῦ βιβλίου τοιοῦτον ἔχει τὸν τρόπον· ἡ δὲ ἀνακεφαλαίωσίς ἐστιν ἐν τούτοις. Ἐν προοιμίοις μὲν προτροπὴ δικαίου εἰς θεοσέβειαν, καὶ ἔλεγχος ἀσεβοῦς βλασφήμου. «Μὴ ζήλου» γάρ, φησί, «τοὺς ἀντιχρίστους, οἵτινές εἰσι θάνατος·» πόθεν οἱ ἀσεβεῖς περὶ τῷ σταυρῶσαι τὸν Κύριον τῆς δόξης ἦλθον, τὸν αἰῶνα τοῦτον προκρίναντες· ὅτι καὶ τοὺς ἀποστόλους ἐδίωξαν καὶ ἀπέκτειναν· ὅτι τινὲς ἔσονται οἱ ἐξουθενοῦντες τὸν νόμον τοῦ Κυρίου, καί τινες οἱ ὑποταγέντες αὐτῷ· ὅτι οὐδὲ πλήθους ἀσεβούντων εἰς Χριστὸν φείσεται ὁ Θεός. Ἑνὸς γὰρ δικαίου πιστεύοντος Χριστῷ, μέλει τῷ Θεῷ, κἂν νέος ἀποθάνῃ. «Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον.[1]» Εἰ καὶ ἀσεβὴς τὴν τελευτὴν τοῦ πιστεύοντος Χριστῷ ἐξουθένωσεν, ἀλλ' ἐκλέγονται ἀπὸ Χριστοῦ. Οἱ ἀσεβεῖς ἀτίμῳ πτώματι παραδοθήσονται, καὶ μεγάλῃ κρίσει καταβληθήσονται οἱ διῶκται τῶν τοῦ Χριστοῦ δούλων ἐν τῇ κρίσει, ἰδόντες τὴν δόξαν αὐτοῦ καὶ αὐτῶν, καὶ ἑαυτοὺς εἰς κόλασιν. Ὅτι πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν. Τίς ὀργὴ τῶν ἀσεβούντων εἰς Χριστόν. Προτροπὴ τοῖς ἄρχουσι τοῦ Ἰσραήλ, ὥστε πιστεύειν Χριστῷ, μᾶλλον δὲ παράθεσις τοῖς ἄρχουσι τῆς Καθολικῆς Ἐκκλησίας, πῶς ἄρχειν δεῖ ἀποστραφέντος ἐκείνου. Τίς ἡ σοφία, ὁ Υἱὸς τοῦ Θεοῦ; Καὶ πῶς ὁ Λόγος σὰρξ γέγονε, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ὅτι κἀγὼ ὁμοιοπαθὴς ὑμῖν, ὢν ἄνθρωπος, ἐκ κελεύσεως Θεοῦ πεπαίδευμαι. Περὶ Χριστοῦ, τῇ σοφίᾳ τοῦ Θεοῦ. Ὅτι πάντων τὴν γνῶσιν ἐξ αὐτῆς ἔσχον. Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν. Τίς ἡ σοφία, καὶ πῶς εἰς ἀνθρώπους ἦλθε· μία γὰρ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν

1. Σοφ. Σολ. 4, 8.

αὐτῇ, τὰ πάντα καινίζει. «Τὴν σοφίαν», φησίν, «ἐκ νεότητος φιλήσας[1], πάντα τὰ ἀγαθὰ ἐξ αὐτῆς ἔσχον[2]», σαρκικὰ καὶ πνευματικά. Ὅτι, τὸ μέγεθος τῆς σοφίας ἐγνωκώς, ἐνέτυχον τῷ Κυρίῳ, ὥστε μοι δοθῆναι τὸ ἅγιον Πνεῦμα, τὸ φωτίζον με περὶ αὐτῆς, καὶ ἐπέμφθη, ἵνα συγκοπιάσῃ μοι. Λογισμοὶ γὰρ θνητῶν δειλοί. Περὶ τῶν ἔργων τῆς σοφίας. Πῶς τὸν πρωτόπλαστον διεφύλαξεν, ἐξ ὅσων κακῶν σῴζει τοὺς πιστεύοντας αὐτῷ ὁ Θεός, καὶ ὅσα ἀγαθὰ παρέχει· οἷον τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Λώθ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, τοὺς Ἰσραηλίτας, οὓς ἐκ χειρὸς τῶν Αἰγυπτίων ἐρρύσατο διὰ Μωϋσέως, καὶ ἐκ πέτρας ἀκροτόμου ἐδόθη αὐτοῖς ὕδωρ. Ὡς τοῖς ζ' ἔθνεσιν ἀπέστειλε σφῆκας. Μακροθυμίᾳ δὲ χρώμενος, καὶ τούτοις ἐδίδου τόπον μετανοίας, παιδεύων διὰ τούτων τὸν λαὸν εἶναι φιλάνθρωπον. Κατὰ στοιχειολατρῶν, βατράχων, σκνιφῶν, μυῶν, ἀκρίδων, σφηκῶν, ὄφεων. Κατὰ εἰδωλολατρῶν, ἐκ χρυσῶν, καὶ ἀργύρων, ἢ λίθων, ἢ ξυλίνων εἰδώλων κατεσκευασμένων. Ὅτι ἔστι καὶ σωτηρία διὰ ξύλου τοῖς πιστεύουσι. Τὰ περὶ τῶν εἰδωλοποιῶν ἢ ζωγραφούντων εἴδωλα. Περὶ πάντων τῶν κακῶν τῶν ἐν εἰδωλολατρείᾳ. Περὶ ἀσεβοῦς θρησκείας, καὶ ὅσα ἐν αὐτῇ κακά. Περὶ τοῦ κεραμέως, καὶ τῶν κεραμικῶν εἰδώλων τῆς τῶν ἐθνῶν λατρείας. Περὶ τῶν ἐχθίστων ζῴων, ὄφεων, αἰλούρων, καὶ τῶν ὁμοίων. Ὅτι εὐηργέτησεν ὁ Θεὸς τὸν Ἰσραὴλ ἀντὶ βατράχων ὀρτυγομήτραν. Ὅτι καὶ ἐπὶ δήγματος ὄφεων σωτηρία τοῦ λαοῦ δι' ὄφεως χαλκοῦ ἐσταυρωμένου· τοὺς δὲ ἐχθροὺς αὐτῶν δι' ἀκρίδων καὶ μυῶν ἀπέκτεινεν. Ὅτι ἀγγέλων τροφὴν ἐψώμισε τὸν λαὸν πρὸς πᾶσαν ἡδονὴν ἰσχύουσαν, καὶ πρὸς πᾶσαν ἁρμονίας γεῦσιν. Ὅτι χάλαζαν Αἰγυπτίοις μετὰ πυρὸς ἔπεμψε πρὸς διαφθορὰν γεννημάτων. Ὅτι τοῖς Αἰγυπτίοις ἔπεμψε ψηλαφητὸν σκότος, καὶ τὰ ἐν αὐτῷ κακά· τοῖς δὲ ὁσίοις αὐτοῦ φῶς ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ στῦλον πυρός. Καὶ ἀντὶ μὲν θανάτου νηπίων Ἰσραὴλ τῶν Αἰγυπτίων πρωτοτόκων θάνατος καὶ καταποντισμός· ἀντὶ δὲ θανάτου πρωτοτόκων, σωτηρία Ἰσραὴλ δι' αἵματος προβάτου. Καὶ ἐπὶ μὲν θανάτῳ δικαίων ἐν ἐρήμῳ Ἀαρὼν ἐξιλάσατο, Κυρίῳ προσευξάμενος, καὶ θυμιάσας· ἐπὶ δὲ θανάτῳ Αἰγυπτίων ἐν Ἐρυθρᾷ θαλάσσῃ ἀνελεήμων θυμός· τοῦ δὲ λαοῦ παράδοξος ὁδοιπορία. Ὅτι διὰ μισοξενίαν ἔπαθον ταῦτα οἱ Αἰγύπτιοι, ὡς καὶ οἱ Σοδομῖται. Ὅτι τὰ στοιχεῖα ὑπόκειται τῇ θείᾳ κρίσει Χριστοῦ, πρὸς ὃ βούλεται ῥυθμιζόμενα, ὡς χορδαὶ κιθάρας τῷ κιθαρίζοντι· ἐν οἷς καὶ ἡ πᾶσα δύναμις τῆς Σοφίας Σολομῶντος τῆς λεγομένης Παναρέτου.

Βιβλίον Σοφίας Ἰησοῦ υἱοῦ Σηράχ.

46. Ἰησοῦς οὗτος Σηρὰχ μὲν ἦν υἱός, ἔγγονος δὲ Ἰησοῦ ὁμωνύμως αὐτῷ. Οὗτος οὖν ἐν χρόνοις γέγονε κάτω μετὰ τὴν αἰχμαλωσίαν,

1. Πρβλ. Σοφ. Σολ. 8, 2. 2. Πρβλ. Σοφ. Σολ. 7, 11.

καὶ ἀνάκλησιν, καὶ μετὰ τοὺς προφήτας ἅπαντας. Ὁ οὖν πάππος αὐτοῦ Ἰησοῦς, καθὰ αὐτὸς μαρτυρεῖ, φιλόπονός τε γέγονεν ὁ ἀνὴρ καὶ φρονιμώτατος, ὃς οὐ μόνον τὰ ἑτέρων τῶν πρὸ αὐτοῦ συνετῶν ἀποφθέγματα συνήγαγεν, ἀλλὰ καὶ αὐτὸς ἴδιά τινα ἀπεφθέγξατο, πολλῆς σοφίας καὶ συνέσεως γέμοντα. Ἐπεὶ οὖν τὴν βίβλον ταύτην ὁ α' Ἰησοῦς καταλιπὼν ἐξ ἀνθρώπων ᾤχετο, Σηρὰχ ὁ υἱὸς μετ' αὐτὸν λαβών, πάλιν τῷ οἰκείῳ παιδὶ κατέλιπεν Ἰησοῦ. Ὃς δὴ ταύτης λαβόμενος, εἰς ἓν ἅπασαν ἐναρμόνιον σύνταγμα ποιησάμενος, Σοφίαν ἐπί τε τῷ αὐτοῦ, καὶ τῷ τοῦ Πατρός, καὶ τῷ τοῦ πάππου ὀνόματι ἐπικέκληκεν, ἐξ αὐτοῦ τοῦ τῆς σοφίας ὀνόματος ἀγαπητῶς μᾶλλον ἔχειν τὸν ἀκροατὴν πρὸς τὴν αὐτὴν τῆς βίβλου μελέτην ἐπισπώμενος. Λόγους οὖν φρονήσεως, αἰνίγματά τε καὶ παραβολὰς περιέχει, καὶ μερικάς τινας παλαιὰς θεοφιλεῖς ἱστορίας, περί τε ἀνδρῶν εὐαρεστησάντων τῷ Θεῷ, καὶ εὐχὴν καὶ ὕμνον αὐτῶν. Ἔτι δὲ ὧν ὁ Θεὸς εὐεργεσιῶν ἠξίωσε τὸν λαὸν αὐτοῦ, καὶ ὧν ἔπλησε κακῶν τοὺς ἐχθροὺς αὐτῶν. Ὀπαδὸς τοίνυν τοῦ Σολομῶντος οὗτος ὁ Ἰησοῦς γεγονώς, οὐδὲν ἧττον ἐκείνου περὶ τὴν σοφίαν καὶ παιδείαν ἠρίστευσε, πολυμαθὴς ἀληθῶς καὶ ὢν καὶ καλούμενος. Ἀλλὰ περιοχὴν μέν, ὡς ἄν τις εἴποι, ταύτην ἔχει τὸ βιβλίον. Τὴν δὲ ἀνακεφαλαίωσιν ἱστέον οὕτως. Ἐν προοιμίοις μὲν περὶ πάσης σοφίας Κυρίου διηγεῖται· ἔπειτα περὶ θυμοῦ, καὶ φόβου, καὶ ἀφοβίας· περὶ ἐπιστήμης σοφίας· περὶ θεοφοβίας, περὶ τοῦ δεῖν χωρὶς ὑποκρίσεως προσιέναι Θεῷ· περὶ πειρασμῶν καὶ ὑπομονῆς· περὶ δειλίας καὶ ἐκλύσεως· περὶ ἀγάπης Κυρίου· περὶ τιμῆς τῆς εἰς τοὺς γονεῖς· περὶ πρᾳότητος καὶ ἐπιεικείας ταπεινοῦ· περὶ προπετοῦς καὶ ἀνυποτάκτου ζητήσεως τῶν μὴ προστεταγμένων· περὶ σκληροκαρδίου καὶ ὑπερηφάνου, περὶ συνετοῦ καὶ εὐμαθοῦς, καὶ ἐλεήμονος καὶ ὀρφανῶν προστάτου· πρὸς φίλον ὑποτακτικὸν καὶ ἐπιεικῆ· περὶ ἀνυψώσεως υἱῶν τῆς σοφίας· περὶ ἀνυποταξίας πονηρῶν· καὶ περὶ αἰσχύνης βλαβερᾶς καὶ ἐπωφελοῦς· μὴ πρὸ τῶν ἔργων τοὺς λόγους, μηδὲ ἐθελοδιδάσκαλος γίνου. Περὶ τοῦ μὴ δεῖν δεδέσθαι πόθῳ χρημάτων, μηδὲ οἴεσθαι ἀτιμωρητὶ ἁμαρτάνειν, κἂν παραυτίκα μὴ δῶμεν τὴν τιμωρίαν· μακρόθυμος γάρ ἐστιν ὁ Θεός· δεῖν τε ἐξιλάσκεσθαι αὐτόν, καὶ μὴ πορευθῆναι ἐν ἐπιθυμίᾳ καρδίας. Περὶ τοῦ μὴ περιφέρεσθαι παντὶ ἀνέμῳ, καὶ περὶ φλυαρίας καὶ ὑπερηφανίας· περὶ φιληδόνου· δοκιμασία πιστοῦ καὶ ἀπίστου· περὶ παιδείας Κυρίου, ὅτι ἀπὸ νεότητος ἕως γήρως ἐπιθυμεῖν αὐτὴν δεῖ· περὶ ἀκροάσεως ἀνωφελοῦς· περὶ τοῦ μὴ προδιδόναι φίλον, μηδὲ ἀστοχεῖν γυναικὸς σοφῆς· περὶ οἰκετῶν, περὶ κτημάτων· περὶ τέκνων· περὶ γυναικῶν· περὶ τοῦ μὴ κακοποιεῖν, ἢ φιλαρχεῖν, ἢ καταφρονεῖν ἁμαρτάνειν. Περὶ τοῦ μὴ ψεύδεσθαι ἀδελφῷ, μηδὲ φλυαρεῖν ἐπὶ πρεσβυτέρων, μηδὲ δευτερῶσαι λόγον· περὶ δόξης πατρός, ἢ μητρός, καὶ περὶ τῆς κατὰ Θεὸν εὐλαβείας, καὶ τῆς εἰς ἱερεῖς τιμῆς, καὶ τῆς εἰς κακουμένους ἐπισκέψεως. Ὅτι ἑκάστου πράγματος τὸ τέλος δεῖ προορᾶν, καὶ οὐ-

τως ἄρχεσθαι· ἑκάστου λόγου, ἢ πράξεως σκοπεῖν τὰ ἔσχατα. Καὶ περὶ τοῦ μὴ παρορᾶν διήγημα γερόντων σοφῶν. Ἐξ ὅσων γίνεται πορνεία· περὶ τοῦ μὴ ἐγκαταλιμπάνειν φίλον ἀρχαῖον· ὁ γὰρ νέος οἶνος φίλῳ νέῳ συγκρίνεται· περὶ τεχνίτου σοφοῦ, καὶ κριτοῦ διδασκάλου, καὶ βασιλέως ἀπαιδεύτου. Ὅτι μακρὸν ἀρρώστημα σκοπεῖ ἰατρός· περὶ σπέρματος ἐντίμου καὶ ἀπίστου· περὶ οἰκέτου σοφοῦ, καὶ ἄρχοντος πλουσίου. Ὅτι μικρὸν ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. Περὶ τοῦ μὴ ἀκρίτως, μηδὲ ἀνεξετάστως μέμφεσθαι, μηδὲ εἶναι πολυπράγμονα, ἀλλὰ δίκαιον, ὅτι Θεὸς ὁ πλουτίζων. Ὅτι μηδὲν τῶν ἀνθρωπίνων ἀγαθῶν ἀμετάκλητον ἡγεῖσθαι. Περὶ τοῦ μὴ πλησιάζειν παντὶ ἀνθρώπῳ, ἀλλὰ εὐσεβέσι καὶ δικαίοις· καὶ περὶ τοῦ φυλάττεσθαι τοὺς πονηρούς. Περὶ τοῦ μὴ κοινωνεῖν ὑπερηφάνοις διὰ τὸν ἐξ αὐτοῦ μολυσμόν, καὶ τὴν συντριβήν, καὶ περὶ τῆς τοῦ πλησίον θεραπείας παρὰ πολλῶν· καὶ ὅτι πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον. Ὥσπερ γὰρ οὐ κοινωνεῖ λύκος ἀμνῷ, οὔτε εἰρηνεύει ὕαινα πρὸς κύνα· οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ. Περὶ μικρολόγων τῶν μὴ μεταδιδόντων ἑτέροις, καὶ ὅτι ἐν πλούτῳ καὶ πτωχείᾳ δίκαιον εἶναι καὶ ὅσιον, μὴ τοὐναντίον. Μακάριον ἡγεῖσθαι τὸν σοφίᾳ καὶ συνέσει συζῶντα μέχρι τελευτῆς, οὐ τὸν πλούσιον ἐν κόσμῳ. Περὶ αὐτεξουσίου, ὅτι περὶ ἀποστασίας μὴ αἰτιῶ τὸν Κύριον· πάντα γάρ σοι παρέθετο. Ὅτι κρεῖσσον ἄπαιδα εἶναι ἢ πονηρὰ τέκνα ἔχειν. Ὅτι οὐδὲν λανθάνει Θεόν. Περὶ φωράσεως Θεοῦ καὶ κρίσεως, καὶ μὴ νόμιζε τὸν Θεὸν κρύπτεσθαι ἀνόμους ἢ ἐκφεύγειν αὐτοῦ τὴν κρίσιν. Περὶ τῶν κτισμάτων. Περὶ τῆς τοῦ ἀνθρώπου πλάσεως, ἧς ἐτιμήθη. Περὶ τῆς τοῦ νόμου δόσεως· περὶ ἐλεημοσύνης καὶ μετανοίας· περὶ ἐπιεικοῦς ἀποκρίσεως· περὶ τοῦ μιμεῖσθαι τὸ ἀγαθὸν ἔργον, μηδὲ δόμα ἐν λυπηρῷ λόγῳ· ὥστε τὸν ἐπιθυμοῦντα ἀρχῆς προπετεύεσθαι, καὶ ἐν πᾶσι προετοιμάζεσθαι. Περὶ τοῦ μὴ ἀσωτεύεσθαι, καὶ ὧν δεῖ ἀπέχεσθαι. Περὶ φυλακῆς μυστηρίων, καὶ περὶ ἄφρονος, περὶ σοφίας τῆς διὰ παραβολῶν, καὶ περὶ βίου, καὶ ἀρχῆς, καὶ σοφῶν, καὶ μωρῶν. Περὶ θυγατρὸς θρασείας· καὶ περὶ ἀπροσεξίας μωροῦ, καὶ περὶ διανοίας στερρᾶς, καὶ ἐν τίσι διαλύεται φιλία καὶ περὶ τοῦ μὴ ἀπροφυλάκτως φθέγγεσθαι τοῖς ἁμαρτήσασι· Περὶ παιδείας, καὶ τοῦ μὴ αἰτεῖσθαι ὅρκον· περὶ φυλακῆς ψυχῆς καὶ σώματος, καὶ περὶ ἀνθρώπου πόρνου. Περὶ πονηρᾶς γυναικός, καὶ μοιχαλίδος. Προφητεία περὶ Ἰησοῦ Χριστοῦ, ὅς ἐστι σοφία καὶ Υἱός, παρεικασθεὶς ποταμοῖς. Περὶ προσθήκης παιδείας· περὶ τῶν δέκα μακαρισμῶν· περὶ πληγῆς ἐπαγωγῆς καὶ ἐκδικήσεως· περὶ πλημμελείας ἐμπόρου· περὶ τῶν ἀποκαλυπτόντων μυστηρικὸν λόγον. Περὶ ἀνθρώπου θυμώδους· περὶ γλωσσώδους ἀνδρός· περὶ τοῦ δανείζειν τῷ πλησίον, καὶ τόκους μὴ λαμβάνειν, ἀλλὰ κιχρᾶν αὐτῷ δεομένῳ· περὶ τοῦ πλησίον, καὶ περὶ ζωῆς· περὶ τοῦ μὴ ἐπιστροφῇ παιδεύειν τέκνα, περὶ ὑγιείας σώματος, καὶ βρώσεως, καὶ ψυχῆς· περὶ διδασκαλίας χρημάτων, με-

γιστάνων καὶ ἡγουμένων υἱῷ καὶ γυναικί, ἀδελφῷ καὶ φίλῳ· περὶ οἰκέτου κακούργου. Περὶ ἐνυπνίων ἀσυνέτων· περὶ πλάνης καὶ πολυπειρίας, καὶ περὶ τῶν φοβουμένων τὸν Κύριον. Περὶ θυσιῶν, καὶ προσφορῶν, τῶν ἐξ ἀδικίας, τῶν τε ἐκ δικαιοσύνης προσφορῶν· περὶ θυσιῶν τῶν ἐκ φιλαργυρίας. Ὅτι τρυφῆς καὶ πλούτου δεῖ καταφρονεῖν. Περὶ λαιμάργων καὶ βασκάνων, καὶ ἀπλήστων, καὶ ἀτάκτων· μὴ μεθύσκεσθαι οἴνῳ, ἀλλ' αὐτάρκως χρᾶσθαι. Περὶ ἐπαιρομένου ἐπιεικοῦς, καὶ περὶ λαλιᾶς πρεσβυτέρων, καὶ περὶ λαλιᾶς νεανίσκου. Περὶ ἐκδοχῆς παιδείας νόμου, καὶ κρίματα καὶ δικαιώματα, καὶ πιστεύειν νόμῳ. Περὶ διαθήκης Θεοῦ κατὰ γενεάν, καὶ ὅτι ἡ μὲν κατασκευὴ τῆς φύσεως τοῖς ἀνθρώποις μία· τὸ δὲ τῆς προαιρέσεως διάφορον, ἀφ' ἧς τοὺς μὲν εὐλογεῖσθαι, τοὺς δὲ ὑπὸ κατάραν ἐποίησε. Περὶ λαοῦ ἐκλελεγμένου, καὶ ὅτι ἀπέναντι τοῦ ἀγαθοῦ τὸ κακόν, καὶ ἀπέναντι τοῦ εὐσεβοῦς ὁ ἁμαρτωλός. Τίσι δεῖ κοινωνεῖν· ὁποίαν δεῖ γυναῖκα λαβεῖν· ὁποίους δεῖ φίλους ἔχειν· τίσι δεῖ συμβούλοις χρῆσθαι, τίνας διδασκάλους ὁρίζει· περὶ τοῦ εἰδέναι τὸ συμφέρον ἕκαστον. Περὶ τοῦ τιμᾶν τοὺς ἰατρούς. Πῶς ἐπὶ νεκρῷ δεῖ πενθεῖν. Περὶ γραμματέως καὶ σοφοῦ γεωργοῦ· καὶ περὶ ἀγρυπνίας τέκτονος, καὶ χαλκέως, καὶ κεραμέως. Περὶ φυλακῆς ψυχῆς ἀνθρώπου, καὶ τῆς παραμενούσης σοφίας, καὶ ὅσον τυγχάνει. Περὶ προγνώσεως Θεοῦ καὶ κτίσεως κόσμου. Ὅτι ἡ κτίσις τοῖς εὐσεβέσιν εἰς εὐλογίαν τρέπεται· τοῖς δὲ ἀνόμοις εἰς κατάραν. Ὅτι ἀσχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ καὶ ζυγὸς βαρὺς ἐπὶ υἱοὺς Ἀδάμ. Ὅτι πάντα ὅσα ἀπὸ γῆς εἰς γῆν ἀναστρέφει, καὶ ὅσα ἀπὸ τοῦ ὕδατος εἰς θάλασσαν. Περὶ συγκρίσεως ἀγαθῶν, καὶ τίνα τὰ σαρκικὰ ἀγαθὰ τὰ ἥττονα. Περὶ τοῦ τίνα τὰ ὄντα ἀγαθὰ τὰ μείζονα καὶ πνευματικά. Περὶ ζωῆς ἀπαιτήσεως. Περὶ θανάτου πικροῦ πλουσίου· περὶ θανάτου καλοῦ πτωχοῦ. Περὶ τοῦ μὴ εὐλαβεῖσθαι τὸ ἀποθανεῖν. Περὶ τοῦ ἐπονειδίστως μὴ ζῆν, ἀλλὰ φροντίζειν ὀνόματος ἀγαθοῦ. Περὶ παιδείας εἰρηνικῆς. Ἀφ' ὧν ἐντρεπόμενος αἰσχύνεσθαι δεῖ· περὶ ὧν δεῖ αἰσχύνεσθαι. Ὅτι δεῖ περὶ θυγατρὸς παρθένου πάντοτε μεριμνᾶν· περὶ τοῦ μὴ συνεδρεύειν ἐν μέσῳ γυναικῶν διὰ πορνείαν. Περὶ δημιουργίας Κυρίου. Περὶ ἡλίου, ὅτι σκεῦος θαυμαστὸν καὶ ἔργον Κυρίου. Περὶ σελήνης καὶ ἄστρων, καὶ τόξου, καὶ χιόνων, καὶ ἀστραπῶν. Περὶ νεφῶν, καὶ χαλάζης. Περὶ σεισμῶν καὶ βροντῆς. Περὶ ὑετοῦ, καὶ πάχνης, καὶ ὁμίχλης. Περὶ δρόσου ἀπὸ καύσωνος, καὶ περὶ ἀβύσσου ξηρᾶς. Περὶ Ἰορδάνου καὶ θαλάσσης. Περὶ παντὸς ζῴου καὶ κτήνους. Περὶ μεγαλοδόξου κτίσεως Κυρίου. Περὶ τῶν εὐεργεσιῶν αὐτοῦ. Ἐπίλογος περὶ Ἐνὼχ καὶ Νῶε. Ἐπίλογος περὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ ὧν ἐπειράσθησαν. Ἐπίλογος περὶ Ἰακώβ, καὶ Μωϋσέως, καὶ ὧν ἐθαυματούργει. Ἐπίλογος περὶ Ἀαρών, καὶ τῆς λειτουργίας αὐτοῦ, καὶ τῆς ἱερατείας. Ἐπίλογος περὶ Δαθάν, καὶ Ἀβειρών, καὶ Κορέ. Περὶ τῶν ἀπαρχῶν τῶν πρωτογεννημάτων μερίδος Ἀαρών. Ἐπίλογος, ὅτι Φινεὲς υἱὸς

'Ελεάζαρ τρίτος μετὰ 'Ααρὼν ἔνδοξος. "Οτι τῷ Δαυὶδ διέθετο Κύριος διαθήκην βασιλείας. "Οτι 'Ιησοῦς Ναυῆ διάδοχος Μωϋσέως γίνεται ἐν προφήταις. 'Ως ἐν ἡμέραις Μωϋσέως 'Ιησοῦς Ναυῆ καὶ Χάλεβ ὁ τοῦ 'Ιεφονῆ, ἐποίησαν ἔλεος, καὶ οἱ ιβ' διεσώθησαν. Τὰ περὶ Σαμουήλ, ὃς μετὰ 'Ιησοῦν ἔκρινε τὸν λαὸν ἐν προφήταις. Τὰ περὶ Ναθὰν τοῦ προφήτου, καὶ ἐγκώμιον εἰς Δαυὶδ τὸν βασιλέα. 'Ως Σολομὼν ἦν σοφός, ἀλλὰ φιλογύναιος ὕστερον γέγονε, καὶ μετὰ τὴν ὀργὴν ἠλεήθη μετανοήσας. Τὰ περὶ 'Ιεροβοὰμ καὶ 'Ροβοὰμ τῶν σχισματοποιῶν. Τὰ περὶ 'Ηλίου τοῦ προφήτου, τὸ πῦρ τὸ καῖον τὰ κακά. Τὰ περὶ 'Ελισσαιὲ τοῦ προφήτου, καὶ μαθητοῦ 'Ηλίου, ὃς ἐνεπλήσθη τοῦ πνεύματος αὐτοῦ. Τὰ περὶ τῆς αἰχμαλωσίας τῶν βασιλέων 'Ιούδα. 'Ως ἦν 'Ιεζεκίας ταπεινόφρων, καὶ τοῦ 'Ησαΐου φίλος, καὶ τοῦ 'Ραμψάκη ἀναιρέτης. 'Ως ἐλυτρώσατο Κύριος τὸν 'Ισραὴλ ἐν χειρὶ 'Ησαΐου πατάξας τὴν παρεμβολὴν τῶν 'Ασσυρίων. 'Ως 'Ιωσίας ὁ βασιλεὺς ὑπῆρχε φίλος 'Ιερεμίου. Περὶ 'Εζεκιὴλ τοῦ προφήτου, ὅτι ἐν τῇ αἰχμαλωσίᾳ ἦν Βαβυλῶνος. Περὶ τῶν ὀστέων τῶν ιβ' προφητῶν. 'Ως Ζοροβάβελ καὶ 'Ιησοῦς ὁ τοῦ 'Ιωσεδὲκ ᾠκοδόμησαν τὸν οἶκον Κυρίου. 'Ως Νεεμίας ἀνήγειρε τὰ τείχη 'Ιερουσαλὴμ τὰ πεπτωκότα. Τὰ περὶ 'Ενώχ, ὅς ἐστιν ἐν τοῖς ἐνδόξοις καὶ στήριγμα λαοῦ. "Οτι Σὴμ καὶ Σὴθ ἔνδοξοι ἐν ἀνθρώποις. "Οτι Σίμων 'Ονίου υἱὸς ἐνδοξότατος ἐν ἀρχιερωσύνῃ. "Οτι ἐπὶ πᾶσι τούτοις εὐλογεῖν δεῖ τὸν Θεὸν μεγαλουργόν. Κατὰ Σαμαρειτῶν, ἀθετησάντων τὸν 'Ιουδαϊσμόν, καὶ κατὰ 'Ιουδαίων ἀθετησάντων τὸν Χριστόν. Περὶ τοῦ ἐπιλόγου τῆς βίβλου πάσης. Περὶ τῆς προσευχῆς 'Ιησοῦ υἱοῦ Σηράχ, ἐγγόνου 'Ιησοῦ.

ΑΡΚΤΕΟΝ ΔΕ ΚΑΙ ΤΩΝ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ ΒΙΒΛΙΩΝ

Βιβλίον Α', Κατὰ Ματθαῖον Εὐαγγέλιον.

47. Οὕτω καλεῖται τὸ βιβλίον, ἐπειδὴ καὶ αὐτὸς Ματθαῖος ὁ μαθητὴς τοῦ Κυρίου συνέγραψε τὸ Εὐαγγέλιον τοῦτο. Διηγεῖται δὲ ἐξ ἀρχῆς τὴν κατὰ σάρκα γέννησιν τοῦ Σωτῆρος τὴν ἐκ σπέρματος τοῦ Δαυίδ. Διὸ καὶ ἀπ' αὐτοῦ τὴν γενεαλογίαν κατάγει ἕως τοῦ Χριστοῦ, γενεὰς μβ'. Περιέχει δὲ καὶ τὸ βάπτισμα 'Ιωάννου, καὶ τοὺς ἐν τῷ ὄρει παρὰ τοῦ διαβόλου πειρασμούς, καὶ σημεῖα καὶ τέρατα μεγάλα γενόμενα παρὰ τοῦ Σωτῆρος, τήν τε τῶν μαθητῶν ἐκλογήν, καὶ τὴν τοῦ μυστηρίου παράδοσιν· καὶ τέλος ὅτι παρεδόθη Πιλάτῳ, καὶ ἐσταυρώθη τῷ σώματι, καὶ τὸ σῶμα αὐτοῦ ἐτέθη ἐν τῷ μνημείῳ· καὶ οἱ μὲν στρατιῶται διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ· αὐτὸς δέ, ἐν τριημέρῳ ἀναστάς, ἐνετείλατο τοῖς μαθηταῖς μαθητεύειν πάντα τὰ ἔθνη, καὶ βαπτίζειν αὐτούς, ἐπαγγειλάμενος εἶναι μετ' αὐτῶν πάσας τὰς ἡμέρας ἕως συντελείας τοῦ αἰῶνος. Εἰσὶ δὲ ἅπερ ἐξηγεῖται

Ματθαῖος γεγονέναι σημεῖα παρὰ τοῦ Χριστοῦ ταῦτα· Ὁ λεπρὸς ἐκαθαρίσθη· ὁ παῖς ἑκατοντάρχου μὴ παρὼν ἰάθη, μόνον εἰπόντος αὐτοῦ· ἡ πενθερὰ Πέτρου πυρέσσουσα ἰάθη· ὀψίας γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους, καὶ κακῶς ἔχοντας· καὶ τὰ μὲν πνεύματα ἐξέβαλε λόγῳ, τοὺς δὲ ἄλλους πάλιν ἐθεράπευσεν οὕτως. Γενεαλογεῖται Χριστός· εὐαγγελίζεται Ἰωσήφ· προσκυνοῦσι μάγοι· κατέρχεται εἰς Αἴγυπτον ὁ Χριστός· ἀναιρεῖ τὰ παιδία Ἡρώδης, καὶ τελευτᾷ. Ἀνελθὼν ἀπὸ τῆς Αἰγύπτου κατοικεῖ εἰς Ναζαρὲτ ὁ Χριστός. Ἔρχεται Ἰωάννης βαπτίζων, ἀποστρέφεται τοὺς Σαδδουκαίους καὶ τοὺς Φαρισαίους. Βαπτίζεται ὁ Χριστός, καὶ πειράζεται ὑπὸ τοῦ Σατανᾶ. Εἶτα ἦλθεν εἰς Καπερναούμ, παραδοθέντος τοῦ Ἰωάννου. Καλεῖ τοὺς περὶ Πέτρον καὶ Ἰάκωβον. Θεραπεύει πολλούς, κάθηται εἰς τὸ ὄρος, καὶ λέγει τοὺς μακαρισμούς, καὶ ἐπάγει· «Ὑμεῖς ἐστε τὸ ἅλας[1]», καί, «ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.[2]» Παραινεῖ αὐτοῖς περὶ βίου. Εἶτα ἐπιτείνει τὰς ἐν τῷ νόμῳ ἐντολάς, ἔνθα καὶ περὶ τοῦ δεξιοῦ ὀφθαλμοῦ λέγει, καὶ περὶ κενοδοξίας, καὶ περὶ φιλοχρηματίας, καὶ τοῦ μὴ μεριμνᾶν περὶ τροφῆς, καὶ τοῦ μὴ κρίνειν τὸν πλησίον. Εἶτά φησι· «Μὴ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.[3]» Προτροπὴ περὶ τοῦ αἰτεῖσθαι· παραβολὴ περὶ τοῦ αὐτοῦ· περὶ τῆς στενῆς ὁδοῦ, καὶ περὶ ψευδοπροφητῶν, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς. Ἔνθα ἡ παραβολὴ τῆς ἐπὶ τὴν πέτραν οἰκοδομηθείσης οἰκίας. Κατέρχεται ἀπὸ τοῦ ὄρους, καὶ θεραπεύει τὸν λεπρόν, καὶ τὸν τοῦ ἑκατοντάρχου, καὶ τὴν πενθερὰν Πέτρου, καὶ ἄλλους πολλούς. Ὁ γραμματεὺς κωλύεται ἀκολουθῆσαι, καὶ ὁ μαθητὴς ἀναγκάζεται. Παύει τὸν χειμῶνα τῆς θαλάσσης. Οἱ δαίμονες εἰς τοὺς χοίρους ἐμπίπτουσιν. Ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν ἰδίαν πόλιν· θεραπεύει τὸν παραλυτικόν· καλεῖ τὸν Ματθαῖον. Ἐγκαλοῦσιν οἱ Φαρισαῖοι, ὅτι μετὰ τελωνῶν ἐσθίει, καὶ οἱ μαθηταὶ Ἰωάννου, ὅτι οὐ νηστεύουσιν οἱ μαθηταὶ αὐτοῦ. Παραγίνεται ὁ ἄρχων διὰ τὸ θυγάτριον, καὶ ἀνίστησι τὴν κόρην· καὶ μεταξὺ ἡ αἱμορροοῦσα ἰᾶται. Δύο τυφλοὶ θεραπεύονται, καὶ κωφὸς δαιμονιζόμενος. Περιάγει τὰς κώμας ὁ Ἰησοῦς. Ἀποστέλλει τοὺς μαθητὰς κηρῦξαι, καὶ πολλὰ αὐτοῖς διαλέγεται. Ἀποστέλλει πρὸς αὐτὸν δύο τῶν μαθητῶν Ἰωάννης, ἐγκωμιάζεται. Ἐγκαλεῖ τοῖς ὄχλοις περὶ Ἰωάννου ὁ Χριστός. Ὀνειδίζει τὰς πόλεις. Ἐξομολογεῖται τῷ Πατρί. Καλεῖ τοὺς πεφορτισμένους. Διαβαίνει διὰ τῶν σπορίμων. Θεραπεύει τὸν τὴν ξηρὰν ἔχοντα χεῖρα. Καὶ βουλεύονται Ἰουδαῖοι ἀνελεῖν αὐτόν. Ἀναχωρήσαντι ἐκεῖθεν, ἀκολουθεῖ ὁ ὄχλος, καὶ θεραπεύεται. Ὁμοίως καὶ ὁ δαιμονιζόμενος τυφλὸς καὶ κωφός. Τότε λέγουσιν οἱ Ἰουδαῖοι· «Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια.[4]» Εἶτα σημεῖον αἰτοῦσιν· ὁ δὲ ἔδωκε τὸ Ἰωνᾶ. Προεῖπεν, ὅτι Νινευῖται κατακρινοῦσιν αὐτούς. Τότε λέγει· «Ὅταν

1. Ματθ. 5, 13. 2. Ματθ. 5, 14. 3. Ματθ. 7, 6. 4. Ματθ. 12, 24.

ἐξέλθῃ τὸ ἀκάθαρτον πνεῦμα, ζητοῦν ἀνάπαυσιν.[1]» Εἶτα ἡ μήτηρ ζητεῖ λαλῆσαι αὐτῷ. Ἐμβὰς εἰς τὸ πλοῖον λέγει τὴν παραβολὴν τοῦ σπείροντος, καὶ τὴν αἰτίαν, δι' ἣν ἐν παραβολαῖς λέγει. Ἐπιλύει τὴν παραβολὴν ταύτην, καὶ προστίθησι τὴν τοῦ θησαυροῦ, τὴν τοῦ μαργαρίτου, τὴν τοῦ ἀγροῦ, τὴν τοῦ σινάπεως, καὶ τὴν τῆς ζύμης. Ἐπιλύει τὴν τοῦ ἀγροῦ ἐν τῇ οἰκίᾳ, προστίθησι τὴν τῆς σαγήνης. Μακαρίζει τοὺς μαθητάς, παραβάλλων αὐτοὺς ἀνδρὶ οἰκοδεσπότῃ. Ἔρχεται εἰς τὴν πατρίδα, ὅτε καὶ σκανδαλίζονται οἱ Ἰουδαῖοι. Τότε λέγει· «Οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ.[2]» Καὶ ἀκούσας τὰ κατὰ τὸν Ἡρώδην καὶ Ἰωάννην, ἀναχωρεῖ εἰς ἔρημον, καὶ τρέφει τοὺς πεντακισχιλίους. Πέμπει τοὺς μαθητὰς εἰς πλοῖον. Ἀνέρχεται εἰς τὸ ὄρος εὔξασθαι. Ἐφίσταται αὐτοῖς νυκτὸς πλέουσι· δέχεται τὸν Πέτρον ἐπὶ τῶν ὑδάτων. Ἔρχεται εἰς Γεννησαρέτ. Θεραπεύονται πολλοί. Ἐγκαλοῦσι Φαρισαῖοι περὶ καθαρσίων· ἐπιστομίζει τούτους, καὶ διδάσκει τοὺς ὄχλους περὶ βρωμάτων. Ἐρωτᾷ Πέτρος περὶ τῶν εἰρημένων, καὶ σαφέστερον ἐπεξέρχεται ὁ Χριστός. Ἦλθεν εἰς Τύρον, καὶ προσέρχεται ἡ Χαναναία. Ἐκεῖθεν εἰς τὸ ὄρος τὸ παρὰ τὴν θάλασσαν, καὶ θεραπεύει πολλούς. Τρέφει τοὺς τετρακισχιλίους ἄνδρας. Ἦλθεν εἰς Μαγδαλά. Ἐρωτῶσι σημεῖον οἱ Ἰουδαῖοι. Ὁ δὲ καταλιπὼν ἀπῆλθεν εἰς τὸ πέραν. Οἱ μαθηταὶ ἐπελάθοντο ἄρτους λαβεῖν· λέγει αὐτοῖς περὶ τῆς ζύμης τῶν Φαρισαίων. Ἐξέρχεται εἰς Καισάρειαν. Ἐρωτᾷ τοὺς μαθητὰς περὶ ἑαυτοῦ· ὁμολογεῖ αὐτὸν ὁ Πέτρος. Τότε προλέγει περὶ τοῦ πάθους, καὶ ἐπιτιμᾷ Πέτρῳ, καὶ κελεύει τὸν βουλόμενον ἀκολουθεῖν ἆραι τὸν σταυρόν. Λέγει καὶ περὶ τῆς δευτέρας παρουσίας αὐτοῦ. Ἄνεισιν εἰς τὸ ὄρος, ἔνθα καὶ μετεμορφώθη. Κατιόντα αὐτὸν ἐρωτῶσι περὶ Ἠλίου καὶ μανθάνουσι. Προσάγεται ὁ σεληνιαζόμενος, καὶ θεραπεύεται. Ὀνειδίζει τοῖς μαθηταῖς. Λέγει αὐτοῖς ἐν τῇ Γαλιλαίᾳ περὶ τοῦ πάθους. Προσέρχονται ἐν Καπερναοὺμ οἱ τὸ δίδραχμα λαμβάνοντες. Ἐρωτῶσιν οἱ μαθηταί, τίς μείζων; Τότε καλέσας παιδίον λέγει· «Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.[3]» Καί, «Εἰ ὀφθαλμός σου, καὶ ἡ χείρ σου σκανδαλίζει σε·[4]» καὶ τό, «Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων.[5]» Εἶτα ἡ παραβολὴ τῶν ἑκατὸν προβάτων, καὶ τό· «Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτόν·[6]» καὶ τό· «Ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν, ὃ ἐὰν αἰτήσωνται, λήψονται.[7]» Εἶτά φησιν ὁ Πέτρος· «Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου;[8]» Παραβολὴ τοῦ τὰ μύρια ὀφείλοντος τάλαντα. Ἦλθεν εἰς τὴν Ἰουδαίαν. Ἐθεράπευσε πολλούς. Ἐπέλυσε τὸ τοῦ ἀποστασίου. Περὶ τρόπου εὐνουχισμοῦ διαλέγεται. Εὐλογεῖ τὰ παιδία. Προσέρχεται ὁ πλούσιος. Ἐρωτῶσιν οἱ μαθηταί,

1. Ματθ. 12, 43. 2. Ματθ. 13, 57. 3. Ματθ. 18, 6. 4. Ματθ. 18, 18. 5. Ματθ. 18, 10. 6. Ματθ. 18, 15. 7. Ματθ. 18, 19. 8. Ματθ. 18, 21.

«Τίς δύναται σωθῆναι;[1]» Τότε λέγει· «Ἐπὶ δώδεκα θρόνους καθήσεσθε·[2]» καί, «Ὃς ἀφῆκεν οἰκίας[3]», καὶ τὰ ἑξῆς. Εἶτα παραβολὴ τῶν ἐργατῶν. Καὶ ἀναβαίνων εἰς Ἱερουσόλυμα, εἶπε τοῖς μαθηταῖς περὶ τοῦ θανάτου αὐτοῦ. Ἡ γυνὴ Ζεβεδαίου ἀξιοῖ ὑπὲρ τῶν υἱῶν περὶ πρωτείων. Οἱ ἀπόστολοι ζηλοῦσι, καὶ παιδεύονται. Θεραπεύονται οἱ δύο τυφλοὶ ἐξ Ἱεριχοῦντος. Εἶτα τὰ κατὰ τὸν ὄνον. Εἰσέρχεται εἰς τὸ ἱερόν, ἐκβάλλει τοὺς πωλοῦντας, θεραπεύει τοὺς προσελθόντας. Εἶτα τὰ παιδία ὑμνεῖ. Ἐξέρχεται εἰς Βηθανίαν, καὶ ἐπανερχόμενος εἰς Ἱεροσόλυμα, ξηραίνει τὴν συκῆν, καὶ λέγει τοῖς μαθηταῖς· «Κἂν τῷ ὄρει τούτῳ εἴπητε, Βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται, καὶ ὃ ἐὰν αἰτήσητε πιστεύοντες, λήψεσθε.[4]» Ἐρωτῶσιν οἱ ἱερεῖς· «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;[5]» Ἀντερωτᾷ περὶ τοῦ βαπτίσματος Ἰωάννου. Λέγει αὐτοῖς τὴν παραβολὴν τὴν τῶν δύο υἱῶν, εἶτα τὰ τοῦ ἀμπελῶνος καὶ τῶν πονηρῶν ἐργατῶν· εἶτα τὰ τοῦ γάμου, καὶ τῶν φαύλων κλητόρων. Τότε ἦλθον οἱ Ἰουδαῖοι παγιδεῦσαι αὐτὸν ἐν λόγῳ. Καὶ τί τὸ νόμισμα. Ἐρωτῶσιν οἱ Σαδδουκαῖοι περὶ τῆς γαμηθείσης τοῖς ἑπτὰ ἀδελφοῖς· εἶτα ὁ νομικός· Ποία ἐντολὴ πρώτη; Εἶτα ἐρωτᾷ αὐτοὺς Ἰησοῦς· «Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ;» Ὡς δὲ ἐπεστομίσθησαν, διαλέγεται τοῖς ὄχλοις περὶ τῶν Γραμματέων καὶ Φαρισαίων, ταλανίζων αὐτούς. Εἶτα ἐκ τοῦ ἱεροῦ ἀνέρχεται εἰς τὸν ἐλαιῶνα, καὶ διαλέγεται τοῖς μαθηταῖς περὶ μελλόντων. Εἶτα ἡ παραβολὴ τοῦ κατασταθέντος δούλου ἐπὶ τῆς οἰκίας, καὶ ἡ τῶν δέκα παρθένων, καὶ ἡ τῶν πέντε ταλάντων, καὶ ἡ τῶν ἐρίφων, καὶ ἡ τῶν προβάτων. Συνάγονται οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς πιάσαι αὐτόν. Ὁ δὲ ἦλθεν εἰς Σίμωνος οἰκίαν εἰς Βηθανίαν, ἔνθα ἡ τὸ ἀλάβαστρον [ἔχουσα] ἔρχεται. Συντίθεται ὁ Ἰούδας τοῖς Ἰουδαίοις. Ἀποστέλλονται οἱ Μαθηταὶ ἑτοιμάσαι τὸ Πάσχα. Ἐλέγχει τὸν Ἰούδαν ὁ Χριστός. Παραδίδωσι τὸ μυστήριον, ἔνθα λέγει· «Οὐ μὴ πίω ἐκ τῆς ἀμπέλου ταύτης.[6]» Ἐξέρχεται εἰς τὸν ἐλαιῶνα. Προλέγει, ὅτι σκανδαλισθήσονται οἱ μαθηταί. Ἀφεὶς τοὺς μαθητὰς εἰς Γεθσημανῆ, καὶ προσευξάμενος τρίτον, λέγει· «Ἄγωμεν ἐντεῦθεν.[7]» Ἦλθεν ὁ Ἰούδας μετὰ τοῦ ὄχλου, καὶ κόπτει ὁ Πέτρος τὸ ὠτίον τοῦ παιδαρίου. Ἤγαγον Ἰησοῦν πρὸς Καϊάφαν, ἔκριναν αὐτόν, καὶ κατεδίκασαν, καὶ ἐνέπαιξαν. Ὁ Πέτρος ἀρνεῖται. Ἄγουσι τὸν Ἰησοῦν πρὸς Πιλᾶτον. Ἀπάγχεται Ἰούδας. Κρίνεται ὁ Χριστός. Ἡ γυνὴ τοῦ Πιλάτου συμβουλεύει αὐτῷ ἀποστῆναι τοῦ Ἰησοῦ. Εἶτα σταυροῦται. Εἱστήκεισαν αἱ περὶ Μαρίαν θεωροῦσαι μακρόθεν τὰ γινόμενα. Λαμβάνει τὸ σῶμα τοῦ Κυρίου Ἰωσήφ. Αἰτοῦσι τὴν κουστωδίαν οἱ Ἰουδαῖοι. Αἱ περὶ Μαρίαν ἦλθον ἑσπέρας εἰς τὸν τάφον, καὶ σεισμὸς ἐγένετο. Ἤκουσαν παρὰ τοῦ ἀγγέλου, ὅτι ἀνέστη. Πέμπονται ὑπὸ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητάς.

1. Ματθ. 19, 25. 2. Ματθ. 19, 28. 3. Ματθ. 19, 29. 4. Ματθ. 21, 21-22. 5. Ματθ. 21, 23. 6. Ματθ. 26, 29. 7. Ματθ. 26, 46.

Ἤκουσαν οἱ Ἰουδαῖοι περὶ τοῦ σεισμοῦ καὶ τῆς ἀναστάσεως, καὶ ἔδωκαν χρήματα τοῖς φύλαξιν, ἵνα ψεύσωνται. Ἦλθον οἱ μαθηταὶ πρὸς τὸν Ἰησοῦν εἰς τὴν Γαλιλαίαν. Παραδίδωσιν αὐτοῖς τὸ βάπτισμα.

Βιβλίον β΄, Κατὰ Μάρκον Εὐαγγέλιον.

48. Ἰωάννης βαπτίζει τοὺς Ἰουδαίους. Ἔρχεται ἀπὸ Ναζαρὲτ ὁ Χριστός, ἐβαπτίσθη, καὶ ἦλθεν εἰς τὴν ἔρημον πειρασθῆναι. Εἶτα εἰς τὴν Γαλιλαίαν, παραδοθέντος Ἰωάννου, καὶ καλεῖ τοὺς περὶ Πέτρον καὶ Ἰάκωβον. Εἰσέρχεται εἰς Καπερναούμ, διδάσκει, θεραπεύει τὸν δαιμονιζόμενον ἐκεῖ, εἶτα τὴν πενθερὰν Πέτρου, καὶ πολλοὺς ἐν τῇ ἑσπέρᾳ ἰᾶται, ἐξῆλθεν εἰς τὴν ἔρημον, περιῆγε τὴν Γαλιλαίαν. Θεραπεύει τὸν λεπρόν. Ἔρχεται εἰς Καπερναούμ. Ἰᾶται τὸν παραλυτικόν· διδάσκει τὸν ὄχλον. Καλεῖ τὸν Λευῒν τὸν Ἀλφαίου. Ἐσθίει μετὰ τῶν τελωνῶν. Ἐγκαλοῦσιν οἱ Φαρισαῖοι ὑπὲρ τούτου. Οἱ μαθηταὶ Ἰωάννου ὑπὲρ τῆς νηστείας αἰτιῶνται· ὁ δὲ ἀπολογεῖται. Διέρχεται διὰ τῶν σπορίμων. Θεραπεύει τὸν τὴν ξηρὰν χεῖρα [ἔχοντα]. Ἀναχωρεῖ πρὸς τὴν θάλασσαν. Ἀκολουθεῖ αὐτῷ πλῆθος πολύ. Ὁμολογοῦσιν οἱ δαίμονες. Προσκαλεῖται τοὺς δώδεκα, ἵνα ἀποστείλῃ αὐτούς. Τότε λέγουσιν οἱ Ἰουδαῖοι· «Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια.[1]» Ἔρχεται ἡ Μήτηρ αὐτοῦ πρὸς αὐτόν. Ἐμβαίνει εἰς τὸ πλοῖον. Λέγει τὴν παραβολὴν τοῦ σπείροντος, τὴν τοῦ ἀγροῦ, τὴν τοῦ σινάπεως. Χειμάζονται ἐν τῇ θαλάσσῃ οἱ μαθηταί. Ἐπιτιμᾷ τῇ θαλάσσῃ ὁ Χριστός. Θεραπεύεται ὁ δαιμονῶν ἐν τῇ χώρᾳ τῶν Γεργεσηνῶν. Οἱ χοῖροι πνίγονται. Ἦλθεν εἰς τὸ πέραν, καὶ Ἰάειρος ὑπὲρ τῆς θυγατρὸς ἀξιοῖ. Εἶτα ἡ αἱμορροοῦσα ἰᾶται. Ἦλθεν εἰς τὴν πατρίδα, σκανδαλίζονται ἐπ' αὐτῷ. Ἐνταῦθα λέγει· «Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ.[2]» Πέμπει τοὺς μαθητὰς ἀνὰ δύο, ἐντειλάμενος πολλά. Εἶτα τὰ κατὰ Ἡρώδην καὶ Ἰωάννην. Ἐπανῆλθον οἱ μαθηταὶ πρὸς αὐτόν. Τρέφει τοὺς ὄχλους. Ἐφίσταται χειμαζομένοις τοῖς μαθηταῖς. Ἦλθεν εἰς Γεννησαρέτ, καὶ ἐθεράπευσε πολλούς. Περὶ ἀνίπτων χειρῶν διαλέγεται. Ἦλθεν εἰς Τύρον. Ἰᾶται τὴν θυγατέρα τῆς Συροφοινικίσσης, εἶτα τὸν κωφὸν καὶ μογιλάλον. Τρέφει τὸν ὄχλον. Σημεῖον αἰτοῦσιν οἱ Ἰουδαῖοι, καὶ οὐ δίδωσι. Περὶ τῆς ζύμης τῶν Φαρισαίων λέγει, καὶ ἐπιτιμᾷ τοῖς μαθηταῖς. Θεραπεύει τὸν τυφλὸν εἰς Βηθσαϊδά. Ἐρωτᾷ τοὺς μαθητὰς περὶ ἑαυτοῦ. Πέτρος ὁμολογεῖ· καὶ διὰ τὸ πάθος ἐπιτιμᾶται. Ἐνταῦθα λέγει· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν.[3]» Μεταμορφοῦται ἐν τῷ ὄρει, λέγει περὶ τοῦ Ἠλίου. Προσάγεται σεληνιαζόμενος, καὶ θεραπεύεται. Προλέγει τοῖς μαθηταῖς περὶ τοῦ θανάτου αὐτοῦ καὶ τῆς ἀναστάσεως, καὶ ἐλέγχει αὐτοὺς περὶ πρωτείων διαλεχθέντας ἐν τῇ ὁδῷ. Ἐνταῦθα

1. Μάρκ. 3, 22. 2. Μάρκ. 6, 4. 3. Μάρκ. 8, 34.

λέγει· «Ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι [1]», περὶ τοῦ ἐκβάλλοντος δαιμόνια ἐν τῷ ὀνόματι αὐτοῦ. Εἶτά φησιν· «Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν· [2]» καὶ τό· «Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, οὐδὲ τὸ πῦρ σβέννυται.[3]» Περὶ ἀποστασίου διαλέγεται. Τὰ παιδία εὐλογεῖ. Ἐρωτᾷ ὁ πλούσιος, τί ποιήσας ζήσεται· ἀποκρίνεται πρὸς αὐτόν. Ἀναβαίνων εἰς Ἱεροσόλυμα, λέγει περὶ τοῦ πάθους. Οἱ υἱοὶ Ζεβεδαίου ἀξιοῦσιν ὑπὲρ τῆς ἐκ δεξιῶν καθέδρας. Διαλέγεται περὶ ταπεινοφροσύνης. Ἀναβλέπει Βαρτιμαῖος. Εἶτα τὰ κατὰ τὸν πῶλον, καὶ εἰσῆλθεν εἰς τὸ ἱερόν, ὀψίας οὔσης ἐξῆλθεν εἰς Βηθανίαν. Εἶτα ἐπὶ τὴν συκῆν. Ἐκβάλλει ἐκ τοῦ ἱεροῦ τοὺς πωλοῦντας. Ἐξῆλθεν ἑσπέρας ἐκ τῆς πόλεως. Ὁ Πέτρος θαυμάζει διὰ τὴν συκῆν· Προτρέπεται τοὺς μαθητὰς ὁ Ἰησοῦς εἰς τὸ πιστεύειν. Κελεύει συγχωρεῖν τῷ πλησίον τὰ ἁμαρτήματα. Ἐπανέρχεται εἰς τὴν πόλιν. Ἐρωτῶσιν οἱ Ἰουδαῖοι, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ. Ἐρωτᾷ αὐτοὺς περὶ τοῦ βαπτίσματος Ἰωάννου. Λέγει τὰ κατὰ τὸν ἀμπελῶνα καὶ τοὺς πονηροὺς γεωργούς. Εἶτα περὶ τοῦ κήνσου· εἶτα περὶ τῶν ἑπτὰ ἀδελφῶν. Ἐρωτᾷ ὁ γραμματεύς, ποία ἐντολὴ πρώτη· καὶ μαθὼν ἀποδέχεται. Ἐρωτᾷ ὁ Χριστὸς περὶ ἑαυτοῦ. Εἶτα κατὰ τῶν Φαρισαίων διαλέγεται, καὶ περὶ τῶν δύο δηναρίων τῆς χήρας. Ἐξερχόμενος ἀπὸ τοῦ ἱεροῦ, λέγει περὶ τῆς καταστροφῆς αὐτοῦ. Ἐρωτῶσιν οἱ μαθηταὶ περὶ τοῦ χρόνου, καὶ πολλὰ αὐτοῖς προλέγει. Ἦλθεν εἰς Βηθανίαν πρὸς Σίμωνα τὸν λεπρόν. Ἐκεῖ τὸ μύρον ἐκχεῖται. Συντίθεται ὁ Ἰούδας τοῖς Ἰουδαίοις. Πέμπονται ἑτοιμάσαι τὸ πάσχα οἱ μαθηταί. Ἐλέγχει τὸν Ἰούδαν. Παραδίδωσι τὰ μυστήρια. Ἐξέρχεται εἰς τὸν ἐλαιῶνα. Προλέγει τοῖς μαθηταῖς, ὅτι σκανδαλισθήσονται, καὶ τῷ Πέτρῳ, ὅτι ἀρνήσεται. Προσεύχεται τῷ Πατρί· εἶτα συλλαμβάνεται. Τέμνει Πέτρος τὸ ὠτίον τοῦ δούλου. Φεύγει ὁ νεανίσκος γυμνός. Ἄγεται πρὸς Καϊάφαν ὁ Ἰησοῦς. Καταμαρτυροῦσιν αὐτοῦ. Ὁμολογεῖ ἑαυτὸν Υἱὸν Θεοῦ. Ἀρνεῖται Πέτρος. Ἄγεται πρὸς Πιλᾶτον ὁ Ἰησοῦς· σταυροῦται. Ἦν ἐκεῖ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ, καὶ ἡ Μαγδαληνή, καὶ ἡ Σαλώμη. Λαμβάνει ὁ Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθον αἱ γυναῖκες μετὰ τὸ Σάββατον ἀρώματα φέρουσαι. Εἶδον τὸν ἄγγελον ἐν τῷ μνημείῳ, καὶ ἐφοβήθησαν. Ἀναστὰς ὁ Χριστὸς ὤφθη Μαρίᾳ, ἀφ' ἧς τὰ ἑπτὰ δαιμόνια ἐξέβαλεν. Ἐκείνη εἶπε τοῖς μαθηταῖς· οἱ δὲ ἠπίστησαν. Ἔπειτα ὤφθη τοῖς δυσὶν ἐν τῇ ὁδῷ, εἶτα τοῖς ια'· καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν, καὶ βαπτίζειν, καὶ σημεῖα ποιεῖν. Εἶτα ἀνελήφθη.

Βιβλίον γ', κατὰ Λουκᾶν.

49. Τὰ κατὰ τὴν γέννησιν Ἰωάννου, καὶ τοῦ Χριστοῦ· τὰ κατὰ τὸν Συμεών. Ἄννα ἀνθομολογεῖται τῷ Κυρίῳ. Ἀπομένει ἐν τῷ

1. Πρβλ. Μάρκ. 9, 39-40. 2. Μάρκ. 9, 42. 3. Μάρκ. 9, 48.

ἱερῷ ὁ Ἰησοῦς, καὶ οἱ γονεῖς ἠγνόουν. Βαπτίζει ὁ Ἰωάννης, βαπτίζεται καὶ ὁ Χριστός, ὢν ἐτῶν λ'. Γενεαλογεῖται. Ἄγεται εἰς τὴν ἔρημον. Ἔρχεται εἰς Ναζαρέτ· ἀναγινώσκει ἐν τῇ Συναγωγῇ. Εἶπε πρὸς τοὺς Ἰουδαίους περὶ τῆς χήρας τῆς Ἠλίου, καὶ Νεεμὰν τοῦ λεπροῦ, καὶ ἤθελον αὐτὸν κρημνίσαι. Ἦλθεν εἰς Καπερναούμ. Ἐθεράπευσε τὸν δαιμονῶντα, καὶ τὴν πενθερὰν Πέτρου καὶ ἄλλους πολλούς. Ἐξῆλθεν εἰς τὴν ἔρημον. Ἦλθεν εἰς Γεννησαρέτ, ἐπέβη τοῦ πλοίου Πέτρου, ἔνθα καὶ τὸ δίκτυον διερρήγνυτο. Ἐφοβήθη Σίμων. Ἐθεράπευσε τὸν λεπρόν, εἶτα τὸν παραλυτικόν. Καλεῖ τὸν Λευΐ, ἐσθίει παρ' αὐτῷ, καὶ ἐγκαλεῖται ὑπὸ τῶν Φαρισαίων περὶ τούτου, καὶ ὅτι οὐ νηστεύουσιν οἱ μαθηταὶ αὐτοῦ. Πορεύεται ἐν Σαββάτῳ δευτεροπρώτῳ διὰ τῶν σπορίμων. Θεραπεύει ἐν ἑτέρῳ Σαββάτῳ τὸν τὴν ξηρὰν χεῖρα. Ἐκλέγεται τοὺς ιβ'. Λέγει τοὺς μακαρισμούς. Ταλανίζει τοὺς πλουσίους καὶ τοὺς γελῶντας. Παραινεῖ περὶ ἀγάπης, περὶ τοῦ μὴ ἀμύνεσθαι τὸν πλησίον. Περὶ φιλανθρωπίας. Περὶ τοῦ μὴ κρίνειν, καὶ μεταδιδόναι. Λέγει δὲ καὶ παραβολήν, τὴν περὶ τοῦ δένδρου, καὶ περὶ τοῦ φυλάσσοντος τοὺς λόγους αὐτοῦ, ὅτι ὅμοιός ἐστι τῇ ἐπὶ τὴν πέτραν οἰκίᾳ. Ἔρχεται εἰς Καπερναούμ. Πρόσεισιν ὁ ἑκατόνταρχος ὑπὲρ τοῦ δούλου. Εἶτα ὁ υἱὸς τῆς χήρας ἀνίσταται. Πέμπει Ἰωάννης τοὺς μαθητὰς πρὸς αὐτόν. Ἐγκαλεῖ τῷ ὄχλῳ ὁ Ἰησοῦς περὶ Ἰωάννου. Παρεικάζει τὴν γενεὰν παιδίοις τοῖς προσφωνοῦσιν. Ἔρχεται εἰς οἰκίαν Φαρισαίου, καὶ ἰδοὺ ἡ γυνὴ ἡ ἁμαρτωλὸς τὸ ἀλάβαστρον ἐκχεῖ. Αἰτιᾶται ὁ Φαρισαῖος τὸ γεγονός. Λέγει πρὸς αὐτὸν ὁ Ἰησοῦς τὴν παραβολὴν τῶν δύο χρεωφειλετῶν. Εἶτα διώδευε κατὰ πόλιν καὶ κώμην, καὶ ἠκολούθουν αὐτῷ γυναῖκες αἱ θεραπευθεῖσαι. Λέγει τὴν παραβολὴν τοῦ σπείραντος. Ἦλθεν ἡ μήτηρ αὐτοῦ πρὸς αὐτόν. Πλέουσιν οἱ μαθηταὶ μετ' αὐτοῦ, χειμάζονται, ἔρχονται εἰς Γάδειρα, καὶ ὁ λεγεὼν εἰς τοὺς χοίρους ἐμπίπτει. Εἶτα Ἰάειρος ὑπὲρ τῆς θυγατρὸς ἀξιοῖ, καὶ ἡ αἱμορροοῦσα ἰᾶται. Ἀνίστησι τὴν κόρην. Ἀποστέλλει τοὺς δώδεκα μαθητάς. Ἀκούει Ἡρώδης περὶ αὐτοῦ. Ἀναχωρεῖ εἰς ἔρημον ὁ Ἰησοῦς. Τρέφει τοὺς ὄχλους. Ἐρωτᾷ· «Τίνα με λέγουσιν οἱ ἄνθρωποι; [1]» Ὁμολογεῖ Πέτρος. Παραγγέλλει σιωπᾶν. Προλέγει περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως. Λέγει· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνησάσθω ἑαυτόν.[2]» Μεταμορφοῦται. Κάτεισιν ἀπὸ τοῦ ὄρους. Θεραπεύει τὸν σεληνιαζόμενον. Λέγει περὶ τοῦ πάθους. Ἐζήτουν οἱ μαθηταί, τίς ἂν εἴη μείζων· ὁ δὲ Ἰησοῦς ἐδίδαξεν αὐτούς. Εἶτά φησιν· «Ὃς οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν[3]», περὶ τοῦ ἐκβάλλοντος τὰ δαιμόνια ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ οὐκ ἀκολουθοῦντος αὐτῷ. Βουλόμενον εἰσελθεῖν εἰς τὴν πόλιν τῶν Σαμαρειτῶν οὐκ ἐδέξατο. Εἶτα οἱ μαθηταὶ πῦρ ἤθελον κατενέγκαι ἐπ' αὐτούς· ὁ δὲ Ἰησοῦς ἐπετίμησεν αὐτοῖς. Βουλόμενός τις ἀκολουθῆσαι αὐτῷ

---

1. Λουκ. 9, 18. 2. Λουκ. 9, 23. 3. Λουκ. 9, 50.

κωλύεται. Ἕτερος δὲ παρακαλεῖται, καὶ ἀναδύεται, Τότε λέγει· «Οὐδεὶς ἐπιβάλλει τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στρέφεται εἰς τὰ ὀπίσω.[1]» Ἀνέδειξεν ἑβδομήκοντα μαθητάς, καὶ πέμπει αὐτοὺς ἀνὰ δύο, παραινέσας μηδὲν βαστάσαι. Ὀνειδίζει ταῖς πόλεσι. Τότε λέγει· «Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει.[2]» Εἶτά φησιν· «Ἐθεώρουν τὸν Σατανᾶν πεσόντα, ὡς ἀστραπήν·[3]» καὶ δίδωσι τοῖς μαθηταῖς ἐξουσίαν κατ' αὐτοῦ, καὶ παραινεῖ μὴ χαίρειν ἐν τούτῳ. Εἶτα ἐξομολογεῖται τῷ Πατρί, καί φησι τοῖς μαθηταῖς· «Μακάριοι οἱ ὀφθαλμοί, οἱ βλέποντες ἃ βλέπετε. Πολλοὶ γὰρ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε.[4]» Ὁ νομικὸς πειράζει, καὶ ἡ παραβολὴ λέγεται τοῦ εἰς Ἱεριχὼ καταβαίνοντος. Μάρθα ἐγκαλεῖ ὑπὲρ τῆς ἀδελφῆς. Διδάσκει εὔχεσθαι τοὺς μαθητάς, καὶ λέγει τὴν παραβολὴν τοῦ αἰτοῦντος ἄρτους τὸν φίλον τὸν ἐν τῇ κλίνῃ ὄντα. Θεραπεύει τὸν κωφὸν τὸν δαιμονιζόμενον. Τότε λέγουσιν, ὅτι «Ἐν Βεελζεβοὺλ θεραπεύει.[5]» Εἶτα λέγει· «Ὅταν ἐξέλθῃ τὸ ἀκάθαρτον πνεῦμα, πορεύεται δι' ἀνύδρων τόπων.[6]» Εἶτα γυνή τίς φησι· «Μακαρία ἡ κοιλία[7]», καὶ τὰ ἑξῆς. Κατακριθήσεσθαι προλέγει τοὺς τότε ὑπὸ Νινευΐ, καί φησι· «Οὐδείς, λύχνον ἅψας, ὑπὸ τὸν μόδιον τίθησιν.[8]» Εἰσῆλθεν ἀριστῆσαι πρὸς Φαρισαῖον. Ὁ δὲ ἐγκαλεῖ, ὅτι οὐκ ἐβαπτίσατο. Τότε λέγει πρὸς αὐτόν· «Ὑμεῖς τὸ ἔξωθεν τοῦ ποτηρίου καθαρίζετε.[9]» Καὶ ταλανίζει αὐτοὺς καὶ τοὺς νομικούς. Εἶτα λέγει· «Οὐδέν ἐστι κρυπτόν·[10]» καὶ τό, «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα·[11]» καὶ τό, «Οὐχὶ πέντε στρουθία·[12]» καί, «Ὃς ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα.[13]» Προσέρχεταί τις μερίσασθαι τὸν κλῆρον μετὰ τοῦ ἀδελφοῦ. Εἶτα ὁ λογιζόμενος πλούσιος· περὶ τῶν ἀποθηκῶν. Παραινεῖ μὴ μεριμνᾶν περὶ τροφῆς. Περὶ ἐλεημοσύνης λέγει, καὶ τοῦ δεσπότου τοῦ διακονοῦντος τοῖς δούλοις αὐτοῦ, καὶ περὶ τοῦ πιστοῦ δούλου, καὶ περὶ τοῦ εἰδότος τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιοῦντος. Καί, «Πῦρ ἦλθον», φησί, «βαλεῖν.[14]» Ἔλεγε δὲ καὶ περὶ τῶν τὸ πρόσωπον τοῦ οὐρανοῦ δοκιμαζόντων. Καὶ τό· «Ἐὰν ὑπάγῃς μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα.[15]» Εἶτα τοὺς ὑπὸ Πιλάτου ἀναιρεθέντας Γαλιλαίους, καὶ τοὺς ὑπὸ τοῦ πύργου καταχωσθέντας. Εἶτα ἡ παραβολὴ τῆς ἀκάρπου συκῆς. Τὴν ὑπὸ τοῦ δαίμονος συγκύπτουσαν θεραπεύει ἐν Σαββάτῳ· καὶ ἐγκαλοῦσιν Ἰουδαῖοι· ὁ δὲ ἐπιστομίζει αὐτούς. Εἶτα ἡ παραβολὴ τοῦ σινάπεως, καὶ τῆς ζύμης. Εἶτα ἠρωτήθη, εἰ ὀλίγοι οἱ σῳζόμενοι. Παραινεῖ εἰσελθεῖν διὰ τῆς στενῆς θύρας, καὶ ἐπάγει· «Ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται.[16]» Εἶτα λέγουσιν αὐτῷ· «Ἔξελθε, ὅτι Ἡρώδης βούλεταί σε ἀνελεῖν·[17]» Καί φησι· «Πορευ-

1. Λουκ. 9, 62. 2. Λουκ. 10, 16. 3. Λουκ. 10, 18. 4. Λουκ. 10, 23-24. 5. Λουκ. 11, 15. 6. Λουκ. 11, 24. 7. Λουκ. 11, 27. 8. Λουκ. 11, 33. 9. Λουκ. 11, 39. 10. Λουκ. 12, 2. 11. Λουκ. 12, 4. 12. Λουκ. 12, 6. 13. Λουκ. 12, 10. 14. Λουκ. 12, 49. 15. Λουκ. 12, 58. 16. Λουκ. 13, 29. 17. Λουκ. 13, 31.

θέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ.[1]» Εἶτα πρὸς τὴν Ἱερουσαλὴμ φησι· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου.[2]» Θεραπεύει τὸν ὑδρωπικὸν ἐν οἴκῳ Φαρισαίου. Περὶ πρωτοκλισίας διαλέγεται, καὶ τίνας δεῖ καλεῖν ἐπ' ἄριστον. Εἶτα ἡ παραβολὴ τοῦ δείπνου, καὶ τῶν παραιτησαμένων ἐλθεῖν. Παραινεῖ πάντων τῶν οἰκείων καταφρονεῖν, καὶ αὐτῷ ἀκολουθεῖν. Εἶτα ἡ παραβολὴ τοῦ τὸν πύργον οἰκοδομοῦντος, καὶ τοῦ παρασκευαζομένου εἰς πόλεμον. Εἶτά φησι· «Καλὸν τὸ ἅλας.[3]» Γογγύζουσιν οἱ Φαρισαῖοι, ὅτι τελώνας προσελαμβάνετο. Λέγει παραβολὴν πρὸς αὐτούς, τὴν τοῦ ἀπολωλότος προβάτου, τὴν τῆς δραχμῆς, καὶ τὴν τοῦ ἀσώτου παιδός· περὶ τοῦ ἐκβληθέντος οἰκονόμου· περὶ φιλαργυρίας· περὶ ὑπερηφανίας, καὶ ὅτι δεῖ πάντα τὰ ἐν τῷ νόμῳ πληρωθῆναι· περὶ τοῦ ἀπολύοντος τὴν γυναῖκα αὐτοῦ· περὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου. Περὶ τοῦ συγχωρεῖν τῷ πλησίον τὰ ἁμαρτήματα. Καί· «Τίς ἔχων δοῦλον», φησί, «ἀροτριῶντα, οὐκ εἰσελθόντι ἀπὸ τοῦ ἀγροῦ ἐπιτάττει;[4]» Εἶτα οἱ δέκα λεπροί. Περὶ τῆς παρουσίας αὐτοῦ προλέγει. Περὶ τοῦ πάντοτε προσεύχεσθαι. Εἶτα τὴν τῆς χήρας παραβολήν, καὶ τὴν τοῦ ἀδίκου ἄρχοντος. Τότε λέγει· Ἆρα εὑρήσει τὴν πίστιν ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου;[5]» Ἡ παραβολὴ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου. Εἶτα προσκαλεῖται τὰ παιδία. Προσέρχεται ὁ πλούσιος ἐρωτῶν, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσει. Περὶ τοῦ πάθους λέγει τοῖς μαθηταῖς· οἱ δὲ οὐ συνῆκαν. Ὁ τυφλὸς θεραπεύεται, ὁ ἐγγὺς Ἱεριχοῦς. Τὰ κατὰ τὸν Ζακχαῖον. Ἡ παραβολὴ τοῦ βουληθέντος ἀγοράσαι βασιλείαν. Τὰ κατὰ τὸν πῶλον. Περὶ τῆς ἁλώσεως τῆς πόλεως προλέγει. Ἐκβάλλει ἐκ τοῦ ἱεροῦ τοὺς πωλοῦντας. Τότε λέγουσιν· «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;[6]» Ἐρωτᾷ αὐτοὺς περὶ τοῦ βαπτίσματος Ἰωάννου. Εἶτα ἡ παραβολὴ τοῦ ἀμπελῶνος, καὶ τῶν πονηρῶν γεωργῶν. Τὰ περὶ τοῦ κήνσου καὶ τῆς γαμηθείσης τοῖς ζ' ἀδελφοῖς. Εἶτα ἐρωτᾷ αὐτοὺς περὶ ἑαυτοῦ, πῶς λέγουσι τὸν Χριστὸν υἱὸν Δαυῒδ εἶναι· καὶ περὶ πρωτοκαθεδρίας διαλέγεται. Βάλλει ἡ χήρα δύο δηνάρια. Περὶ τῆς καταστροφῆς τοῦ ναοῦ, περὶ τῶν μελλόντων προλέγει κακῶν. Συντίθεται Ἰούδας μετὰ τῶν Ἰουδαίων. Πέμπει τοὺς μαθητὰς ἑτοιμάσαι τὸ πάσχα. Ἐλέγχεται Ἰούδας μετὰ τὸ μυστήριον. Φιλονεικία τῶν μαθητῶν περὶ πρωτείων. Εἶτα πρὸς τὸν Σίμωνά φησιν· «Ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς.[7]» καὶ προλέγει αὐτοῦ τὴν ἄρνησιν, καὶ παρακελεύεται τοῖς μαθηταῖς βαστάζειν βαλάντιον. Εἶτα συλλαμβάνεται. Ἀρνεῖται Πέτρος. Τύπτεται ὁ Ἰησοῦς ὑπὸ τῶν Ἰουδαίων. Ἐρωτᾶται, εἰ αὐτὸς εἴη ὁ Χριστός, καὶ ἀποκρίνεται. Ἄγεται πρὸς τὸν Πιλᾶτον, καὶ πέμπεται πρὸς τὸν Ἡρώδην. Εἶτα πρὸς τὸν Πιλᾶτον ἄγεται. Παραδίδοται σταυρωθῆναι· ἀκολουθεῖ ὄχλος· πρὸς τὰς γυναῖ-

---

1. Λουκ. 13, 32. 2. Λουκ. 13, 34. 3. Λουκ. 14, 34. 4. Λουκ. 17, 7. 5. Λουκ. 18, 8. 6. Λουκ. 20, 2. 7. Λουκ. 22, 31.

κας διαλέγεται περὶ τῶν μελλόντων κακῶν. Σταυροῦται. Θάπτει Ἰωσὴφ τὸ σῶμα. Φέρουσιν αἱ γυναῖκες ἀρώματα εἰς τὸν τάφον, καὶ οὐχ εὗρον οὐδένα. Μανθάνουσι παρὰ τῶν δύο ἀγγέλων, ὅτι ἀνέστη. Ἀπαγγέλλουσι τοῖς μαθηταῖς. Οἱ δὲ ἠπίστουν. Ἔδραμε Πέτρος εἰς τὸ μνημεῖον, καὶ εὗρεν οὕτως. Τότε φαίνεται τοῖς δύο ὁδοιποροῦσιν. Ὑποστρέψαντες οὗτοι, ἤκουσαν, ὅτι ὤφθη Σίμωνι. Εἶτα ἔστη ἀθρόως ἐν μέσῳ αὐτῶν· οἱ δὲ ἐπτοήθησαν. Ἔδειξαν αὐτοῖς τοὺς τύπους, καὶ ἔφαγεν ἐνώπιον αὐτῶν· Ἐξαγαγὼν δὲ αὐτοὺς εἰς Βηθανίαν, ἀνελήφθη.

Βιβλίον δʹ, κατὰ Ἰωάννην.

50. Θεολογεῖ ὁ Ἰωάννης τὸν Χριστόν. Λέγει περὶ τοῦ Βαπτιστοῦ· εἶτα περὶ τοῦ Χριστοῦ, καὶ τῆς ἐνανθρωπήσεως. Ἀποκρίνεται ὁ Βαπτιστὴς πρὸς τοὺς ἀποσταλέντας πρὸς αὐτόν. Τῇ ἐπαύριον μαρτυρεῖ τῷ Ἰησοῦ, ὅτι τὸ Πνεῦμα κατέβη ἐπ' αὐτόν. Τῇ ἐπαύριον πάλιν μαρτυρεῖ τῷ Ἰησοῦ. Καὶ κολλῶνται αὐτῷ οἱ περὶ Ἀνδρέαν. Ἄγει τὸν Πέτρον ὁ Ἀνδρέας πρὸς αὐτόν. Τῇ ἐπαύριον καλεῖ τὸν Φίλιππον ὁ Ἀνδρέας πρὸς αὐτόν. Τῇ ἐπαύριον καλεῖ τὸν Φίλιππον ὁ Ἰησοῦς, ἐξελθὼν εἰς τὴν Γαλιλαίαν. Οὗτος ἄγει τὸν Ναθαναὴλ πρὸς αὐτόν. Μαρτυρεῖ αὐτῷ ὁ Ἰησοῦς. Ὁ γάμος ἐν Κανᾷ γίνεται. Εἶτα ἔρχεται εἰς Καπερναούμ. Ἀναβαίνει εἰς Ἱεροσόλυμα ἐν τῷ Πάσχα· ἐκβάλλει ἐκ τοῦ ἱεροῦ τοὺς πωλοῦντας τὰς περιστεράς. Πολλοὶ πιστεύουσιν εἰς αὐτόν. Εἶτα τὰ κατὰ Νικόδημον. Εἶτα ἔρχεται εἰς τὴν Ἰουδαίαν, καὶ ἐβάπτιζον οἱ μαθηταὶ αὐτοῦ. Ἀπηγγέλθη τῷ Ἰωάννῃ. Ἀκούσας ὁ Ἰησοῦς ὅτι ἔμαθον οἱ Φαρισαῖοι, κατέβη εἰς τὴν Γαλιλαίαν διὰ τῆς Σαμαρείας. Εἶτα τὰ κατὰ τὴν Σαμαρεῖτιν. Πιστεύουσιν οἱ Σαμαρεῖται. Ἔρχεται εἰς Κανᾶ ὁ Ἰησοῦς, καὶ ὁ βασιλίσκος προσέρχεται ὑπὲρ τοῦ υἱοῦ. Ἀνῆλθεν εἰς Ἱεροσόλυμα, καὶ τὸν ἐν λη' ἔτεσι παραλελυμένον ἰᾶται ἐν Σαββάτῳ. Ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. Λέγει αὐτοῖς ὅτι παρὰ Θεοῦ ἐπέμφθη. Ἀπῆλθε πέραν τῆς Τιβεριάδος· ἦν δὲ τὸ Πάσχα. Τρέφει τοὺς ὄχλους. Ἠθέλησαν αὐτὸν ποιῆσαι βασιλέα, καὶ ἀναχωρεῖ εἰς τὸ ὄρος. Ἔπλευσαν οἱ μαθηταὶ εἰς Καπερναούμ. Ἦλθεν ὁ Ἰησοῦς ἐκεῖ, ἦλθον καὶ οἱ ὄχλοι. Τότε αὐτοῖς περὶ τῶν μυστηρίων διαλέγεται. Καὶ μὴ ἐνέγκαντες τὸν λόγον, ἀπῆλθον εἰς τὰ ὀπίσω. Λέγει τοῖς δώδεκα· «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;[1]» Τότε λέγει Πέτρος· «Ῥήματα ζωῆς αἰωνίου ἔχεις, πρὸς τίνα ἀπελευσόμεθα;[2]» Σκηνοπηγίας οὔσης, προτρέπονται αὐτὸν οἱ ἀδελφοὶ ἀνελθεῖν ἐν τῷ ἱερῷ. Ὁ δὲ ὕστερον ἀνῆλθε, καὶ ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἠγανάκτουν, ὅτι ἐν Σαββάτῳ τυφλὸν ἰάσατο. Διαλέγεται περὶ τοῦ Παρακλήτου· καὶ οἱ μὲν ἐπίστευσαν, οἱ δὲ ἠπίστουν. Ἐγκαλοῦνται ὑπηρέται ὑπὸ τῶν ἀρχιερέων, ὅτι οὐκ ἐπίασαν αὐτόν. Διαλέγεται αὐτοῖς ὁ Νικόδημος, καὶ ἐπιστομίζουσιν αὐτόν. Πάλιν ὁ Ἰησοῦς διαλέγεται

1. Ἰω. 6, 67. 2. Ἰω. 6, 68.

αὐτοῖς· καὶ ἐπειρῶντο ἀνατρέπειν αὐτοῦ τὰ ῥήματα. Ἐνταῦθα τὰ περὶ τῆς κατηγορηθείσης ἐπὶ μοιχείᾳ. Πάλιν λέγει αὐτοῖς· «Ἐγὼ ὑπάγω, ὅπου ἡμεῖς οὐ δύνασθε ἐλθεῖν.[1]» Οἱ δὲ ἐνόμιζον, ὅτι ἀναιρεῖ ἑαυτόν. Εἶτα προλέγει τὸν τρόπον τοῦ θανάτου αὐτοῦ, καὶ ἐπίστευσαν πολλοὶ εἰς αὐτόν. Τότε λέγει αὐτοῖς· «Ἐὰν μείνητε ἐν τῷ λόγῳ μου, ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς[2]», καὶ ἕτερα πολλά. Λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι «Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις.[3]» Πάλιν ὁ Ἰησοῦς πολλὰ αὐτοῖς διαλέγεται, ἐν οἷς ἐπήγαγε· «Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.[4]» Τότε ἠθέλησαν λιθάσαι αὐτόν· ὁ δὲ ἐξελθὼν ἐπ' αὐτῶν, ἐθεράπευσετὸν τυφλὸν πηλῷ. Εἶτα διαλέγεται περὶ τῶν προβάτων καὶ τοῦ ποιμένος, τοῦ διὰ τῆς θύρας εἰσερχομένου εἰς τὴν αὐλήν· καὶ σχίσμα ἐγένετο ἐν τοῖς Ἰουδαίοις. Τοῖς Ἐγκαινίοις περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ στοᾷ Σολομῶντος. Ἐρωτῶσιν αὐτὸν οἱ Ἰουδαῖοι, εἰ αὐτὸς εἴη ὁ Χριστός. Ὡς δὲ εἶπεν, ἐβάστασαν λίθους βαλεῖν ἐπ' αὐτόν. Ὡς δὲ ἠρώτα αὐτοὺς τὴν αἰτίαν, ἦλθον πιάσαι αὐτόν, καὶ οὐκ ἴσχυσαν. Απῆλθεν, ὅπου ἐβάπτιζεν Ἰωάννης. Πέμπουσιν ἐκ Βηθανίας αἱ περὶ Μάρθαν ὑπὲρ τοῦ Λαζάρου. Καὶ βουλόμενος εἰς τὴν Ἰουδαίαν ἐλθεῖν, ἐκώλυον οἱ μαθηταί. Ἦλθεν εἰς Βηθανίαν· ἀνέστησε τὸν Λάζαρον. Πάλιν ἐβουλεύοντο οἱ Ἰουδαῖοι ἀνελεῖν τὸν Ἰησοῦν. Εἶτα Καϊάφας προφητεύει. Ἀναχωρεῖ Ἰησοῦς εἰς τὴν ἔρημον Ἐφραΐμ. Εἶτα οἱ Ἰουδαῖοι ἀμφέβαλον, εἰ ἔρχεται εἰς τὴν ἑορτήν. Καὶ πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν εἰς Βηθανίαν. Τότε δειπνοῦντα αὐτὸν ἤλειψεν ἡ Μαρία, καὶ ἀγανακτεῖ Ἰούδας. Ἐπιστομίζει αὐτὸν ὁ Ἰησοῦς. Ἦλθον πρὸς αὐτὸν ἐκεῖ οἱ Ἰουδαῖοι. Ὑπήντησαν αὐτῷ ὄχλοι μετὰ βαΐων ἐρχομένῳ εἰς Ἱεροσόλυμα, καὶ ὀχουμένῳ εἰς ὀνάριον. Τότε ζητοῦσιν οἱ Ἕλληνες ἰδεῖν αὐτόν. Τότε λέγει τὴν παραβολὴν τοῦ κόκκου τοῦ σίτου καὶ περὶ τῶν φοβουμένων τὸν θάνατον. Εἶτα ἐπάγει· «Πάτερ, δόξασόν σου τὸν Υἱόν·[5]» καὶ φωνὴ ἐγένετο ἐκ τοῦ οὐρανοῦ. Ἐνόμισεν ὁ ὄχλος βροντὴν γεγενῆσθαι. Εἶτα προλέγει αὐτοῖς τὸν τρόπον τοῦ θανάτου, καὶ προτρέπει πρὸς τὸ πιστεῦσαι· οἱ δὲ ἠπείθουν, «ἵνα», φησίν, «ὁ λόγος Ἡσαΐου πληρωθῇ.[6]» Νίπτει τοὺς μαθητάς· ἐλέγχει τὸν Ἰούδαν· καὶ λαβὼν ἐκεῖνος τὸ ψώμιον ἐξῆλθεν ἐν νυκτί. Εἶτα διαλέγεται τοῖς μαθηταῖς ὁ Ἰησοῦς. Ἐντέλλεται αὐτοῖς περὶ ἀγάπης. Προλέγει τῷ Πέτρῳ τὴν ἄρνησιν. Φίλιππος ἀξιοῖ ἰδεῖν τὸν Πατέρα. Περὶ τοῦ Παρακλήτου αὐτοῖς προλέγει· ἕτερα πολλὰ διαλέγεται, καὶ κατηγορεῖ τῶν Ἰουδαίων. Θλίψιν προλέγει τοῖς μαθηταῖς, εἶτα πάλιν χρηστά, καὶ πάλιν λυπηρά. Πρὸς τὸν Πατέρα διαλέγεται. Εἶτα ἔρχεται εἰς τὸν κῆπον, καὶ συλλαμβάνεται. Κόπτει Πέτρος τὸ ὠτίον τοῦ δούλου. Ἄγουσι τὸν Ἰησοῦν πρὸς τὸν Ἄνναν. Εἰσάγει ὁ μαθητὴς τὸν Πέτρον εἰς τὴν αὐλήν. Τύπτει τὸν Ἰησοῦν ὁ ὑπηρέτης· λέγει αὐτῷ· «Εἰ κακῶς ἐλάλησα[7]», καὶ τὰ

1. Ἰω. 8, 21. 2. Ἰω. 8, 32. 3. Ἰω. 8, 48. 4. Ἰω. 8, 58. 5. Ἰω. 17, 1. 6. Ἰω. 12, 38. 7. Ἰω. 18, 23.

ἑξῆς. Ἀποστέλλουσιν αὐτὸν πρὸς Καϊάφαν. Ἀρνεῖται Πέτρος. Ἄγεται ὁ Ἰησοῦς πρὸς Πιλᾶτον. Σταυροῦται, καὶ τὸν τίτλον ἐπιτιθέασιν. Εἱστήκεισαν παρὰ τῷ σταυρῷ ἡ μήτηρ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ Μαρία, ἡ τοῦ Κλεοπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Τότε παρατίθεται τὴν μητέρα τῷ Ἰωάννῃ. Θάπτει τὸ σῶμα Ἰωσήφ. Νικόδημος φέρει ἀλόης καὶ σμύρνης λύτρα ἑκατόν. Ἦλθε Μαρία ἡ Μαγδαληνή, βλέπει τὸν τάφον κενόν· καλεῖ τὸν Πέτρον καὶ τὸν Ἰωάννην. Οἱ δὲ ἀπῆλθον, καὶ πάλιν ἀνεχώρησαν. Βλέπει τοὺς ἀγγέλους ἡ Μαρία, εἶτα τὸν Ἰησοῦν, καὶ διαλέγεται αὐτῇ. Εἶτα ἐπέστη τοῖς μαθηταῖς κεκλεισμένων τῶν θυρῶν, καὶ ἔδωκεν αὐτοῖς Πνεῦμα ἅγιον. Εἶτα τῷ Θωμᾷ διαλέγεται ἀπιστήσαντι. Εἶτα πάλιν ὤφθη τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· οἱ δὲ ἡλίευσαν πλῆθος ἰχθύων καὶ ἔφαγε μετ' αὐτῶν. Εἶτα ἐπιτάττει τῷ Πέτρῳ ποιμαίνειν τὰ πρόβατα, καὶ προλέγει αὐτῷ, ποίῳ θανάτῳ ἀποθανεῖται, καὶ κελεύει ἀκολουθῆσαι αὐτῷ.

Βιβλίον ε΄, Πράξεις τῶν Ἀποστόλων.

51. Οὕτω καλεῖται τὸ βιβλίον, ἐπειδὴ καὶ τὰς πράξεις ὁμοῦ τῶν ἀποστόλων περιέχει. Ὁ δὲ διηγούμενος ταύτας ἐστὶ Λουκᾶς ὁ εὐαγγελιστής, ὁ καὶ τοῦτο τὸ βιβλίον συγγράφων. Συναπεδήμει γὰρ τοῖς τε ἄλλοις ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ, καὶ εἰδὼς ἀκριβῶς, γράφει. Διηγεῖται δὲ ἐν αὐτῷ πῶς, ἀγγέλων ὑπολαβόντων, ἀνελήφθη ὁ Κύριος, καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἔκχυσιν γενομένην ἐν τῇ Πεντηκοστῇ ἐπί τε τοὺς ἀποστόλους καὶ πάντας τοὺς τότε παρόντας· τήν τε κατάστασιν τοῦ Ματθίου ἀντὶ Ἰούδα τοῦ προδότου, καὶ τὴν προχείρισιν τῶν ζ΄ διακόνων, καὶ τὴν ἐκλογὴν τοῦ Παύλου, καὶ ὅσα ἔπαθε, καὶ τέλος τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτοῦ. Τῶν μὲν οὖν δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, εἶτα Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, καὶ Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου, καὶ Φίλιππος, καὶ Θωμᾶς, Βαρθολομαῖος, Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, Σίμων ὁ ζηλωτής, Ἰούδας Ἰακώβου, ὁ καὶ Θαδδαῖος, καὶ Ἰούδας Ἰσκαριώτης ὁ καὶ παραδοὺς τὸν Κύριον. Ἀλλὰ τοῦ Ἰούδα τούτου, προδότου γενομένου, καὶ ἀπολομένου, κατεστάθη εἰς τὸν ἐκείνου τόπον ὑπὸ τῶν ἀποστόλων Ματθίας, καὶ συγκατηριθμήθη τοῖς ἕνδεκα δωδέκατος. Μετὰ δὲ ταῦτα ἐκλήθη καὶ ὁ Παῦλος, σκεῦος ἐκλογῆς, καὶ ἀπεστάλη καὶ αὐτὸς μετὰ Βαρνάβα εὐαγγελίσασθαι τὸν Κύριον τοῖς ἔθνεσι πανταχοῦ. Ἔτι δὲ καὶ τῶν κατασταθέντων παρὰ τῶν ἀποστόλων ἑπτὰ διακόνων τὰ ὀνόματα ταῦτα· Στέφανος, Φίλιππος, Πρόχορος, Νικάνωρ, Τίμων, Παρμενᾶς, καὶ Νικόλαος. Τούτων οὖν τῶν ἀποστόλων καὶ τῶν διακόνων τὰς πράξεις διηγεῖται ὁ Λουκᾶς, καὶ σημεῖα παρ' αὐτῶν γεγονότα, ἅπερ εἰσὶ ταῦτα· Πέτρος καὶ Ἰωάννης ἐθεράπευσαν ἐν τῷ ὀνόματι Κυρίου τὸν ἐκ γενετῆς χωλόν, τὸν ἐν τῇ Ὡραίᾳ πύλῃ καθήμενον. Πέτρος Ἀνανίαν καὶ Σαπφεῖραν τὴν γυναῖκα αὐτοῦ ἤλεγξε, νοσφισαμένους ἀπὸ τῆς

τιμῆς τοῦ χωρίου, καὶ τῆς ἐπαγγελίας τῆς εἰς τὸν Θεόν, καὶ γεγόνασι παραχρῆμα νεκροί. Πέτρος ἐν Ἰόππῃ τὴν ἀποθανοῦσαν Δορκάδα εὐξάμενος ἤγειρεν ἐκ νεκρῶν. Πέτρος τὸ ἐξ οὐρανοῦ σκεῦος καθιέμενον πλῆρες παντὸς ζῴου ἑώρακε. Πέτρου ἡ σκιὰ ἐρχομένη ἐπὶ τοὺς ἀσθενοῦντας ἐθεράπευεν αὐτούς. Πέτρος τηρούμενος καὶ δεδεμένος ἐν τῇ φυλακῇ ὑπὸ ἀγγέλου ἀπελύθη, μὴ εἰδότων τῶν στρατιωτῶν. Καὶ ὁ Ἡρώδης σκωληκόβρωτος ἐξέψυξε. Στέφανος ἐποίησε τέρατα καὶ σημεῖα. Φίλιππος τὸν εὐνοῦχον ἐπέστησεν ἀναγινώσκοντα τὸν Ἡσαΐαν, καὶ ἐβάπτισεν αὐτόν. Ὁ αὐτὸς Φίλιππος ἐν Σαμαρείᾳ πολλὰ πνεύματα ἐξέβαλε, καὶ χωλοὶ καὶ παραλελυμένοι ἐθεραπεύθησαν ὑπ' αὐτοῦ. Παῦλος, ἐγγίζων τῇ Δαμασκῷ, εἶδεν ὀπτασίαν, καὶ εὐθὺς γέγονεν εὐαγγελιστής. Παῦλος ἐν Λύστροις Αἰνέαν, χωλὸν ἐκ γενετῆς ὄντα, ἐθεράπευσεν ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Παῦλος ἀπὸ ὀπτασίας εἰς Μακεδονίαν ἐκλήθη. Παῦλος τὴν γυναῖκα τὴν ἔχουσαν πνεῦμα Πύθωνος ἐκαθάρισε. Παῦλος καὶ Σίλας ἐν Φιλίπποις εἰς φυλακὴν ἐβλήθησαν, καὶ ἠσφαλισμένους εἶχον τοὺς πόδας ἐν τῷ ξύλῳ. Ἐν δὲ τῷ μεσονυκτίῳ σεισμὸς γέγονε, καὶ λέλυνται αὐτῶν τὰ δεσμά. Ἀπὸ τοῦ χρωτὸς Παύλου ἀπέφερον σουδάρια ἐπὶ τοὺς ἀσθενοῦντας καὶ δαιμονιῶντας, καὶ ἐθεραπεύοντο. Παῦλος ἐν Τρωάδι πεσόντα Εὔτυχον ἀπὸ τῆς θυρίδος καὶ ἀποθανόντα ἤγειρε λέγων· «Ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.[1]» Παῦλος ἐπετίμησεν ἐν Κύπρῳ τῷ μάγῳ Ἐλύμᾳ, καὶ ἐγένετο τυφλός. Παῦλος, πλέων ἐν Ῥώμῃ, ἐχειμάσθη αὐτός τε καὶ πάντες οἱ ἐν τῷ πλοίῳ ἐπὶ νυχθήμερα ιδ'. Πάντων τε προσδοκώντων ἀποθανεῖν ἐπιστὰς ὁ Κύριος εἶπεν αὐτῷ, ὅτι «Διὰ σὲ κεχάρισμαι τούτοις τὸ ζῆν[2]», καὶ ἐσώθησαν. Ἐξελθόντα τὸν Παῦλον ἀπὸ τοῦ πλοίου ἔχιδνα ἔδακε, καὶ οἱ μὲν πάντες ἐνόμιζον αὐτὸν γίνεσθαι νεκρόν· ὡς δὲ ἀπαθὴς διέμεινεν, ἐνόμισαν αὐτὸν εἶναι θεόν. Τὸν πατέρα Πουπλίου ἐν τῇ νήσῳ δυσεντερίᾳ συνεχόμενον χειροθετήσας ἰάσατο ὁ Παῦλος, καὶ ἄλλους πολλοὺς ἀσθενοῦντας ἐν τῇ νήσῳ ἐθεράπευσεν.

Βιβλίον ϛ', Ἐπιστολαὶ καθολικαὶ ἑπτά· τούτων πρώτη Ἰακώβου.

52. Ἀπ αὐτῶν τῶν γραψάντων καὶ αὗται προσαγορεύονται. Αὐτὸς γὰρ Ἰάκωβος ταύτην γράφει τοῖς ἀπὸ τῶν δώδεκα φυλῶν διασπαρεῖσι, καὶ πιστεύσασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει δὲ διδασκαλικὴν τὴν Ἐπιστολήν, διδάσκων περὶ διαφορᾶς πειρασμῶν, ποῖος μέν ἐστιν ἀπὸ Θεοῦ, ποῖος δὲ ἀπὸ τῆς ἰδίας καρδίας τῶν ἀνθρώπων· καὶ ὅτι οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργῳ δεικνύναι δεῖ τὴν πίστιν· καὶ οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλὰ οἱ ποιηταὶ δικαιοῦνται. Περί τε πλουσίων παραγγέλλει, ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν οἱ πλούσιοι ἐν ταῖς Ἐκκλησίαις, ἀλλὰ μᾶλλον καὶ ἐπιπλήττωνται, ὡς ὑπερήφανοι. Καὶ τέλος παραμυθησάμενος τοὺς ἀδικουμένους, καὶ προ-

1. Πράξ. 20, 10. 2. Πράξ. 27, 24.

τρεψάμενος αὐτοὺς μακροθυμεῖν ἕως τῆς παρουσίας τοῦ κριτοῦ, καὶ διδάξας περὶ ὑπομονῆς ἐκ τῶν τοῦ Ἰὼβ χρηστῶν, παραγγέλλει προσκαλεῖσθαι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας, καὶ σπουδάζειν ἐπιστρέφειν τοὺς πλανηθέντας ἐπὶ τὴν ἀλήθειαν· εἶναι γὰρ τούτου μισθὸν παρὰ τοῦ Κυρίου ἄφεσιν ἁμαρτιῶν. Καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

Δευτέρα, Πέτρου.

53. Καὶ αὕτη τοῦ γεγραφότος ἐπιφέρεται τὴν κλῆσιν· αὐτὸς γὰρ Πέτρος τοῖς ἐν τῇ διασπορᾷ οὖσιν Ἰουδαίοις, καὶ γενομένοις Χριστιανοῖς, γράφει τὴν ἐπιστολὴν διδασκαλικήν. Ἐπειδὴ γὰρ ἀπὸ Ἰουδαίων ἐπίστευσαν, ἐπιστηρίζει αὐτούς. Καὶ πρῶτον μὲν ἐξηγεῖται καὶ ἀποδείκνυσιν, ὅτι ἡ εἰς Χριστὸν πίστις ἀπὸ τῶν προφητῶν κατηγγέλη, καὶ δι' αὐτῶν ἐμηνύθη ἡ διὰ τοῦ αἵματος αὐτοῦ λύτρωσις· καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, εἰς ἃ ἄγγελοι ἐπιθυμοῦσι παρακύψαι. Εἶτα, συμβουλεύσας ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλέα τιμᾶν, γυναιξί τε καὶ ἀνδράσιν ὁμοφροσύνην παραγγέλλει. Καὶ εἰς τὰ ἤθη παραινέσας ὀλίγα, σημαίνει, ὅτι καὶ εἰς τὸν ᾅδην γέγονε παρὰ τοῦ Κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως, ἵνα καὶ οἱ ἀποθανόντες ἀναστῶσι, καὶ κριθῶσι μὲν ἐν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμένωσι· καὶ ὅτι τὸ τέλος πάντων λοιπὸν ἤγγισε, καὶ ὀφείλουσι πάντες ἕτοιμοι γίνεσθαι, ὡς λόγον ἀποδόντες τῷ κριτῇ. Καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

Τρίτη, πάλιν καὶ αὕτη Πέτρου.

54. Ὁμοίως καὶ αὕτη παρὰ τοῦ αὐτοῦ γραφεῖσα τὴν τούτου ἔχει ὀνομασίαν. Αὐτὸς γὰρ Πέτρος καὶ ταύτην ἐπιστέλλει τοῖς ἤδη πιστεύσασιν. Ἔστι δὲ ἡ Ἐπιστολὴ ὑπόμνησις τῶν πρώτων. Εἰδὼς γὰρ ταχεῖαν αὐτοῦ ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν τὴν διδασκαλίαν. Καὶ πρῶτον μὲν περὶ τῆς πίστεως ἐξηγεῖται, καὶ δείκνυσιν ἀπὸ τῶν προφητῶν αὐτὴν εὐηγγελίσθαι· καὶ ὅτι αἱ προφητεῖαι αἱ περὶ τοῦ Σωτῆρος οὐκ εἰσὶν ἀνθρώπιναι, ἀλλὰ παρὰ Θεοῦ ἐλαλήθησαν. Ἔπειτα παραγγέλλει μὴ προσέχειν τοῖς ἀπατῶσι, λέγων ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ τῶν παραβάντων ἀγγέλων γέγονε. Προμηνύει δὲ ἐν τῇ Ἐπιστολῇ ἡμέρας ἔσεσθαι, ἐν αἷς ἐμπαῖκται περιπατήσουσι, καὶ θελήσουσιν ἀπατᾶν τινας, λέγοντες μάτην λέγεσθαι παρ' ἡμῶν τὴν παρουσίαν τοῦ Σωτῆρος, διὰ τὸ ἀεὶ λέγεσθαι, καὶ μήπω παραγενέσθαι Ἀπὸ τούτων οὖν καὶ μάλιστα ἀπέχεσθαι παραγγέλλει, διδάσκων, μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις. Πάντα γὰρ τὸν χρόνον μηδὲν εἶναι ἐνώπιον Κυρίου, διὰ τὸ καὶ τὴν μίαν ἡμέραν ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη ὡς ἡμέραν μίαν. Ἔσεσθαι δὲ ταχέως τὴν ἡμέραν Κυρίου διαβεβαιοῦται, καὶ ἀποδείκνυσι, καὶ ἐντέλλεται ἑτοίμους εἶναι πάντας εἰς αὐτὴν ἐν

ἔργοις ἀγαθοῖς, καὶ ἀγαπᾶν τὰ ὑπὸ τοῦ ἀποστόλου Παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν αὐτὰ διὰ τὸ καὶ πάσας τὰς θείας Γραφὰς διαβάλλειν αὐτούς. Ὑπομνήσας οὖν καὶ διδάξας πάντας προειδέναι τὰ πράγματα, παραινεῖ μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

Τετάρτη, Ἰωάννου.

55. Οὕτως καὶ αὕτη καλεῖται, ἐπειδὴ καὶ αὐτὸς Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ ταύτην ἐπιστέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν Κύριον. Καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ Εὐαγγελίῳ, οὕτως καὶ ἐν ταύτῃ τῇ Ἐπιστολῇ θεολογεῖ περὶ τοῦ Λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ Θεῷ, καὶ διδάσκων τὸν Πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτως γνῶμεν τὸν Λόγον ἀπαύγασμα ἐξ αὐτοῦ εἶναι. Θεολογῶν δέ, ἐξηγεῖται μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλὰ καὶ ἐξ ἀρχῆς μὲν ἀεὶ τυγχάνειν αὐτό, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ Κυρίῳ, ὅστις ἐστὶ ζωὴ αἰώνιος, καὶ Θεὸς ἀληθινός. Καὶ τὸ αἴτιον δὲ τῆς τοῦ Λόγου παρουσίας καὶ ἐπιφανείας αὐτοῦ τίθησιν εἶναι λέγων τοῦτο, ἐπὶ τὸ καταλῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν Πατέρα, καὶ αὐτὸν τὸν Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει γοῦν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν Θεὸς ἐγνώσθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται, καταργηθέντος τοῦ θανάτου. Εἶτα λοιπὸν δι' ὅλης τῆς Ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾶν, ἐπειδὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Ἐξηγεῖται οὖν ἐπὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων Θεοῦ καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς, καὶ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευμάτων. Καὶ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ Θεοῦ ἐστι, ποῖον δὲ τῆς πλάνης, καὶ πότε μὲν γινωσκόμεθα τέκνα Θεοῦ, πότε δὲ διαβόλου· καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι· καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. Καὶ τὴν ἑνότητα δὲ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δείκνυσι· καὶ ὅτι ὁ ἀρνούμενος τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει. Διακρίνει δὲ ἐν τῇ Ἐπιστολῇ ταύτῃ, λέγων καὶ τὸ ἴδιον τοῦ Ἀντιχρίστου· εἶναι δὲ τοῦτο τὸ λέγειν μὴ εἶναι τὸν Ἰησοῦν αὐτὸν τὸν Χριστόν, ἵνα, ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. Παραινεῖ δὲ δι' ὅλης τῆς Ἐπιστολῆς μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ Κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύσαντας μεταβεβηκέναι ἀπ' αὐτοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. Καὶ ἐν τῷ τέλει δὲ τῆς Ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ζωὴ αἰώνιός ἐστι, καὶ Θεὸς ἀληθινός, καὶ ἵνα τούτῳ δουλεύωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

Πέμπτη, πάλιν καὶ αὔτη Ἰωάννου.

56. Ταύτην ὡς πρεσβύτερος γράφει κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ὁρῶν τὰ τέκνα ταύτης καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους, καὶ λέγοντας μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκί, γράφει τὴν Ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα καλῶς περιπατοῦντα· εἶτα, διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. Καὶ λοιπὸν διδάσκει ἀντίχριστον εἶναι τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. Παραγγέλλει δέ, ὥστε μὴ δέχεσθαι τοὺς τοιούτους τινὰ εἰς οἰκίαν, μηδὲ λέγειν αὐτοῖς χαίρειν, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

Ἕκτη, πάλιν καὶ αὔτη Ἰωάννου.

57. Καὶ αὕτη Ἰωάννου μέν ἐστι, καθὼς καὶ ἐπιγέγραπται. Ἐπέσταλται δὲ πρὸς Γάϊον. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτὸν μαρτυρούμενον ὑπὸ πάντων ἐπὶ φιλοξενίᾳ, καὶ προτρέπει τῇ αὐτῇ προθέσει προσμένειν, καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. Πάλιν δὲ αὐτοῦ μὲν τὴν πρόθεσιν ἀποδέχεται· αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα. Τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μηδὲ εἰδέναι τὸν Θεόν. Δημήτριον δὲ συνίστησι μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

Ἑβδόμη, Ἰούδα.

58. Ταύτην, καθὼς καὶ ἐπιγέγραπται, Ἰούδας γράφει τὴν Ἐπιστολὴν τοῖς ἤδη πιστεύσασιν. Ἡ δὲ πρόφασις αὕτη· Παρεισελθόντων τινῶν καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν Κύριον, ἀνάγκην ἔσχε γράψαι, καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. Καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει· ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους, καὶ παραγγέλλει μηδεμίαν αὐτοὺς ἔχειν κοινωνίαν περὶ τοὺς τοιούτους, εἰδότας, ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. Καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξ Αἰγύπτου ἐξαγαγὼν ὁ Κύριος, καὶ μὴ ἐμμείναντα τῇ πίστει ἑωρακώς, ἀπώλεσε· καὶ ἀγγέλων δὲ μὴ τηρησάντων τὴν ἰδίαν τάξιν οὐκ ἐφείσατο. Δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. Καὶ γὰρ καὶ Μιχαὴλ ὁ ἀρχάγγελος οὐχ ὑπήνεγκε βλασφημίαν τοῦ διαβόλου. Ἔσεσθαι γοῦν τὴν ἀπώλειαν αὐτῶν ὡς Σοδόμων διδάσκει. Εἶτα παραινεῖ εἰς τὰ ἤθη, καὶ ὑπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ Κυρίου, τελειοῖ τὴν Ἐπιστολήν.

Βιβλίον ξʹ, Ἐπιστολαὶ Παύλου ιδʹ. Τούτων πρώτη ἡ πρὸς Ῥωμαίους.

59. Οὕτω καλοῦνται, ἐπειδὴ αὐτὸς Παῦλος ἰδίᾳ ταύτας ἐπιστέλλων, καὶ διὰ τούτων, οὓς μὲν ἤδη ἑώρακε καὶ ἐδίδαξεν, ὑπομιμνήσκει καὶ ἐπιδιορθοῦται· οὓς δὲ μὴ ἑώρακε, σπουδάζει κατηχεῖν καὶ διδάσκειν ὡς ἔστιν ἀπ' αὐτῶν τῶν ἐντυγχανόντων καταμαθεῖν. Ταύτην δὲ τὴν πρὸς Ῥωμαίους ἐπιστέλλει ἀπὸ Κορίνθου, μήπω μὲν ἑωρακὼς Ῥωμαίους, ἀκούων δὲ περὶ αὐτῶν, καὶ ἐπιποθῶν αὐτοὺς ἰδεῖν. Καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν, καταγγελλομένην ὁρῶν πανταχοῦ· ἔπειτα σημαίνει πολλάκις ἑαυτὸν προθέμενον ἐλθεῖν διὰ τὸν εἰς αὐτοὺς πόθον, καὶ τέως μὴ δεδυνῆσθαι. Καὶ λοιπὸν διδασκαλικὴν τὴν Ἐπιστολὴν ποιεῖται περὶ κλήσεως ἐθνῶν, καὶ ὅτι ἡ περιτομὴ ἕως καιροῦ ἦν, καὶ νῦν πέπαυται· καὶ ὅτι διὰ τοῦ Χριστοῦ λέλυται τὸ παράπτωμα τοῦ Ἀδάμ, καὶ ἡ σκιὰ τοῦ νόμου παρῆλθε. Τὴν μὲν οὖν κλῆσιν τῶν ἐθνῶν ἀκολούθως γεγενῆσθαι κατασκευάζει οὕτως, ἀποδεικνὺς πᾶσιν ἀνθρώποις ἔμφυτον εἶναι τὸν νόμον, καὶ πάντας ἀδιδάκτῳ τῇ φύσει καὶ ἀπ' αὐτῆς τῆς κτίσεως δύνασθαι γινώσκειν τὸν Θεόν. Διὸ καὶ εἰκότως αἰτιᾶται πρῶτον Ἕλληνας, ὡς τοῦ μὲν Θεοῦ φανερώσαντος αὐτοῖς ἐκ τῶν ποιημάτων τοῦ κόσμου τὴν περὶ ἑαυτοῦ γνῶσιν, καὶ τῆς ἀϊδίου δυνάμεως αὐτοῦ, ἥτις ἐστὶν ὁ Λόγος αὐτοῦ, ἐν ᾧ καὶ δι' οὗ τὰ πάντα πεποίηκεν· ἐκείνους δὲ μὴ ἐγνωκέναι μᾶλλον ἐκ τῶν κτισμάτων εἶναι Θεὸν τὸν τούτων δημιουργόν· ἀλλὰ τοὐναντίον αὐτὰ τὰ ποιήματα θεοποιήσαντας, καὶ τῇ κτίσει μᾶλλον ἢ τῷ κτίστῃ λατρεύσαντας. Αἰτιᾶται δὲ καὶ Ἰουδαίους, ὡς μὴ φυλάξαντας τὸν νόμον· ἀλλὰ καὶ μᾶλλον διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάσαντας. Καὶ οὕτως ἀμφότερα τὰ μέρη Ἰουδαίους τε καὶ Ἕλληνας ἐλέγχει, καὶ συγκλείει ἐπὶ παρανομίᾳ· ἵνα δείξῃ, ὅτι ἴσοι γενόμενοι οἱ πάντες ὡς ὑπεύθυνοι ἐπίσης, καὶ τοῦ Λυτρουμένου δέονται. Τῆς δὲ χάριτος καὶ λυτρώσεως ἐπίσης καὶ τοῖς Ἰουδαίοις γενομένης καὶ τοῖς ἔθνεσιν, εἰκότως καὶ ἡ κλῆσις γέγονε τῶν ἐθνῶν· τῆς δὲ κλήσεως τῶν ἐθνῶν γενομένης, ἐξ ἀνάγκης πέπαυται ἡ περιτομὴ καὶ ἡ ἐν τῷ νόμῳ σκιά. Ὁ γὰρ Ἀβραάμ, φησίν, οὐκ ἐν περιτομῇ, ἀλλὰ πρὸ τῆς περιτομῆς δικαιωθείς, μετωνομάσθη μὲν Ἀβραάμ, ὅτι πατὴρ πολλῶν ἐθνῶν ἔμελλεν εἶναι, κατὰ τὴν ἐν τῇ ἀκροβυστίᾳ πίστιν· ἔλαβε δὲ μετὰ τὸ δικαιωθῆναι, καὶ τὴν περιτομὴν ἐν τῇ σαρκί, ἵνα σημεῖον ᾖ τοῖς κατὰ σάρκα γεννωμένοις ἐξ αὐτοῦ παύσεσθαι τότε περιτομήν, ὅταν τὰ ἔθνη γένηται τέκνα τοῦ Ἀβραάμ, ἀρξάμενα πολιτεύεσθαι κατὰ τὴν πίστιν τοῦ Ἀβραάμ, ἐν ᾗ ἐδικαιώθη, ὅτε ἦν ἐν ἀκροβυστίᾳ. Τούτων γὰρ χάριν καὶ μετωνομάσθη ἀπὸ Ἀβράμ, Ἀβραάμ. Ἀνάγκη δέ, ἐλθόντων τῶν σημαινομένων, παύεσθαι τὸ σημαῖνον. Εἰ μὲν οὖν τὰ ἔθνη ἀναγκάζουσι περιτέμνεσθαι, παυέτωσαν καὶ τὸ ὄνομα τοῦ Ἀβραάμ, καὶ καλείσθω Ἀβράμ· εἰ δὲ Ἀβραὰμ παρὰ τοῦ Θεοῦ μετωνομάσθη, οὐ δεῖ περιτέμνεσθαι τὰ ἔθνη· ἀλλ' οὐδὲ αὐτοὺς ἔτι τοὺς κατὰ σάρκα

'Ιουδαίους, ἵνα ᾖ τὸ ὄνομα βέβαιον, καὶ πατὴρ πολλῶν ἐθνῶν καλῆται. Καὶ γὰρ οὐ χρείαν ἔχει λοιπόν τις περιτέμνεσθαι, ἀρκούμενος τῇ πίστει τοῦ 'Αβραάμ· ἀλλ' οὐδὲ τῆς ἄλλης τῆς ἐν τῷ νόμῳ σκιᾶς. Οὐ γὰρ ἐκ τούτων, ἀλλ' ἐκ πίστεως δικαιοῦταί τις, καθάπερ καὶ 'Αβραάμ. Ταῦτα οὕτως κατασκευάσας, ἀποδείκνυσι πάλιν, ὅτι ἄλλως οὐκ ἂν γένοιτο λύτρωσις καὶ χάρις τῷ 'Ισραὴλ καὶ τοῖς ἔθνεσιν, εἰ μὴ λυθῇ ἡ ἀρχαία ἁμαρτία, ἡ διὰ τοῦ 'Αδὰμ εἰς ἅπαντας γενομένη. Δι' ἄλλου δὲ ταύτην, μὴ δύνασθαι ἐξαλιφῆναί φησιν, ἢ διὰ τοῦ Υἱοῦ, δι' οὗ καὶ ἐξ ἀρχῆς ἡ κατάρα γέγονεν. Οὐ γὰρ δυνατὸν ἦν ἄλλον λῦσαι τὸ παράπτωμα. Εἶτα γράφει, ὅτι ἄλλως τοῦτο οὐ μὴ γένηται, εἰ μὴ σωματωθεὶς ὁ Υἱὸς τοῦ Θεοῦ γένηται ἄνθρωπος, ἵνα, τοῦτο, φημὶ δή, τὸ ὁμοιοπαθὲς ἡμῖν σῶμα προσενέγκας ὑπὲρ πάντων, τοὺς πάντας ἐλευθερώσῃ ἀπὸ τοῦ θανάτου, καὶ ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς κόσμον εἰσῆλθεν, οὕτως καὶ δι' ἑνὸς ἀνθρώπου εἰς πάντας ἀνθρώπους ἡ χάρις γένηται. Καὶ λοιπόν, ὡς καλὸς οἰκονόμος, τοὺς μὲν 'Ιουδαίους παραμυθεῖται, ὅτι Οὐ παραβάται γίνεσθε τοῦ νόμου, ἐὰν εἰς τὸν Χριστὸν πιστεύσητε· τοῖς δὲ ἀπὸ τῶν ἐθνῶν παρεγγυᾷ μὴ ἐπαίρεσθαι κατὰ τοῦ 'Ισραήλ, ἀλλὰ γινώσκειν, ὅτι, ὡς κλάδοι ἐπὶ τὴν ῥίζαν, οὕτως ἐπ' ἐκείνους ἐνεκεντρίθησαν. Μετὰ δὲ ταῦτα παραινετικοὺς λόγους εἰς τὰ ἤθη διδάξας, τελειοῖ τὴν 'Επιστολήν.

Δευτέρα, πρὸς Κορινθίους.

60. Ταύτην ἐπιστέλλει ὁ αὐτὸς Παῦλος πρὸς Κορινθίους ἀπὸ 'Εφέσου τῆς 'Ασίας, ἑωρακὼς μὲν αὐτοὺς ἤδη καὶ διδάξας, ὑπομιμνήσκων δὲ ὅμως διὰ τῆς 'Επιστολῆς ταύτης. 'Η δὲ πρόφασις τῆς 'Επιστολῆς αὕτη· Κορίνθιοι, ἐκ φιλονεικίας συναγόμενοι, ἐσχίζοντο ταῖς γνώμαις, καὶ λοιπὸν ἦν ἐν αὐτοῖς σχίσματα· καὶ ὄντων σχισμάτων παρεβλέποντο τὸν λαβόντα τὴν μητρυιὰν εἰς γυναῖκα. Ἄλλοι δὲ ἤθελον καταλιμπάνειν τὰς γυναῖκας προφάσει τῆς ἐγκρατείας. Τινὲς δὲ καὶ ἐν εἰδωλείοις ἤσθιον ὡς ἀδιαφόρων ὄντων τῶν εἰδωλοθύτων. Ἄλλοι δὲ τοὺς μὲν ἄλλους ἐξουθένουν, τοὺς δὲ λαλοῦντας γλώσσαις ἐθαύμαζον. Καὶ τέλος ἠπάτηντο καὶ εἰς τὸ περὶ ἀναστάσεως μυστήριον, λέγοντες μὴ ἐγείρεσθαι τὴν σάρκα ταύτην. Τούτων πάντων ἐν Κορίνθῳ κινουμένων, γράφουσιν οἱ λαοὶ τῷ 'Αποστόλῳ, καὶ λοιπὸν πρὸς πάντα ἀντιγράφει. Καὶ πρῶτον μὲν μαρτυρεῖ αὐτοῖς ἐν φρονήσει καὶ γνώσει· οὐκ ἀποδέχεται δὲ αὐτοὺς ποιοῦντας τὰ σχίσματα, ἀλλὰ καὶ συμβουλεύει μὴ ἐν λόγῳ τὴν ἀρετήν, ἀλλ' ἐν ἔργῳ καὶ δυνάμει ἡγεῖσθαι· ἔπειτα, ἐπιτιμήσας τῷ τὴν μητρυιὰν λαβόντι, καὶ παραινέσας μὴ ἔχειν κρίματα πρὸς ἑαυτούς, λοιπὸν περὶ ὧν ἔγραψαν ἀποκρίνεται. Περὶ μὲν τοῦ γάμου διδάσκων, ἄρρηκτον εἶναι τὴν συζυγίαν, καὶ ἐν καιρῷ μόνον σχολάζειν διὰ τὴν εὐχήν· διὰ δὲ τὸ ἀγαπᾶν αὐτοὺς τὴν ἐγκράτειαν, γράφει περὶ παρθενίας, ὅτι μὴ ἀνάγκῃ, ἀλλὰ πειθοῖ τοῦτο γινέσθω. Εἶτα περὶ τῶν εἰδωλοθύτων, ἵνα μὴ καταχρῶνται τῇ γνώσει,

ἀλλὰ τῇ ἀγάπῃ πολιτεύωνται. Κωλύει οὖν τὰ ἐν εἰδωλίῳ συμπόσια, ἵνα μὴ σκανδαλίζωνται οἱ μικροί. Εἶτα περὶ τῶν πνευματικῶν χαρισμάτων γράφει· ἵνα μὴ διαφέρωνται ἐν τοῖς χαρίσμασι, μηδὲ προκρίνωσι τὸν ἔχοντα τὸ χάρισμα τόδε τοῦ ἔχοντος τόδε· πάντα γὰρ τοῦ αὐτοῦ Πνεύματος εἶναι λέγει. Καὶ λοιπὸν περὶ ἀναστάσεως διδάσκει· ὅτι ἡ σὰρξ ἐγείρεται, ἀποθνήσκουσα μὲν φθαρτή, ἐγειρομένη δὲ ἄφθαρτος κατὰ τὴν τοῦ Χριστοῦ χάριν. Τὴν δὲ ἀνάστασιν ἀπὸ τοῦ ἐγηγέρθαι τὸν Χριστὸν συνίστησι. Καὶ εἰς τὸ τέλος παραινετικοὺς λόγους εἰς τὰ ἤθη γράφει, καὶ περὶ λογίας τῆς εἰς τοὺς ἁγίους παραγγέλλει, καὶ οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

Τρίτη, πάλιν καὶ αὕτη πρὸς Κορινθίους.

61. Καὶ ταύτην πρὸς τοὺς αὐτοὺς ἐπιστέλλει ἀπὸ Μακεδονίας. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Δεξάμενοι Κορίνθιοι τὴν Ἐπιστολὴν τὴν προτέραν, κατενύγησαν ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ λαβόντος τὴν μητρυιάν, καὶ ἐλυπήθησαν δέ, ὡς παριδόντες τοιοῦτον ἁμάρτημα· εἶτα ὑφηρπάζοντο παρά τινων τῶν καὶ τὰς προφάσεις τῶν σχισμάτων ποιούντων, ὥστε παρακαθέζεσθαι τῷ γράμματι τοῦ νόμου καὶ ἀδιάφορον ἡγεῖσθαι τὴν παρὰ τοῦ Χριστοῦ χάριν, καὶ μᾶλλον προσεῖχον τοῖς ἐν προσώπῳ καυχωμένοις. Ἦσαν δὲ καὶ περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους φροντίζοντες καλῶς. Πρὸς ταῦτα οὖν ἀντιγράφει ὁ Ἀπόστολος. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτούς, ἐκβαλόντας τὸν παρανομήσαντα· ἔπειτα ἀξιώσασιν αὐτοῖς συγκατανεύει, καὶ μετανοήσαντα ἐκεῖνον κελεύει δεχθῆναι. Ἐν αὐτῇ δὲ διδάσκει περὶ τοῦ νόμου, διαιρῶν τὸ γράμμα, καὶ δείκνυσιν, ὅτι οὐ δεῖ λαμβάνειν τὸ γράμμα μόνον τοῦ νόμου, ἀλλ' ἐν αὐτῷ τῷ γράμματι τὴν διάνοιαν ἐρευνᾶν· οὐ γὰρ μόνον ῥητά ἐστιν ὁ νόμος, ἀλλὰ καὶ ἐν τοῖς ῥητοῖς ἐστι καὶ ὁ νοῦς τοῦ πνεύματος· ἔπειτα, ὅτι τοῦ Χριστοῦ ἐλθόντος, καινὴ κτίσις γέγονε, καὶ οὐ δεῖ κατὰ τὸ παλαιὸν ζῆν, ἀλλ' ὡς ἐν καινῇ κτίσει ἐν πᾶσιν ἀνανεοῦσθαι καὶ ἀργὴν εἶναι λοιπὸν τὴν περιτομήν. Ἀποδέχεται δὲ αὐτοὺς καὶ περὶ τῆς διακονίας, καὶ προτρέπεται μᾶλλον αὐτοὺς πλεονάζειν. Εἶτα αἰτιώμενος τοὺς ἐν προσώπῳ καυχωμένους, καταλέγει πάντα, ἅπερ πέπονθε διὰ τὸν Κύριον, καὶ τὰς ὀπτασίας δὲ διηγεῖται, ἅσπερ ἑώρακεν, εἴς τε τὸν τρίτον οὐρανὸν ἁρπαγείς. Εἶτα παραγγείλας μὴ ἁμαρτάνειν, ἀλλὰ μετανοεῖν τοὺς ἁμαρτάνοντας, ἐν εὐχαριστίᾳ τελειοῖ τὴν Ἐπιστολήν.

Τετάρτη, πρὸς Γαλάτας.

62. Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης, ἑωρακὼς αὐτοὺς ἤδη καὶ διδάξας. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Διδαχθέντες καλῶς οἱ Γαλάται παρὰ τοῦ Ἀποστόλου, καὶ πιστεύσαντες γνησίως εἰς τὸν Χριστόν, ἀποδημήσαντος αὐτοῦ, ὑφηρπάσθησαν παρά τινων, ὥστε περιτέμνεσθαι. Ταῦτα τοίνυν μαθὼν ὁ Ἀπόστολος, γράφει πρὸς αὐτούς.

Καὶ πρῶτον μὲν μαρτυρῶν αὐτοῖς περὶ ἧς εἶχον πίστεως, καὶ γνησίας ἐν Χριστῷ διαθέσεως, μέμφεται ὡς ἀνοήτως πράξαντας, καὶ μεταβαλομένους αὐτούς· ἔπειτα δὲ διαλαμβάνει περὶ τοῦ νόμου, καὶ τῆς κατὰ τὸν Ἀβραὰμ πίστεως· καὶ ἀποδείκνυσιν ἔκ τε τοῦ νόμου καὶ τῶν γυναικῶν Ἀβραάμ, ἀλληγορήσας αὐτάς, μέχρι καιροῦ δεδόσθαι τὴν σκιάν, καὶ τὴν περιτομήν, καὶ ἀργεῖν λοιπὸν αὐτὰ τῇ τοῦ Χριστοῦ παρουσίᾳ. Καὶ οὕτως ἀποδείξας, παραγγέλλει λοιπὸν αὐτοῖς μηκέτι προσέχειν τοῖς ἀπατήσασιν, ἀλλὰ μᾶλλον ἔχεσθαι τῆς ἐν Χριστῷ πίστεως, καὶ γινώσκειν, ὅτι ἡ ἐν Χριστῷ χάρις καταργεῖ τὴν κατὰ σάρκα περιτομήν. Καὶ οὕτω πάλιν εἰς τὰ ἤθη παραινέσας καὶ διδάξας, τελειοῖ τὴν Ἐπιστολήν.

Πέμπτη, πρὸς Ἐφεσίους.

63. Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης, οὔπω μὲν αὐτοὺς ἑωρακώς, ἀκούσας δὲ περὶ αὐτῶν. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ἐφέσιοι, πιστεύσαντες εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, γνησίαν εἶχον εἰς αὐτὸν τὴν πίστιν, καὶ εἰς πάντας τοὺς ἁγίους τὴν ἀγάπην, καὶ ἐβούλοντο παρὰ τοῦ Παύλου βεβαιωθῆναι. Μαθὼν τοίνυν ὁ Ἀπόστολος, γράφει πρὸς αὐτοὺς ταύτην τὴν Ἐπιστολήν, ὥσπερ κατηχητικήν. Καὶ πρότερον μὲν δείκνυσι μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς καὶ καταβολῆς κόσμου εἶναι ταύτην εὐδοκίαν τοῦ Θεοῦ, ὥστε τὸν Χριστὸν ὑπὲρ ἡμῶν παθεῖν, καὶ ἡμᾶς σωθῆναι· ἔπειτα περὶ τῆς κλήσεως τῶν ἐθνῶν διαλέγεται, ἵνα δείξῃ ἀξίως αὐτοὺς πεπιστευκέναι· καὶ ἀποδείκνυσιν, ὅτι ἡ κλῆσις ἡμῶν γέγονεν οὐ δι' ἀνθρώπου, ἀλλὰ διὰ Χριστοῦ, ὅς ἐστιν Υἱὸς τοῦ Θεοῦ, ἵνα καὶ ἐκ τούτου μάθωσιν, ὅτι οὐκ ἀνθρωπολάτραι γεγόνασι, πιστεύσαντες τῷ Χριστῷ, ἀλλὰ ἀληθινοὶ θεοσεβεῖς. Σημαίνει δὲ καὶ ἑαυτὸν διὰ τοῦτο ἀπεστάλθαι κηρύσσειν τὸ Εὐαγγέλιον, καὶ ὅτι περὶ αὐτῶν ἐφρόντιζον. Εἶτα παραινετικοὺς λόγους ἀνδράσι καὶ γυναιξί, πατράσι καὶ τέκνοις, κυρίοις καὶ δούλοις τίθησιν ἐν τῇ Ἐπιστολῇ, καὶ καθόλου πάντας παρασκευάζει κατὰ τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ, λέγων πρὸς ἐκείνους εἶναι ἡμῖν τὴν πάλην. Καὶ ὥσπερ ἀγαθὸς ἀλείπτης, ἀλείψας τοῖς λόγοις πάντας κατὰ τῆς διαβολικῆς ἐνεργείας, οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

Ἕκτη, πρὸς Φιλιππησίους.

64. Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης, ἑωρακὼς αὐτοὺς ἅμα καὶ διδάξας. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Πεμψάντων Φιλιππησίων διακονίαν τῷ Παύλῳ, καί τινων περιερχομένων, καὶ διαφθειρόντων τὰς ἀκοὰς τῶν ἀκεραίων προφάσει τῆς σκιᾶς τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ λεγόντων χωρὶς ταύτης μὴ δύνασθαι δικαιωθῆναι, μαθὼν ὁ Ἀπόστολος γράφει Φιλιππησίοις. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῶν τὴν πίστιν, καὶ σημαίνει μνημονεύειν αὐτῶν·

ἔπειτα διηγεῖται ὡς ἀπελογήσατο ἐν Ῥώμῃ, καὶ ὅτι τινὲς αὐτῷ βαρεῖς γεγόνασιν ἐν τοῖς δεσμοῖς, φθόνον αὐτῷ κινοῦντες. Εἶτα αὐτοὺς προτρέπεται ἀλλήλους ἀγαπᾶν, ἐξηγούμενος τὴν τοῦ Σωτῆρος φιλανθρωπίαν, ὅτι Θεὸς ὢν ἐνηνθρώπησε δι' ἡμᾶς. Εἶτα περὶ τῆς περιτομῆς καὶ τοῦ παλαιοῦ νόμου διαλαβὼν ἀποδεικνύει ἀργὴν γεγενῆσθαι λοιπὸν τὴν περιτομήν, λαμβάνων ἀφ' ἑαυτοῦ τὸ παράδειγμα, καὶ λέγων, ὅτι «Ταῦτα πάντα ἡγοῦμαι διὰ τὸν Χριστὸν ζημίαν.[1]» Διὸ καὶ τοὺς μὲν διδάσκοντας ἔτι περιτομήν, καὶ θέλοντας αὐτοὺς ἀπατῆσαι, μέμφεται, καὶ λέγει ἐχθροὺς εἶναι τοῦ Χριστοῦ. Ἀποδέχεται δὲ Φιλιππησίους διὰ τὴν πρὸς αὐτὸν τὴν κοινωνίας δόσιν· καὶ προτρεψάμενος πάλιν εἰς τὰ ἤθη αὐτούς, τελειοῖ τὴν Ἐπιστολήν.

Ἑβδόμη, πρὸς Κολασσαεῖς.

65. Ταύτην ἀποστέλλει ἀπὸ Ῥώμης, οὐχ ἑωρακὼς μὲν αὐτούς, ἀκούσας δὲ περὶ αὐτῶν. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Τοὺς Κολασσαεῖς ἐπειρῶντό τινες ἀπατῆσαι σοφίσμασιν Ἑλληνικοῖς κατὰ τῆς εἰς τὸν Χριστὸν πίστεως, καὶ περὶ τῶν ἐν τῷ νόμῳ βρωμάτων, καὶ τῆς περιτομῆς. Ταῦτα τοίνυν μαθὼν ὁ Ἀπόστολος, γράφει τὴν Ἐπιστολὴν αὐτοῖς ταύτην, ὥσπερ κατηχητικήν. Καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ Θεῷ, σημαίνει ἀπὸ τοῦ σκότους αὐτοὺς μεταβεβηκέναι εἰς τὸ φῶς τῆς ἀληθείας, καὶ ὅτι ὁ Χριστός, εἰς ὃν ἐπίστευσαν, εἰκὼν ἐστι τοῦ Θεοῦ, καὶ Λόγος δι' οὗ τὰ πάντα γέγονε· καὶ ὅτι ἔπρεπεν αὐτὸν δημιουργὸν ὄντα γενέσθαι καὶ πρωτότοκον τῆς κτίσεως καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, ἵνα τὰ ἀμφότερα συνάψῃ, καὶ ζωοποιήσῃ τὰ πάντα. Προτρέπει τε αὐτοὺς ἐμμένειν τῇ πίστει, σημαίνων, ὅτι αὐτὸς Παῦλος διάκονός ἐστι τοῦ Εὐαγγελίου, ἐν ᾗ κατηχήθησαν· εἶτα δὲ καὶ περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ βρωμάτων διαλαμβάνει, καὶ περὶ ἡμερῶν καὶ ἐνιαυτῶν, ἃ ἐξηγεῖται, καὶ ἀποδείκνυσιν ἠργηκέναι λοιπὸν πάντα τὰ παλαιὰ καὶ τὴν περιτομήν· συμβουλεύει τε αὐτοὺς μὴ πλανᾶσθαι ἀπὸ τῶν σοφιζομένων, καὶ πλανᾶν αὐτοὺς θελόντων. Καὶ λοιπὸν παραινέσας, κἀνταῦθα γονεῦσι καὶ τέκνοις, καὶ ἀνδράσι, καὶ γυναιξί, δούλοις καὶ κυρίοις, καὶ τὰ ἄλλα τὰ πρὸς τὰ ἤθη συμβουλεύσας, τελειοῖ τὴν Ἐπιστολήν. Παραγγέλλει μέντοι αὐτούς, ἵνα, ὅταν ἀναγνωσθῇ παρ' αὐτοῖς ἡ Ἐπιστολή, ποιήσωσι καὶ ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ αὐτὴν ἀναγνωσθῆναι· καὶ τὴν ἐκ Λαοδικείας πάλιν καὶ αὐτοὺς ἀναγνῶναι.

Ὀγδόη, πρὸς Θεσσαλονικεῖς.

66. Ταύτην ἐπιστέλλει ἀπὸ Ἀθηνῶν, ἑωρακὼς πρότερον αὐτούς, καὶ διατρίψας παρ' αὐτοῖς. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ὁ Ἀπόστολος πολλὰς θλίψεις παθὼν ἐν Βερροίᾳ, καὶ ἐν Φιλίπποις τῆς

1. Φιλιπ. 3, 7.

Μακεδονίας, καὶ ἐν Κορίνθῳ, γινώσκων τε ὅσα πέπονθε καὶ ἐν Θεσσαλονίκῃ, φοβούμενος, μὴ ἀκούσαντες Θεσσαλονικεῖς, ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, πειρασθῶσιν ὑπὸ τοῦ πειράζοντος, καὶ σκανδαλισθῶσι· μαθὼν δὲ ὅτι καὶ ἐπὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγίνοντο, ἀποστέλλει Τιμόθεον πρὸς αὐτοὺς μετὰ τῆς Ἐπιστολῆς ταύτης. Καὶ πρῶτον μὲν ἐπιστηρίζει αὐτοὺς ἐν τῇ πίστει, ὥστε μὴ σαλεύεσθαι διὰ τὰς θλίψεις, ὑπομιμνήσκει γὰρ αὐτούς, ὡς καὶ ἐν τῇ κατηχήσει διδαχθέντας ὑπομένειν τὰς θλίψεις, καὶ μηδὲν ξένον αὐτοὺς πεπονθέναι ὑπὸ Ἰουδαίων, τῶν καὶ τὸν Χριστὸν ἀποκτεινάντων. Χριστιανῶν γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τούτῳ ἔλεγε. Πολλὰ δὲ παραινέσας αὐτοῖς οὕτως ἀναστρέφεσθαι, ὡς παρέλαβον ἀπ' αὐτοῦ, γράφει καὶ περὶ τῶν τελευτώντων, παραμυθούμενος αὐτοὺς καὶ διδάσκων, μὴ βαρέως φέρειν. Οὐ γὰρ εἶναι τὸν θάνατον ἀπώλειαν, ἀλλ' ὁδὸν ἀναστάσεως. Ἔπειτα καὶ περὶ τῶν χρόνων αὐτοὺς διδάσκει, ἵν', ἄδηλον τὴν ἡμέραν γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται, καὶ μηδενὶ προσέχωσιν ἐπαγγελλομένῳ περὶ αὐτῆς. Ἔσεσθαι γάρ φησι τὴν παρουσίαν οὕτως, ὥστε τοὺς περιλειπομένους, καὶ εὑρισκομένους ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μὴ φθάνειν τοὺς ἐκ νεκρῶν ἐγειρομένους. Ἅμα γὰρ γίνεσθαι τὴν πάντων ἀλλαγὴν διδάσκει. Πρὸς τούτοις, προτρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤθεσι, παραινεῖ ἀεὶ αὐτοῖς καὶ χαίρειν τῇ ἐλπίδι, καὶ προσεύχεσθαι, καὶ εὐχαριστεῖν ἀεὶ τῷ Κυρίῳ, ἐνορκίζων αὐτοὺς ἀναγνῶναι τὴν Ἐπιστολὴν ταύτην πᾶσι τοῖς ἀδελφοῖς, καὶ οὕτως αὐτὴν τελειοῖ.

Ἐνάτη, πάλιν καὶ αὕτη πρὸς Θεσσαλονικεῖς.

67. Ταύτην ἀποστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Τινὲς ἐν Θεσσαλονίκῃ ἀργοὶ καὶ ἄτακτοι περιερχόμενοι τοὺς ἀδελφοὺς ὑφήρπαζον, ὡς ἤδη τῆς παρουσίας τοῦ Κυρίου ἐνστάσης. Ἠπάτων δὲ τοὺς ἀκούοντας, ὡς τοῦ Ἀποστόλου τοῦτο δηλοῦντος, καὶ ὑπὸ Πνεύματος ἀκούσαντες. Ταῦτα τοίνυν μαθὼν ὁ Ἀπόστολος γράφει τὴν Ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξάνουσαν, καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο, τὰς θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν Χριστόν· καὶ παραμυθεῖται δὲ αὐτούς, ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ Θεοῦ κατὰ τῶν ἀδικούντων· ἔπειτα δὲ καὶ περὶ παρουσίας τοῦ Σωτῆρος διδάσκει, μηδενὶ αὐτοὺς πείθεσθαι, μηδὲ θροεῖσθαι, μήτε διὰ Πνεύματος, μήτε ὡς αὐτοῦ γράψαντος, μηδὲ ὅλως νομίζειν ἤδη παρεῖναι αὐτήν, μηδὲ πρότερον ἔσεσθαι ταύτην, ἐὰν μὴ ἡ ἀποστασία πρότερον ἔλθῃ, καὶ μετ' αὐτὴν ὁ Ἀντίχριστος, ὁ υἱὸς τῆς ἀπωλείας, οὗ τὴν παρουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδους κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἔσεσθαι σημαίνει. Εἶτα παραινέσας αὐτοῖς στήκειν γενναίως, καὶ κρατεῖν τὰς παραδόσεις, ὡς ἐδιδάχθησαν παρ' αὐτοῦ, παραγγέλλει μηδεμίαν κοινωνίαν ἔχειν μετὰ τῶν ἀτάκτων, ἀλλὰ καὶ ἀποβάλλειν αὐτούς. Εἶναι γὰρ καὶ περιέργους καὶ πλάνους

ἐδήλωσε τοὺς τοιούτους. Καὶ καθόλου δὲ παρήγγειλε τὸν μὴ ὑπακούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀποσυνάγωγον γίνεσθαι. Καὶ λοιπὸν ὑπευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν Ἐπιστολήν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ γράψας, ὅπερ σημεῖον εἶναι πάσης Ἐπιστολῆς οἰκείας δεδήλωκεν.

Δεκάτη, πρὸς Ἑβραίους.

68. Ταύτην ἀποστέλλει ἀπὸ Ἰταλίας. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ἐπειδὴ Ἰουδαῖοι ἐνίσταντο ἐν τῷ νόμῳ καὶ ταῖς σκιαῖς, διὰ τοῦτο ὁ ἀπόστολος Παῦλος, διδάσκαλος ἐθνῶν γενόμενος, καὶ εἰς τὰ ἔθνη ἀποσταλεὶς κηρύττειν τὸ Εὐαγγέλιον, γράψας τε πᾶσι τοῖς ἔθνεσι, γράφει λοιπὸν καὶ πᾶσι τοῖς ἐκ περιτομῆς πιστεύσασιν Ἑβραίοις ἀποδεικτικὴν ταύτην Ἐπιστολὴν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας, καὶ τοῦ πεπαῦσθαι τὴν σκιὰν τοῦ νόμου. Καὶ πρῶτον μὲν ἀποδείκνυσι τοὺς προφήτας διὰ τοῦτο ἀπεστάλθαι, ἵνα περὶ τοῦ Σωτῆρος ἀπαγγείλωσι, καὶ μετ' αὐτοὺς αὐτὸς ἔλθῃ· δούλους τε εἶναι τοὺς προφήτας, καὶ μηνυτὰς τῆς αὐτοῦ παρουσίας· αὐτὸν δὲ τὸν Χριστὸν Υἱὸν εἶναι τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα γέγονε· καὶ ὅτι τοῦτον τὸν Υἱὸν ἔδει ἄνθρωπον γενέσθαι σαρκωθέντα, ἵνα διὰ τῆς τοῦ σώματος αὐτοῦ θυσίας καταργήσῃ τὸν θάνατον· οὐ γὰρ δι' αἵματος μόσχου ἢ τράγου, ἀλλὰ δι' αἵματος τοῦ Χριστοῦ ἔσεσθαι τὴν σωτηρίαν τοῖς ἀνθρώποις. Ἀποδείκνυσι δέ, ὅτι ὁ νόμος οὐδένα ἐτελείωσεν, ἀλλὰ σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν, καὶ οὐ κατέπαυσεν ὁ λαός, ἀλλὰ κοινῇ πᾶσιν ἡμῖν ἀπολείπεται ἡ ἡμέρα τῆς καταπαύσεως. Πάλιν δὲ ἀποδείκνυσιν, ὅτι ἡ ἀρχιερατικὴ λειτουργία μετέθη ὑπὸ Ἀαρὼν εἰς τὸν Χριστόν, οὗ τύπος ἦν ὁ Μελχισεδέκ, οὐκ ὢν ἐκ τοῦ Λευΐ· πίστει τε δεδικαιῶσθαι τοὺς πατέρας σημαίνει, καὶ οὐκ ἐξ ἔργων τοῦ νόμου. Εἶτα πάλιν εἰς τὰ ἤθη προτρεψάμενος καὶ τούτους, καὶ ἀποδεξάμενος αὐτῶν τὴν διὰ τὸν Χριστὸν ὑπομονήν, καὶ πείσας τιμᾶν τοὺς πρεσβυτέρους, τελειοῖ τὴν ἐπιστολήν.

Ἑνδεκάτη, πρὸς Τιμόθεον.

69. Ταύτην ἐπιστέλλει ἀπὸ Μακεδονίας. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ἐν τῇ Ἐφέσῳ τινὲς Ἰουδαΐζοντες ἐπεχείρουν ἑτεροδιδασκαλεῖν, καὶ ἀπατᾶν τοὺς ἀκεραίους προφάσει τοῦ νόμου. Τοῦτο οὖν μαθὼν ὁ Ἀπόστολος, προτρέπει τὸν Τιμόθεον ἐκεῖ προσμεῖναι πρὸς διόρθωσιν αὐτῶν· γράφει τε αὐτῷ τὴν Ἐπιστολὴν ταύτην. Καὶ πρῶτον μὲν ὑπομιμνήσκει τοῦτον, εἰδότα τὴν ἐν Χριστῷ πίστιν, διδάσκων αὐτὸν περὶ τοῦ νόμου, κωλύειν τοὺς παρὰ τὴν ὀρθὴν διδασκαλίαν λαλοῦντας, ἐπιτιμᾶν τε αὐτούς. Καὶ γὰρ καί, αὐτὸς Ὑμέναιον καὶ Ἀλέξανδρον, ναυαγήσαντας περὶ τὴν πίστιν, παρέδωκε τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. Ταῦτα ὑπομνήσας, λοιπὸν διατάττει αὐτῷ κανόνας ἐκκλησιαστικοὺς περὶ προσευχῆς, πῶς, καὶ ποῦ,

καὶ περὶ τίνων δεῖ προσεύχεσθαι· περὶ τοῦ σιγᾶν ἐν ἐκκλησίαις τὰς γυναῖκας, καὶ μᾶλλον μανθάνειν ἢ διδάσκειν αὐτάς· περὶ καταστάσεως ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, πῶς καὶ ὁποίους εἶναι δεῖ τοὺς καθισταμένους· περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ χηρῶν, ἀπὸ πόσων ἐτῶν χρὴ ταύτας καταλέγεσθαι, καὶ ὁποίας αὐτὰς εἶναι δεῖ, καὶ πῶς αὐταῖς δεῖ προσέχειν· περὶ τοῦ σωφρονεῖν τὰς νεωτέρας, καὶ γαμεῖν μᾶλλον, καὶ μὴ αἰσχρῶς ζῆν· περὶ τοῦ παραγγέλλειν τοῖς πλουσίοις μὴ ὑψηλὰ φρονεῖν, μηδὲ ἐλπίζειν ἐπὶ τῷ πλούτῳ. Περὶ τούτων διαταξάμενος, προτρέπεται αὐτὸν ταῦτα διδάσκειν, καὶ μηκέτι μὲν ὑδροποτεῖν· προσέχειν δὲ ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, εἰδότα ἔσεσθαι καιρούς, ἐν οἷς ἀποστήσονταί τινες τῆς πίστεως, Διδάξας δὲ καθαρὰ εἶναι καὶ τὰ βρώματα, καὶ παραγγείλας αὐτῷ ἐκτρέπεσθαι τὰς ἐμφιλονείκους ζητήσεις ὡς βεβήλους, ἐφ' αἷς καί τινες καυχώμενοι παρέβησαν τὴν πίστιν, τελειοῖ τὴν ἐπιστολήν.

Δωδεκάτη, καὶ αὕτη πάλιν πρὸς Τιμόθεον.

70. Ταύτην ἐπιστέλλει πάλιν πρὸς Τιμόθεον ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις καὶ ταύτης τῆς ἐπιστολῆς ἐστιν οὕτως· Τῶν συναποδημησάντων τῷ Παύλῳ καταλειψάντων αὐτόν, βουλόμενος ὁ Ἀπόστολος τὸν Τιμόθεον ἐλθεῖν πρὸς αὐτόν, γράφει τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν δηλοῖ ἑαυτὸν μνημονεύειν αὐτοῦ τε τῆς εὐλαβείας καὶ τῆς τῶν προγόνων αὐτοῦ πίστεως· ἔπειτα δέ, ὅτι οἱ ἀπὸ Ἀσίας, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης, ἀπεστράφησαν αὐτόν, ὁρῶντες αὐτοῦ τὰς ἁλύσεις. Τὸν Ὀνησιφόρον δὲ ἀπεδέξατο, ἐλθόντα εἰς τὴν Ῥώμην, καὶ προσμείναντα αὐτῷ. Παραγγέλλει δὲ αὐτῷ παραιτεῖσθαι τὰς μωρὰς ζητήσεις, διὰ τὸ ἐξ αὐτῶν γεννᾶσθαι μάχας. Καὶ γὰρ Ὑμέναιος καὶ Φιλητός, οὕτως ἐκτραπέντες, παρέβησαν τὴν ἀλήθειαν, λέγοντες ἀνάστασιν ἤδη γεγονέναι, καί τινας ἀνατρέπουσι. Μᾶλλον οὖν παραινεῖ τούτῳ προσέχειν ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, καὶ εἰδέναι μέν, ὅτι ἐν ὑστέροις καιροῖς ἔσονται οἱ ἄνθρωποι φιλήδονοι μᾶλλον ἢ φιλόθεοι· προβλέποντα δὲ ταῦτα, ἀσφαλίζεσθαι τοὺς λαούς, μή τις ἐξ αὐτῶν ἀπατηθῇ. Καὶ εἰς τὰ ἤθη δὲ καὶ εἰς τὴν τῆς διδασκαλίας ἀκρίβειαν πολλὰ προτρεψάμενος αὐτόν, καὶ σημάνας τὸν καιρὸν λοιπὸν τῆς ἀναλύσεως αὐτοῦ ἐνεστάναι, καὶ μέλλειν σπένδεσθαι καὶ μαρτυρεῖν, ἐνετείλατο αὐτῷ ἐλθεῖν πρὸς αὐτὸν ταχέως, κομίζοντα τὸν φελόνην καὶ τὰ βιβλία. Παρήνεσε δὲ αὐτῷ Ἀλέξανδρον τὸν χαλκέα φυλάττεσθαι, ὡς πολλὰ κακὰ ἐνδειξάμενον αὐτῷ καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Τρισκαιδεκάτη, πρὸς Τῖτον.

71. Ταύτην ἐπιστέλλει ἀπὸ Νικοπόλεως· ἐκεῖ γὰρ παρεχείμασεν. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Εἰς μὲν τὴν Κρήτην ἀπέλιπε τὸν Τῖτον, ἵνα καταστήσῃ κατὰ πόλεις κληρικούς· πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾶν τοὺς λαούς, μαθὼν

ὁ Ἀπόστολος, γράφει. Καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ Θεῷ διὰ τὴν αὐτοῦ εὐλάβειαν, σημαίνει τὴν ἐν Χριστῷ πίστιν μὴ νεωτέραν εἶναι, ἀλλ' ἐξ αἰῶνος ἡτοιμάσθαι, καὶ ἐπηγγέλθαι παρὰ τοῦ Θεοῦ ταύτην· ἔπειτα δὲ καὶ περὶ τῆς καταστάσεως τῶν κληρικῶν. Καὶ τοῦτον διδάσκει, πῶς, καὶ ὁποίους αὐτοὺς εἶναι δεῖ. Καὶ ἐπιτιμᾶν δὲ ἐντέλλεται αὐτῷ τοῖς ἀντιλέγουσι τῇ ὑγιαινούσῃ πίστει· μάλιστα τοῖς ἐκ περιτομῆς, εἰδέναι τε τοὺς Κρῆτας, ὅτι ἀργοί εἰσι, καὶ χρῄζουσιν ἐπιτιμίας. Διδάξας τε πάντα τὰ βρώματα καθαρὰ εἶναι τοῖς καθαροῖς, καὶ ὁποίας εἶναι δεῖ τὰς πρεσβύτιδας, τὰς ὀφειλούσας σωφρονίζειν τὰς νέας, παραινεῖ πῶς δεῖ τοὺς δούλους τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι. Καὶ τέλος, ὑπομνήσας ὅτι ἡ τοῦ Σωτῆρος χάρις οὐκ ἐξ ἔργων ἡμᾶς ἐδικαίωσεν, ἀλλὰ τῇ ἰδίᾳ φιλανθρωπίᾳ, καὶ παραγγείλας τὰς νομικὰς μάχας ἐκτρέπεσθαι, ὡς ἀναισχύντους οὔσας, δηλοῖ αὐτῷ, μετὰ τὸ πέμψαι πρὸς αὐτὸν Ἀρτεμᾶν, ἵνα ἔλθῃ πρὸς αὐτόν. Ἐνετείλατό τε αὐτῷ, ὥστε διδάσκειν, καὶ τοὺς αὐτοῦ καλῶν ἔργων προΐστασθαι· καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Τεσσαρεσκαιδεκάτη, πρὸς Φιλήμονα.

72. Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ὀνήσιμος ὁ οἰκέτης Φιλήμονος ἔφυγε, καὶ προσῆλθε τῷ Παύλῳ, καὶ κατηχήθη παρ' αὐτοῦ, καὶ γέγονεν αὐτῷ χρήσιμος εἰς διακονίαν. Περὶ τούτου τοίνυν γράφει Φιλήμονι παρατιθέμενος αὐτῷ τὸν Ὀνήσιμον, ἵνα προσέχῃ αὐτῷ γνησίως, καὶ μηκέτι ἔχῃ αὐτὸν ὡς δοῦλον, ἀλλ' ὡς ἀδελφόν. Προετρέψατο δὲ αὐτόν, καὶ ξενίαν αὐτῷ ἑτοιμάσαι, ἵνα, ἐὰν ἔλθῃ, εὕρῃ ποῦ μείνῃ· καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Βιβλίον η', Ἀποκάλυψις Ἰωάννου.

73. Οὕτω καλεῖται τὸ βιβλίον, ἐπειδὴ καὶ ταύτην τὴν ἀποκάλυψιν αὐτὸς Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος ἑώρακεν ἐν τῇ Πάτμῳ καλουμένῃ νήσῳ, ἐν ἡμέρᾳ Κυριακῇ, καὶ κελευσθεὶς ἔγραψεν αὐτήν, ὥστε πέμψαι εἰς τὰς ἑπτὰ Ἐκκλησίας ταύτας, εἰς Ἔφεσον, εἰς Σμύρναν, εἰς Πέργαμον, εἰς Θυάτειραν, εἰς Σάρδεις, εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν. Ἃ δέ εἰσιν ἐν τῇ ὀπτασίᾳ πολλά εἰσι καὶ διάφορα. Καὶ τέλος τὴν τοῦ Ἀντιχρίστου ἀπώλειαν μετὰ τοῦ διαβόλου ἑώρακε. Κελεύεται δὲ πρῶτον γράψαι ἑκάστῳ ἀγγέλῳ τῶν προειρημένων Ἐκκλησιῶν κατὰ τὰς ἑκάστου πράξεις. Πολλὰς μὲν οὖν ἑώρακε καὶ παραδόξους ὀπτασίας, εἶδε δὲ ἑπτὰ λυχνίας χρυσᾶς, καὶ ἐν μέσῳ αὐτῶν ὅμοιον Υἱῷ ἀνθρώπου· καὶ ἡρμηνεύθησαν αὐτῷ, ὅτι αἱ λυχνίαι εἰσὶν αἱ ἑπτὰ Ἐκκλησίαι· ὁ δὲ ἐν μέσῳ αὐτῶν ὁ Κύριος. Εἶδε καὶ θύραν ἀνεῳγμένην ἐν τῷ οὐρανῷ, καὶ ἐν θρόνῳ καθήμενον τὸν Κύριον, καὶ πρεσβυτέρους κδ', καθημένους ἐπὶ θρόνους καὶ προσ-

κυνοῦντας τὸν Κύριον. Ἑώρακε καὶ σφραγῖδας λυομένας, καὶ λυομένης ἑκάστης, ὀπτασία τις ἐγίνετο. Εἶτα ἑώρακεν ἑπτὰ ἀγγέλους ἔχοντας ἑπτὰ σάλπιγγας, καὶ ἑκάστου σαλπίζοντος, ἐγίνετο σημεῖον· τοῦ δὲ ἑβδόμου σαλπίζοντος, ἤκουσε λεγόντων, ὅτι «Ἡ βασιλεία τοῦ κόσμου ἐγένετο τοῦ Κυρίου.[1]» Καὶ ἑώρακε τὴν κιβωτὸν τῆς Διαθήκης ἐν οὐρανῷ. Εἶτα ἑώρακε γυναῖκα ὠδίνουσαν, καὶ δράκοντα πυρὸς διώκοντα αὐτήν. Ἡ μὲν οὖν γυνὴ ἐσώθη εἰς τὴν ἔρημον· ὁ δὲ δράκων ἐβλήθη εἰς τὸ πῦρ. Εἶτα ἑώρακε θηρίον ἔχον κέρατα δέκα, καὶ κεφαλὰς ἑπτά, καὶ τὸ διάδημα αὐτοῦ βλασφημίας γέμον· τὸ δὲ ὄνομα αὐτοῦ οὐκ ἐδήλωσεν, ἀλλὰ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ χξς΄. Ἤκουσε καὶ παρθένων ᾀδόντων, καὶ ἀκολουθούντων τῷ Ἀρνίῳ, καὶ εἶδεν ἄγγελον πετόμενον ἐν μεσουρανήματι, καὶ ἄλλον ἀκολουθοῦντα, καὶ ἄλλον, καὶ νεφέλην λευκήν, καὶ ἐπ᾿ αὐτῆς καθήμενον ὅμοιον Υἱῷ ἀνθρώπου, ἔχοντα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ. Εἶτα ἑώρακεν ἀγγέλους ἑπτά, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, καὶ φιάλας χρυσᾶς γεμούσας ἐκ τοῦ θυμοῦ τοῦ Θεοῦ. Εἶτα ἀπηνέχθη τῷ πνεύματι εἰς ἔρημον, καὶ ἑώρακε γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, ἔχον κεφαλὰς ἑπτά· καὶ ἐσήμανεν ἀπὸ ταύτης ἔσεσθαι τὸν Ἀντίχριστον. Εἶτα ἑώρακε τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἔφιππον λευκόν, καὶ ἐκαλεῖτο τὸ ὄνομα αὐτοῦ ὁ Λόγος τοῦ Θεοῦ. Εἶτα ἑώρακε τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς, θέλοντας ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου τοῦ λευκοῦ. Καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετ᾿ αὐτοῦ ὁ ψευδοπροφήτης, ὅστις ἦν ὁ Ἀντίχριστος, καὶ εἶδε βαλλομένους αὐτοὺς εἰς τὴν λίμνην τοῦ πυρός. Εἶτα ἑώρακε καταβαίνοντα ἄγγελον ἐκ τοῦ οὐρανοῦ, καὶ βάλλοντα τὸν Σατανᾶν καὶ τοὺς ἔχοντας τὸ χάραγμα αὐτοῦ εἰς τὴν ἄβυσσον, καὶ κλείοντα ἐπάνω αὐτοῦ, ἵνα μηκέτι πλανήσῃ τὰ ἔθνη ἕως ἐτῶν χιλίων. Εἶτα ἑώρακε τοὺς μάρτυρας ἐν δόξῃ βασιλεύοντας ἐν Χριστῷ. Εἶτα ἑώρακεν, ὅτι μετὰ χίλια ἔτη λυθήσεται ὁ Σατανᾶς, καὶ βληθήσεται εἰς τὴν λίμνην τοῦ πυρὸς μετὰ τοῦ Ἀντιχρίστου εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἶτα ἑώρακεν οὐρανὸν καινόν, καὶ γῆν, καὶ τὴν Ἱερουσαλὴμ καινήν, καὶ ἑώρακε ποταμὸν ὕδατος ζωῆς, καὶ τοὺς δούλους τοῦ Θεοῦ θεωροῦντας, τὸ πρόσωπον αὐτοῦ, καὶ ἔχοντας ἐπὶ τοῦ μετώπου τὸ ὄνομα αὐτοῦ. Ταῦτα ἑωρακὼς Ἰωάννης ἔπεσε, θέλων προσκυνῆσαι τῷ ἀγγέλῳ δεικνύοντι αὐτῷ ταῦτα πάντα. Καὶ ἐκώλυσεν αὐτὸν ὁ ἄγγελος λέγων· «Μὴ ἐμοὶ προσκύνει, ἀλλὰ τῷ Θεῷ· ἐγὼ γὰρ σύνδουλός σου εἰμί.[2]» Βλέπων δὲ ταῦτα, ἤκουε παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ὁ ὢν ἐστι, καὶ αὐτός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, ὅστις ὕστερον δι᾿ ὑμᾶς σαρκωθείς· λέγω δὴ τέλειος γέγονεν ἄνθρωπος, καὶ ἐκλήθη Υἱὸς ἀνθρώπου.

---

1. Ἀποκ. 11, 15. 2. Ἀποκ. 19, 10.

Εἰσὶ δὲ καὶ ἄλλα βιβλία διάφορα παρὰ τὰ προλεχθέντα ἑκατέρας Διαθήκης, τῆς Παλαιᾶς δηλαδὴ καὶ Νέας· τὰ μὲν ἀντιλεγόμενα, τὰ δὲ ἀπόκρυφα.

74. Τὰ μὲν οὖν ἀντιλεγόμενα τῆς Παλαιᾶς προείπομεν μὲν καὶ πρότερον, ὥς ἐστι Σοφία Σολομῶντος, καὶ Σοφία Ἰησοῦ υἱοῦ Συράχ, καὶ Ἐσθήρ, καὶ Ἰουδίθ, καὶ Τωβίτ· σὺν ἐκείνοις δὲ καὶ ταῦτα ἠρίθμηνται· Μακκαβαϊκὰ βιβλία δ', Πτολεμαϊκά, Ψαλμοὶ καὶ Ὠδὴ Σολομῶντος, Σωσάννα. Ταῦτα τὰ ἀντιλεγόμενα τῆς Παλαιᾶς Διαθήκης.

Τὰ δὲ ἀπόκρυφα πάλιν τῆς Παλαιᾶς Διαθήκης ταῦτα.

75. Ἐνώχ, Πατριάρχαι, Προσευχὴ Ἰωσήφ, Διαθήκη Μωϋσέως, Ἀνάληψις Μωϋσέως, Ἀβραάμ, Ἐλδὰδ καὶ Μωδάδ, Ἠλίου προφήτου, Σοφονίου προφήτου, Ζαχαρίου πατρὸς Ἰωάννου, Βαρούχ, Ἀμβακούμ, Ἐζεχιὴλ καὶ Δανιὴλ ψευδεπίγραφα.

Τῆς Νέας πάλιν διαθήκης ἀντιλεγόμενα ταῦτα.

76. Περίοδοι Πέτρου, Περίοδοι Ἰωάννου, Περίοδοι Θωμᾶ, Εὐαγγέλιον κατὰ Θωμᾶ, Διδαχὴ ἀποστόλων, Κλημέντια, ἐξ ὧν μετεφράσθησαν ἐκλεγέντα τὰ ἀληθέστερα καὶ θεόπνευστα. Ταῦτα τὰ ἀναγινωσκόμενα.

Ταῦτα πάντα ἐξετέθησαν μὲν ὅσον πρὸς εἴδησιν, παραγεγραμμένα δέ εἰσι πάντως καὶ νόθα, καὶ ἀπόβλητα. Καὶ οὐδὲν τούτων, τῶν ἀποκρύφων μάλιστα, ἔγκριτον ἢ ἐπωφελές, ἐξαιρέτως τῆς Νέας Διαθήκης· ἀλλὰ πάντα δίχα τῶν ἀνωτέρω διαληφθέντων, καὶ ἐγκριθέντων παρὰ τοῖς παλαιοῖς σοφοῖς καὶ πατράσιν, ἀποκρυφῆς μᾶλλον ἢ ἀναγνώσεως ὡς ἀληθῶς ἄξια· τά τε ἄλλα, καὶ αὐτὰ τὰ καλούμενα ἐν αὐτοῖς Εὐαγγέλια, ἐκτὸς τῶν παραδοθέντων ἡμῖν τεσσάρων τούτων. Εὐαγγέλια γὰρ τέσσαρα ἐθέσπισαν ἡμῖν οἱ ἱεροὶ κανόνες τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· τὸ κατὰ Ματθαῖον, τὸ κατὰ Μάρκον, τὸ κατὰ Λουκᾶν, καὶ τὸ κατὰ Ἰωάννην, κατὰ τὴν προφητείαν τῆς ὀπτασίας, ἧς ἐθεάσατο Ἰεζεχιὴλ ὁ προφήτης περὶ τῶν τεσσάρων χερουβίμ. Τέσσαρα γὰρ εἶδε χερουβὶμ οὗτος ὁ προφήτης· τὸ ἓν ὅμοιον ἀνθρώπῳ, τουτέστι τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον· τὸ δεύτερον ὅμοιον μόσχῳ, τουτέστι τὸ κατὰ Μάρκον Εὐαγγέλιον· τὸ ἄλλο ὅμοιον λέοντι, τουτέστι τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον· τὸ δὲ τέταρτον ὅμοιον ἀετῷ, τουτέστι τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. Παρὰ δὲ ταῦτα τὰ τέσσαρα ἕτερον Εὐαγγέλιον οὐδέν.

Τὸ μὲν οὖν κατὰ Ματθαῖον Εὐαγγέλιον ἐγράφη ὑπ' αὐτοῦ τοῦ Ματθαίου τῇ Ἑβραΐδι διαλέκτῳ, καὶ ἐξεδόθη ἐν Ἱερουσαλήμ, ἡρμηνεύθη δὲ ὑπὸ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου τὸ κατὰ σάρκα, ὃς καὶ πρῶτος ἐχειροτονήθη ἐπίσκοπος ὑπὸ τῶν ἁγίων ἀποστόλων ἐν Ἱεροσολύμοις.

Τὸ δὲ κατὰ Μάρκον Εὐαγγέλιον ὑπηγορεύθη μὲν ὑπὸ Πέτρου τοῦ ἀποστόλου, ἐν Ῥώμῃ, ἐξεδόθη δὲ ὑπὸ Μάρκου τοῦ μακαρίου ἀποστόλου, καὶ ἐκηρύχθη ὑπ' αὐτοῦ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ καὶ ἐν Πενταπόλει, καὶ Λιβύῃ.

Τὸ δὲ κατὰ Λουκᾶν Εὐαγγέλιον ὑπηγορεύθη μὲν ὑπὸ Παύλου τοῦ ἀποστόλου, συνεγράφη δὲ καὶ ἐξεδόθη ὑπὸ Λουκᾶ τοῦ μακαρίου ἀποστόλου καὶ ἰατροῦ· ὥσπερ καὶ Πράξεις τῶν ἀποστόλων ὑπηγόρευσε μὲν ὁμοίως Πέτρος ὁ ἀπόστολος, συνεγράψατο δὲ ὁ αὐτὸς Λουκᾶς.

Τὸ δὲ κατὰ Ἰωάννην Εὐαγγέλιον ὑπηγορεύθη τε ἀπ' αὐτοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ ἠγαπημένου, ὄντος ἐξορίστου ἐν Πάτμῳ τῇ νήσῳ, καὶ ὑπὸ τοῦ αὐτοῦ ἐξεδόθη ἐν Ἐφέσῳ, διὰ Γαΐου τοῦ ἀγαπητοῦ καὶ ξενοδόχου τῶν ἀποστόλων, περὶ οὗ καὶ Παῦλος Ῥωμαίοις γράφων φησί· «Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ ὅλης τῆς Ἐκκλησίας.[1]»

Ποῖαι καὶ πόσαι παραδόσεις εἰσὶ τῆς θείας Γραφῆς, εἴτε οὖν ἀπὸ Ἑβραϊκοῦ εἰς τὸ Ἑλληνικὸν ἑρμηνεῖαι, καὶ τίνες οἱ ταύτην ἑρμηνεύσαντες, καὶ πότε.

77. Πρώτη ἐστὶν ἡ τῶν οβ' ἑρμηνευτῶν. Οὗτοι, Ἑβραῖοι ὄντες, ἐξελέγησαν ἀπὸ ἑκάστης φυλῆς ἕξ, καὶ ἡρμήνευσαν τὴν θείαν Γραφὴν ἐπὶ Πτολεμαίου βασιλέως τοῦ Φιλαδέλφου πρὸ διακοσίων τριάκοντα ἐνιαυτῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Δευτέρα ἐστὶν ἡ τοῦ Ἀκύλα. Οὗτος ἀπὸ Σινώπης τοῦ Πόντου ὑπάρχων, καὶ Ἕλλην ὤν, ἐβαπτίσθη ἐν Ἱεροσολύμοις. Καὶ πάλιν τὸν Χριστιανισμὸν ἀθετήσας, καὶ τοῖς Ἰουδαίοις προσδραμών, ἡρμήνευσε τὴν θείαν Γραφὴν διεστραμμένῳ λογισμῷ ἐπὶ Ἀδριανοῦ βασιλέως τοῦ λεπτωθέντος μετὰ τλ' ἔτη τῆς τῶν οβ' ἑρμηνείας.

Τρίτη ἑρμηνεία ἐστὶν ἡ τοῦ Συμμάχου. Οὗτος Σαμαρείτης ὤν, καὶ μὴ τιμηθεὶς ὑπὸ τοῦ ἰδίου λαοῦ, ὡς φιλαρχίαν νοσῶν, τοῖς Ἰουδαίοις προστρέχει, καὶ ἐκ δευτέρου περιτέμνεται. Καὶ πρὸς διαστροφὴν τῶν Σαμαρειτῶν ἑρμηνεύει καὶ αὐτὸς τὴν θείαν Γραφὴν ἐπὶ Σεβήρου τοῦ βασιλέως μετὰ νς' ἔτη τῆς τοῦ Ἀκύλα ἑρμηνείας.

Τετάρτη ἐστὶν ἡ τοῦ Θεοδοτίωνος τοῦ Ἐφεσίου. Οὗτος, τῆς αἱρέσεως Μαρκίωνος τοῦ Ποντικοῦ ὤν, μηνιῶν τοῖς τῆς αἱρέσεως αὐτοῦ, ἡρμήνευσε καὶ αὐτὸς ἐπὶ Κομμόδου τοῦ βασιλέως ἐν αὐτῷ τῷ χρόνῳ, πρὸς διαστροφὴν τῆς αὐτοῦ αἱρέσεως.

Πέμπτη ἑρμηνεία ἐστὶν ἡ ἐν πίθοις εὑρεθεῖσα κεκρυμμένη ἐπὶ Ἀντωνίου βασιλέως τοῦ Καρακάλλα ἐν Ἱεριχῷ παρά τινος τῶν ἐν Ἱεροσολύμοις σπουδαίων.

Ἕκτη ἑρμηνεία ἐστὶν ἡ ἐν πίθοις εὑρεθεῖσα καὶ αὐτὴ κεκρυμμένη

1. Ῥωμ. 16, 23.

ἐπὶ 'Αλεξάνδρου τοῦ Μαμαίας παιδὸς ἐν Νικοπόλει τῇ πρὸς Ἄκτιον ὑπό τινος τῶν 'Ωριγένους γνωρίμων.

Ἑβδόμη πάλιν καὶ τελευταία ἑρμηνεία ἡ τοῦ ἁγίου Λουκιανοῦ τοῦ μεγάλου ἀσκητοῦ καὶ μάρτυρος, ὅστις καὶ αὐτὸς ταῖς προγεγραμμέναις ἐκδόσεσι καὶ τοῖς Ἑβραϊκοῖς ἐντυχών, καὶ ἐποπτεύσας μετὰ ἀκριβείας τὰ λείποντα, ἢ καὶ περιττὰ τῆς ἀληθείας ῥήματα, καὶ διορθωσάμενος ἐν τοῖς οἰκείοις τῶν Γραφῶν τόποις, ἐξέδοτο τοῖς Χριστιανοῖς ἀδελφοῖς· ἥτις δὴ καὶ ἑρμηνεία μετὰ τὴν ἄθλησιν καὶ μαρτυρίαν τοῦ αὐτοῦ ἁγίου Λουκιανοῦ, τὴν γεγονυῖαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, ἤγουν τὸ ἰδιόχειρον αὐτοῦ τῆς ἐκδόσεως βιβλίον, εὑρέθη ἐν Νικομηδείᾳ ἐπὶ Κωνσταντίνου βασιλέως τοῦ μεγάλου παρὰ 'Ιουδαίοις ἐν τοίχῳ πυργίσκῳ περικεχρισμένῳ κονιάματι εἰς διαφύλαξιν.

Τίνα ἐστὶ τὰ μνημονευόμενα ἐν ταῖς γραφαῖς βιβλία ὡς ὄντα, οὐχ εὑρισκόμενα δέ.

78. Ναθὰν καὶ 'Αδδώ, καὶ 'Αχιὰ τοῦ Σιλωνίτου, καὶ Σεμεεί, καὶ 'Ιηοῦ, ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν γέγραπται εἶναι βιβλία· προφῆται δὲ οὗτοί εἰσιν, οἳ γεγράφασι περὶ ὧν προεφήτευσαν· ἃ οὐχ εὑρίσκεται.

Ψαλμοὶ τρισχίλιοι λέγονται ἐν Παραλειπομέναις εἶναι τοῦ Δαυίδ, μόνους δὲ ἐξ αὐτῶν τοὺς ρν' ὑπὸ τῶν φίλων 'Εζεκίου τοῦ βασιλέως ἐξειλέχθαι, τοὺς δὲ ἄλλους ἀποκεκρῦφθαι. Πεντακισχιλίας παροιμίας ὑπὸ Σολομῶντος ἐκδεδόσθαι, φησὶν ἡ τῶν Παραλειπομένων Γραφή· ἀλλ' οὐκ εἰσὶ νῦν ἢ μόναι αἱ ἐκκλησιαζόμεναι. . Τὸ Ἆσμα ἐξ ᾀσμάτων πλειόνων τὸ μυστικὸν ἐξειλέχθαι ἐπιγέγραπται. 'Ιώσηπος δὲ ἱστορεῖ δύο βιβλία προφητείας τὸν προφήτην 'Ιεζεκιὴλ γεγράφθαι· ἓν δὲ μόνον ἐπιγινώσκομεν εὑρίσκεσθαι.

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΙΩΒ

ΑΠΟΣΠΑΣΜΑΤΑ *

ΑΘΑΝΑΣΙΟΥ. Τό γε μὴν λέγειν τὴν Γραφήν· «Ἐγένοντο δὲ αὐτῷ ἑπτὰ υἱοί[1]», καὶ πρὸς τοὺς Ἀρειομανίτας ἡμῖν συμβαλεῖται· οἳ ὡς μέγα βοήθημα τῆς αἱρέσεως αὐτῶν κατέχουσι τὸ περὶ τοῦ Μονογενοῦς παρὰ τοῦ Ἀποστόλου λεγόμενον· «Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν·[2]» καὶ φιλονεικοῦσι ποίημα εἶναι τὸν τοῦ Θεοῦ Υἱόν. Ἔστι δὲ αὐτοῖς κάλαμος τεθλασμένος τοῦτο τὸ ἔρεισμα. Ὅταν μὲν γὰρ ἡ οὐσία ποίημα ᾖ καὶ κτίσμα, τηνικαῦτα τό, «ἐποίησε», καὶ τό, «ἔκτισε», κυρίως ἐπὶ αὐτῶν λέγεται, καὶ σημαίνει τὸ ποίημα· ὅταν δὲ ἡ οὐσία γέννημα ᾖ καὶ υἱός, τό τε, «ἐποίησε», καὶ τό, «ἐγένετο», καὶ τό, «ἔκτισεν», οὐκ ἔτι κυρίως ἐπ' αὐτοῦ κεῖται, οὐδὲ ποίημα σημαίνει, ἀλλ' ἀντὶ τοῦ «ἐγέννησε» τῷ «ἐποίησεν» ἀδιαφόρως τις κέχρηται ῥήματι. Ὥστε καταγνώσονται ἑαυτῶν οἱ Ἀρειανοί, εἰ μάθοιεν τὸ τῆς Γραφῆς ἰδίωμα· καὶ γὰρ εἰ ποιουμένους, καὶ γινομένους, καὶ κτιζομένους τοὺς ἐξ αὐτῶν φυομένους λέγοιεν οἱ γονεῖς, οὐδὲν ἧττον οὐκ ἀρνοῦνται τὴν φύσιν. Ὁ γοῦν Ἐζεχίας, ὡς ἐν τῷ Ἡσαΐᾳ γέγραπται, εὐχόμενος ἔλεγεν· Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἀντὶ τοῦ, γεννήσω, τὸ «ποιήσω» εἰρηκώς, καὶ τοὺς ἐξ αὐτοῦ φυομένους εἰπών. Καὶ οὐ διαφέρεται.

Κἀνταῦθα δὲ περὶ τοῦ Ἰὼβ εἴρηται· «Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτά·[3]» ὥσπερ καὶ Μωϋσῆς ἐν τῷ νόμῳ φησίν· Ἐὰν γένωνται.

Χρὴ πρότερον ζητεῖν, εἰ υἱός ἐστιν. Τούτου γὰρ ἀποδεικνυμένου, παύεται ἡ περὶ τοῦ ποιήματος καὶ κτίσματος ὑπόνοια, καὶ φανερὰ πᾶσιν ἀπόδειξις, ὡς ἡ λέξις ἡ λέγουσα, «τῷ ποιήσαντι αὐτόν», οὐκ εἰς ὄνησίν ἐστι τῇ αἱρέσει αὐτῶν, ἀλλὰ μᾶλλον εἰς κατάγνωσιν. Δέδεικται γάρ, ὅτι ἡ τοῦ, «ἐποίησε», λέξις καὶ ἐπὶ τῶν γνησίων καὶ τῶν φύσει τέκνων ἐν τῇ θείᾳ κεῖται Γραφῇ. Ὅθεν τοῦ Κυρίου ἀποδεικνυμένου φύσει καὶ γνησίου υἱοῦ, κἂν λέγηται ἐπ' αὐτοῦ τό, «ἐποίησεν», ἢ ἐγένετο, οὐχ ὡς ποιήματος ὄντος αὐτοῦ λέγεται, ἀλλ' ἀδιαφόρως τῇ λέξει χρῶνται οἱ ἅγιοι.

«Καὶ εἶπεν ὁ Θεὸς τῷ διαβόλῳ· Πόθεν παραγέγονας;[4]»

«Ἀθανασίου.» Ἅμα δὲ ἐν τούτοις παρίσταται, εἰ καὶ τὰ γενητὰ πάντα ἐν μεμερισμένοις τόποις εἰσί, φωστῆρες μὲν ἐν τῷ στερεώματι, νέφη δὲ ἐν τῷ ἀέρι. Καὶ τοῖς ἀνθρώποις ἔστησεν ὅρια ἐθνῶν· οἱ δὲ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 27, σ. 1344 ἑξ.

1. Ἰὼβ 1, 2. 2. Ἑβρ. 3, 2. 3. Ἰὼβ 1, 2. 4. Ἰὼβ 1, 7.

ἄγγελοι ἀποστέλλονται εἰς διακονίας, καὶ ἀναβαίνουσι καὶ καταβαίνουσιν ἐπὶ τῆς κλίμακος. Κἀνταῦθα, «Ἦλθον», φησί, «παραστῆναι ἐνώπιον Κυρίου.» Καὶ πεῦσις γίνεται πρὸς τὸν διάβολον· «Πόθεν παραγέγονας;» Ὥστε ἐν τόπῳ εἰσί, καὶ ἔνθα ἀποστέλλονται, ἐκεῖ πάρεισι· μόνος δὲ ὁ Θεὸς ἀπερίγραπτος· τὸν πανταχοῦ παρόντα ζητοῦσιν, ἵν' εὕροιεν ἐν χωρίῳ τινὶ συγκλειόμενον τὸν ἀόριστον. Ἀλλὰ τὸ παραστῆναι, τοῦτό ἐστι τὸ τοῖς θελήμασιν αὐτοῦ τυπωθῆναι, καὶ τὸ πρὸς αὐτὸν ὁλικῶς ἀνατείνεσθαι. Θεοῦ μὲν γὰρ ἐνώπιόν ἐστι πᾶσα ἡ κτίσις, καὶ αὐτὴ ἡ ἀποστατικὴ καὶ πονηροτάτη, κατὰ τὸ ἀπερίγραπτον τῆς οὐσίας ἐκείνης· ἰδίως δὲ οἱ ἄγγελοι πάρεισι τῷ Θεῷ, κατὰ τὸν τῆς θείας ἀγάπης ἀκόρεστον ἔρωτα.

«Ἀθανάσιος.» Ἠγωνίζετο μὲν οὖν ὁ Ἰώβ, καὶ μέγας ἦν ὁ πειρασμός· μείζων δὲ ἐφαίνετο ὁ ἀθλητὴς τοῦ πειρασμοῦ. Καὶ πολὺς μὲν ἔρρεεν ὁ πειράζων, καὶ χαλεπὸς ἦν ὁ μαχόμενος· ἀνδρειότερος δὲ ἐφαίνετο ὁ πειραζόμενος, νικῶν τὰς ἐπιχειρήσεις καὶ προσβολὰς τοῦ πονηροῦ τῷ μεγέθει τῆς διανοίας. Γνώρισμα τῆς ἀνδρείας ἐστὶν ἡ ὑπομονή. Ταύτῃ γὰρ ἕκαστος τῶν ἁγίων φέρων τὰ συμβάντα ἐν τῷ βίῳ ἐπίπονα καὶ λυπηρά, ἴσχυε κατὰ τοῦ διαβόλου· ὅπερ τὸ Πνεῦμα θέλον ἡμᾶς ἀμφότερα κτᾶσθαι, προστάττει λέγον ἐν τῷ ψαλμῷ· «Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.[1]» Ὁ γὰρ ὑπομένων ἀνδρεῖός ἐστι, καὶ ὁ ἀνδρεῖος ὑπομονητικὸς ἂν εἴη. Διὸ καὶ ὁ μακάριος Ἰὼβ διὰ τὸ ὑπομένειν ἐκραταιοῦτο, καὶ διὰ τὸ ἀνδρείως φέρειν τοὺς πόνους ὑπέμεινε, καὶ τὴν γυναῖκα διωθεῖτο, ἐξαπατηθεῖσαν ὑπὸ τοῦ ὄφεως, καὶ φθαρεῖσαν τὰ νοήματα. Ἐπειδὴ γὰρ ὅλως ἐστὶ μισητὴς ὁ τῆς κακίας εὑρετής, καὶ μόνον φαινόμενος ζητῶν τίνα ἁρπάσει καὶ καταπιεῖ· διὰ τοῦτο ὃ μὲν ἔστιν αὐτὸς ὑποκρύπτει καὶ σκέπει· ὑποκρινόμενος δὲ τῇ φαντασίᾳ τὴν πᾶσι ποθουμένην ἀλήθειαν, τὸν ἴδιον ἰὸν ἐπιβάλλει τοῖς ἀκολουθήσασιν αὐτῷ. Οὕτω καὶ τὴν Εὔαν ἠπάτησεν, οὐ τὰ ἴδια λαλῶν, ἀλλ' ὑποκρινόμενος τὰ τοῦ Θεοῦ ῥήματα, καὶ τὴν διάνοιαν αὐτῶν παραποιῶν. Οὕτω καὶ τὴν γυναῖκα τοῦ Ἰὼβ ὑπέβαλε, πείσας αὐτῇ ὑποκρίνεσθαι φιλανδρίαν, διδάξας δὲ βλασφημεῖν εἰς τὸν Θεόν. Οὕτω τοὺς ἀνθρώπους ὁ δόλιος παίζει ταῖς φαντασίαις ὑποκλέπτων καὶ σύρων ἕκαστον εἰς τὸν ἴδιον τῆς κακίας βόθρον.

«Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν.[2]»

«Ἀθανασίου.» Ἡ δὲ τῶν γεννητῶν καὶ κτιστῶν φύσις τρεπτή ἐστι, ἅτε δὴ ἔξωθεν οὖσα τῆς τοῦ Θεοῦ οὐσίας, καὶ ἐξ οὐκ ὄντων ὑποστᾶσα. Διὸ «πᾶς ἄνθρωπος ψεύστης·[3]» καί, «πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ.[4]» Ὁ δὲ διάβολος, ἐν μέσῳ τῶν χερουβὶμ ὤν, καὶ ἀποσφράγισμα ὁμοιώσεως γενόμενος, ἐξέπεσεν ἐκ

1. Ψαλμ. 26, 14. 2. Ἰὼβ 4, 18. 3. Ψαλμ. 115, 2. 4. Ῥωμ. 3, 23.

τῶν οὐρανῶν ὡς ἀστραπή.[1] Καὶ ἀγγέλους κρινοῦμεν[2], τοὺς μὴ τηρήσαντας δηλαδὴ τὴν ἑαυτῶν ἀρχήν. Καὶ ἐνταῦθα, εἰ κατὰ παιδίων αὐτοῦ οὐ πιστεύει, καὶ ἁπλῶς τὰ κτίσματα τοιαύτην ἔχει τὴν φύσιν, καὶ τρέπεται. Μόνη δὲ ἡ θεία φύσις ἀναλλοίωτος.

«Παρὰ πάπυρον, καὶ κάλαμον, καὶ βούτομον.»

Τάχα δὲ διὰ τοῦ καλάμου καὶ τοῦ παπύρου τὴν εὐτέλειαν καὶ τὴν πενίαν τοῦ διαβόλου αἰνίττεται ἡ Γραφή.

«Τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκεαι.»

«Ἀθανάσιος.» Πάλαι μὲν οὖν πολὺς ἦν ὁ ἐχθρὸς πανουργευόμενος κατὰ τῶν ἀνθρώπων, καὶ φαντασίαις αὐτοῦ πολλοὺς ἠπάτα, καὶ δυσχερὴς ἦν ἡ τῆς ἀπάτης αὐτοῦ κατάληψις· ὥστε καὶ τὸ πνεῦμα λέγειν περὶ αὐτοῦ· «Τίς ἀποκαλύψει πρόσωπον ἐνδύματος αὐτοῦ;[3]» καὶ τὰ ἑξῆς. Οὐ γὰρ ὅπερ ἦν, τοῦτο καὶ ἐφαίνετο, ἀλλὰ πρὸς ὃ ἐπανουργεύετο, πρὸς τοῦτο καὶ ἐφαντασίου ἑαυτόν. Διὰ τοῦτο καὶ πολλοὶ ἠπατῶντο ὑπ' αὐτοῦ· ὅτε δὲ ἐπεδήμησεν ὁ Σωτήρ, τότε ἡ πᾶσα φαντασία αὐτοῦ ἐδειγματίσθη· ἃ γὰρ ἠγνοεῖτο πάλαι ποιῶν, ταῦτα τῇ χάριτι τοῦ Χριστοῦ γινώσκεται, καὶ ἐν οἷς ἠπάτα πάλαι τοὺς ἀνθρώπους, ἐν τούτοις ὑπ' αὐτῶν καταπατεῖται. Πάσης γὰρ διαβολικῆς ἐπιθέσεως καὶ μανίας δαιμόνων ἰσχυροτέρα ἡ πίστις.

---

1. Πρβλ. Λουκ. 10, 18. 2. Α' Κορ. 6, 3. 3. Ἰὼβ 41, 5.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο′.

Π Ι Ν Α Ξ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἐπισκόπου Ἀχαΐας Παντελεήμονος Καρανικόλα.)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.